ΔΗΜΟΣ Ι. Π. ΜΕΣΟΛΟΓΓΙΟΥ

ΒΑΛΒΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΡΟΠΟΣ ΑΠΟΚΤΗΣΗΣ:
ΔΩΡΕΑ
ΠΑΛΑΜΑΪΚΗΣ ΣΧΟΛΗΣ
ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ:
22-01-13
ΑΡΙΘΜΟΣ ΕΙΣΑΓΩΓΗΣ:
22.939
ΑΡΙΘ. ΤΑΞΙΝΟΜΗΣΗΣ:

Α, 6 - 22.939

# ΕΥΡΙΠΙΔΗΣ.

## ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ τε, ΚΑΙ ΕΚΔΟΘΕΙΣ

Υπὸ

**ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.**

ΕΙΣ ΤΟΜΟΥΣ ΠΕΝΤΕ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΡΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΑΙΓΙΝΗι,
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.
1834.

# ΦΟΙΝΙΣΣΑΙ.

# ΥΠΟΘΕΣΙΣ.

ʼΕΤΕΟΚΛΗΣ παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ πολυνείκην· φυγὰς δʼ ἐκεῖνος εἰς Ἄργους παραγενόμενος, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου· κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόχρεων στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν· ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη ἔπεισεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη τὰ τέκνα εἰς φιλίαν συναγαγεῖν οὐκ ἠδύνατο· Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας, νικήσειν τοὺς ἐκ τῆς πόλεως, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. Ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα· ὁ δε νεανίσκος ἐβούλετο, καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, κατέσφαξεν ἑαυτήν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν δυναστείαν· οἱ δὲ Ἀργεῖοι ἡττηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφὴν, Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφʼ ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφʼ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

# Α Λ Λ Ω Σ.

Ἁρπασθείσης Εὐρώπης ὑπὸ Διὸς, γενομένου ταύρου, καὶ μετακομισθείσης ἀπὸ Φοινίκης διὰ θαλάττης εἰς Κρήτην, ὁ μὲν πατὴρ αὐτῆς Ἀγήνωρ ἔπεμψε τὸν υἱὸν Κάδμον ἐπὶ ζήτησιν τῆς κόρης, εἰπὼν, εἰ μὴ ταύτην εὑρὼν ἄξοι, μήδ' ἂν αὐτὸν ἐπανελθεῖν οἴκαδε. Κάδμος δὲ οὐκ ἔχων, ὅ,τι δράσειε, μόνην ἔγνω τῆς ἀπορίας λύσιν καταφυγεῖν εἰς Ἀπόλλω, κἀκ τούτου γνῶναι, τί δεῖ ποιεῖν. καὶ ὃς χρᾷ μὲν οὐδὲν αὐτῷ περὶ τῆς Εὐρώπης, λέγει δὲ ὡς ἐξελθόντα ἐκεῖθεν, ἀκολουθήσαντα βοΐ, οἷ ἂν αὕτη γε πέσῃ, ἐκεῖ κτίζειν πόλιν. ὁ δὲ πεισθεὶς τῷ χρησμῷ τὴν μὲν πρὸς τὴν πατρίδα ἐπάνοδον εἴασε, βοῦν δὲ κατὰ τύχην εὑρὼν, ἡγεμόνα τῆς ὁδοῦ ἐποιήσατο. ἐλθούσης δὲ αὐτῆς ἐν ᾧ νῦν ἑστήκασι τόπῳ αἱ Θῆβαι, κἀκεῖ παραχρῆμα πεσούσης, ἔγνω τε οὗτος τὸν χρησμὸν τελεσφόρον, καὶ πόλιν ἑπτάπυλον κτίζει τὰς Θήβας ὁμωνύμους τῶν ἑκατονταπύλων Αἰγυπτίων Θηβῶν, χρησάμενος ἐπιστήμονι τῆς οἰκοδομῆς καὶ ἐργάτῃ Ἀμφίονι τῷ μουσικῷ· τοῦτον γάρ φασιν ἀνακρουόμενον μέλος θέλγειν τε τῷ μέλει τοὺς λίθους, καὶ ἀλεπαλλήλως αὐτῶν τιθεμένων ἀποδεῖξαι τὰ τείχη· πύλας δὲ ἔχειν τὴν πόλιν ἑπτὰ, ἐπειδὴ καὶ οἱ τῆς λύρας τόνοι ἑπτά εἰσι. καὶ τὸ μὲν μυθῶδες τοιοῦτον· πέπλασται δὲ διὰ τὸ ἄκρως ἡρμόσθαι τὰ τείχη πρὸς ἄλληλα. ἡ γὰρ ἁρμονία μουσικῆς ἴδιον.

Κάδμος οὖν γήμας τὴν Ἀφροδίτης καὶ Ἄρεως παῖδα Ἁρμονίαν ἐγέννησε Πολύδωρον· ὁ δὲ, Λάβδακον· ὁ δὲ, Λάϊον. οὗτος δ' ἀφικόμενος ποτὲ εἰς Ἦλιν καὶ τὸν τοῦ Πέλοπος υἱὸν

Χρύσιππον ἰδὼν, ὃς ἦν ἐξ ἄλλης αὐτῷ γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς Οἰνομάου Ἱπποδαμειας, καὶ ἁλοὺς τούτου κατάκρας τῷ ἔρωτι, ἁρπάσας εἰς Θήβας ἤνεγκε· καὶ συνῆν αὐτῷ τὰ ἐρωτικὰ, πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν εὑρὼν, καθὼς δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας· ὁ δὲ Πέλοψ μαθὼν τοῦτο κατηράσατο Λαΐῳ, μηδέποτε μὲν παῖδα τεκεῖν, εἰ δ' ἄρα καὶ συμβαίη, ὑπ' αὐτοῦ τοῦτον ἀναιρεθήσεσθαι· διὰ ταῦτα πολὺν ἤδη χρόνον ὁ Λάϊος ἄπαις ὢν, παραγίτεται εἰς Πυθίαν, καὶ παίδων αἰτεῖ γονήν· καὶ ἀκούει τοιόνδε χρησμόν.

» Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
» Τέξεις μὲν φίλον υἱὸν, ἀτὰρ τόδε σοι μόρος ἔσται,
» Παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος. ὣς γὰρ ἔνευσε
» Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας.
» Οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

Ὧντινων θεσπισμάτων τῇ τῆς γυναικὸς Ἰοκάστης ἐπιθυμίᾳ καὶ ἡδονῇ ὥσπερ ἐκλαθόμενος Λάϊος· ἢ, ὥς τινές φασι, μιᾷ τῶν ἡμερῶν βαρυνθεὶς τῷ οἴνῳ, καὶ συνελθὼν τῇ αὐτοῦ γυναικὶ, Οἰδίποδα σπείρει· καὶ μετὰ τὸ τεχθῆναι αὐτὸν, ἀναπεμπάσας τοὺς χρησμοὺς, καὶ φόβον λαβὼν, διατορήσας τοὺς πόδας αὐτοῦ, καὶ χρυσοῦς κρίκους διαπερονησάμενος, ῥίπτει διὰ τῶν οἰκείων βουκόλων εἰς τὸ ὄρος τὸν Κιθαιρῶνα, ὡς ὑπὸ θηρίων ἐνταῦθα ἀναιρεθησόμενον· ἔτυχε δὲ κατ' ἐκεῖνο καιροῦ καὶ τοὺς Πολύβου νομέας, βασιλέως Κορίνθου, βόσκειν ἐκεῖ· οἳ καὶ τὸ βρέφος εὑρόντες, καὶ ἀνελόμενοι φέρουσι πρὸς τὴν Πολύβου γυναῖκα Μερόπην· ἦν γὰρ ἀπαιδίᾳ δυστυχοῦσα· καί πως πείθει τὸν ἄνδρα Πόλυβον αὐτὴ τοῦτο τεκεῖν· ἀνδρωθεὶς δὲ ὁ παῖς καί τινι τῶν ἐκεῖ συνελθὼν εἰς ἔριν, οἷα

δὴ γίνεται, ὡς οὐκ εἴη Πολύϐου παῖς, ὄνειδος ἔσχε παρ' αὐτοῦ· ὅθεν ἀναςὰς ἀφικνεῖται πρὸς τὸν Ἀπόλλω πευσόμενος περὶ τούτου· καὶ ὡς ἔσται φονεὺς τοῦ πατρὸς, μανθάνει, καὶ ὡς τῇ τεκούσῃ συνέσοιτο, ταυτὶ μόνα· τίνες δὲ εἶεν αὐτῷ οἱ γονεῖς, σαφῶς οὐ μανθάνει· ἐπανιὼν δὲ ἐκεῖθεν ὑπήντησε Λαΐῳ, ἀφικνουμένῳ καὶ αὐτῷ πρὸς Ἀπόλλω, ἐφ' ᾧ περὶ τοῦ ἐκτεθέντος παιδὸς γνῶναι, εἰ τέθνηκε· καὶ ὁ τοῦ Λαΐου θεράπων αὐτῷ κελεύει μικρὸν ὑποχωρῆσαι τῷ βασιλεῖ. Οἰδίπους δὲ ὑπεροψίᾳ κρατούμενος, καὶ τοῦτο μηδὲν ἐνεγκὼν, κτείνει τε τὸν θεράποντα καὶ σὺν αὐτῷ τὸν δεσπότην, οὐκ εἰδὼς ὡς πατροκτόνος γέγονεν, ἑνὸς μόνον τῶν συνεπομένων Λαΐῳ διαφυγόντος, ὃς δὴ καὶ τὸν φόνον ὕστερον διεσάφησεν, ὥς φησι Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ· τότε οὖν Οἰδίπους τοὺς τοῦ Λαΐου ἵππους λαϐὼν καὶ πάντα τὰ αὐτοῦ, καταλαμϐάνει τὴν Κόρινθον, καὶ διδοὺς ταῦτα πάντα Πολύϐῳ τροφὰς, ἐκεῖθεν ἀναχωρεῖ, τὸν περὶ τῆς πατροκτονίας καὶ τῆς τῇ μητρὶ συνελεύσεως χρησμὸν δεδιώς· ᾤετο γὰρ πατέρας αὐτοῦ τῷ ὄντι Πόλυϐον καὶ τὴν ἐκείνου γυναῖκα εἶναι· καὶ ἀφικνεῖται πρὸς Θήϐας, αἳ δὴ καὶ ὑπὸ τῆς Σφιγγὸς ἐχειμάζοντο τότε, χρησμούς τε ῥαψῳδούσης καὶ ὅντινα βούλοιτο τῶν πολιτῶν ἁρπαζούσης καὶ διαφθειρούσης, διὰ τὸ μὴ συνιέναι σφᾶς τῶν ὑπ' αὐτῆς λεγομένων χρησμῶν· ἐπήγαγε δὲ ταύτην ὁ Ἄρης Θηϐαίοις, ἀμυνόμενος αὐτοῦ διὰ τὸν τοῦ παιδὸς Δράκοντος φόνον; ὃν ὁ Κάδμος ἀνεῖλε, καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρεν, ἐξ ὧν ἀνεφάνησαν οἱ Γίγαντες· ἦν δὲ τέρας ἡ Σφὶξ, πρόσωπον μὲν ἔχουσα παρθένου, στῆθος δὲ καὶ χεῖρας καὶ πόδας καὶ ὄνυχας λέοντος, οὐραίαν δὲ δράκοντος, πτερὰ δὲ ὄρνιθος, δι' ὧν ἵπτατο· ἔτυχε δὲ τοῦτο εἰ-

ποῦσα καὶ τοιοῦτό τι τοῖς Θηβαίοις τότε αἴνιγμα, ὡς Ἀσκληπιάδης ἀναγράφει.

» Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον οὗ μία φωνή
» Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
» Ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
» Ἀλλ' ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
» Ἔνθα μένος γυίοισιν ἀφαυρότερον πέλει αὐτοῦ.

Οὗπερ ἀγνοουμένου, ἐκήρυξε Κρέων ὁ ἀδελφὸς Ἰοκάστης τῆς βασιλίσσης, ὡς, ὅστις εὕροι τὸ αἴνιγμα, τούτῳ συνάψειν τὴν ἀδλεφήν. Οἰδίπους δὲ, ὡς ἔφημεν, διάγων ἐκεῖ τότε, ἀκούσας τὰ κηρύγματα λύει τε τὸ αἴνιγμα τῆς Σφιγγὸς, καὶ τὴν μητέρα οὐκ εἰδὼς εἰς γυναῖκα λαμβάνει· ἔλυσε δὲ οὕτως, ὥς φασι.

» Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων
» Φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης.
» Ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
» Πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
» Γηραλέος δὲ πέλων, τρίτατον πόδα βάκτρον ἐρείδει,
» Αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

Ἀκούσασα δὲ τὴν λύσιν ἡ Σφὶξ, ἑαυτὴν ἀναιρεῖ παραχρῆμα, ῥίψασα τοῦ ἀέρος. Οἰδίπους δὲ συνὼν τῇ μητρὶ, καὶ παῖδας ἐξ αὐτῆς φύσας τέσσαρας, ἄῤῥενας μὲν Ἐτεοκλέα καὶ Πολυνείκην, θηλείας δὲ Ἀντιγόνην καὶ Ἰσμήνην, ὡς ἔγνω τὸ μίασμα ὕστερον, ἐτύφλωσεν ἑαυτόν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης, θέλοντές πως ἀφανίσαι τὸ ὄνειδος, κατακλείουσιν αὐτὸν ἐν οἰκίσκῳ, ἵν ὑπὸ μηδενὸς θεωρούνενος, εἰς λήθην ἥξοι τὸ κατ' ἐκεῖνον. καὶ ὃς τοῦτο ὑπεραλγήσας, ἀρᾶται τούτοις τὴν βασιλείαν σιδήρῳ μερίσαι· οἱ δὲ τὰς τοῦ πατρὸς ἀρὰς

δεδιότες, μηχανῶνται τοιόνδε· ἔχεσθαι τῆς ἀρχῆς ἕνα παρ' ἕνα, καὶ ταύτης παραχωρεῖν θατέρῳ τὸν ἕτερον· ὁ τοίνυν Ἐτεοκλῆς, ἅτε πρῶτος ὢν τοῦ ἀδελφοῦ, καὶ πρῶτος τῆς ἀρχῆς ἥψατο· Πολυνείκης δὲ ὑπεχώρησε, καὶ τελεσθέντος ἐνιαυτοῦ, ἀφίκετο πρὸς τὸν ἀδελφὸν, αἰτῶν καὶ αὐτὸς ἄρξειν ἐνιαυτόν. Ἐτεοκλῆς δὲ οὔτε ἐξέστη τῆς ἀρχῆς, καὶ ἄτιμον τὸν ἀδελφὸν ἀπέπεμψεν· ὃς καὶ πλανώμενος ἦλθεν εἰς Ἄργος, καὶ τὴν τοῦ βασιλέως Ἀδράστου λαβὼν θυγατέρα, πείθει τὸν κηδεστὴν συνάρασθαι τούτῳ πρὸς τὴν τῆς βασιλείας ἀνάληψιν· καὶ πλείστην ὅσην παραλαβὼν στρατιὰν, ἐπιστρατεύει τῷ ἀδελφῷ· ὅπως δὲ ἡ μήτηρ ἐθέλουσα πρὸ τῆς συμπλοκῆς διαλλάξαι τοὺς παῖδας, οὐδὲν ἴσχυσε, καὶ ὡς ἔχρησε Τειρεσίας, εἰ ὁ Κρέοντος υἱὸς Μενοικεὺς ἀνέλοι ἑαυτὸν ἐπὶ τὸν τοῦ δράκοντος φωλεὸν, κρατήσειν Ἀργείων Θηβαίους, καὶ ὡς γέγονε ταῦτα, καὶ οἱ τῶν Ἀργείων ἡγεμόνες πεπτώκασι πάντες πλὴν Ἀδράστου, καὶ ὡς μονομαχήσαντες πρὸς ἀλλήλους Ἐνεοκλῆς καὶ Πολυνείκης ὑπ' ἀλλήλων ἑκάτεροι ἀνηρέθησαν, καὶ ὡς ἐλθοῦσα πρὸς αὐτοὺς Ἰοκάστη, καὶ τεθνηκότας, εὑροῦσα συναπέσφαξεν ἑαυτὴν, καὶ ὡς Κρέων ἁψάμενος τῆς ἀρχῆς, Ἐτεοκλῆ μὲν θάπτει, Πολυνείκην δὲ ἄταφον εἴασε, καὶ Οἰδίπουν τῆς πόλεως ἐξήλασε, πάντα ταῦτα Εὐριπίδης ἔνδον κατὰ λεπτὸν διηγεῖται. Ἔστι δὲ τὸ παρὸν δρᾶμα τῶν ἄγαν ἐξαιρέτων, διανοίαις καὶ γνώμαις πολλαῖς καὶ καλαῖς καὶ ποικίλαις ἀνθοῦν καὶ μεταχειρίσει ἀρίστῃ, καὶ διὰ πάντων ἀκμάζον, εἰ καὶ ἀπίθανον ἔχει τὴν εἰς Θήβας Πολυνείκους εἴσοδον. ἐπιγέγραπται δε ἀπὸ τοῦ χοροῦ. Εὐριπίδου Φοίνισσαι πρὸς ἀντιδιαστολὴν τῶν ἑπτὰ ἐπὶ Θήβας Αἰσχύλου. ταύτῃ γάρ τῇ ὑποθέσει κἀκεῖνος χρῆται ἐν τῷ δευ-

τέρῳ. αὐτὰς δὲ τὰς παρθένους ἐκ Φοινίκης Ἀγηνορίδαι θυσίαν τῷ Ἀπόλλωνι ἔπεμψαν, αἵτινες καὶ πρὸς Δελφοὺς ἐρχόμεναι, παρέβαλον ταῖς Θήβαις διὰ τὸ καὶ τὸν Κάδμον, ὡς ἔφημεν, ἐκ Φοινίκης εἶναι· καὶ καταλαβόντος τοῦ πολέμου, ἠναγκάσθησαν μένειν αὐτόθι, μέχρις ἂν ἡ μάχη λωφήσῃ.

---

## ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΟΚΑΣΤΗ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΑΝΤΙΓΟΝΗ.
ΧΟΡΟΣ Φοινισσῶν γυναικῶν.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΕΤΕΟΚΛΗΣ.
ΚΡΕΩΝ.
ΜΕΝΙΚΕΥΣ.
ΤΕΙΡΕΣΙΑΣ.
ΑΓΓΕΛΟΣ.
ΑΓΓΕΛΟΣ. Ἕτερος
ΟΙΔΙΠΟΥΣ.

# ΦΟΙΝΙΣΣΑΙ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

### ΙΟΚΑΣΤΗ, ΠΑΙΔΑΓΩΓΟΣ, ΑΝΤΙΓΟΝΗ, ΧΟΡΟΣ.

Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν
Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις,
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
Ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
Ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν

Στίχ. 2. Ἐμβεβὼς] ἐκ συγκοπῆς, βεβηκὼς, βεβεὼς, βεβώς· μυθεύεται δ' ὁ ἥλιος ἐπὶ ἅρματος λευκοῦ περιελαύνειν τὸν οὐρανὸν, λαμπάδα φέρων ἐν δεξιᾷ, καὶ τὸ φῶς ἐν τῇ περιφορᾷ πέμπων τοῖς ὑπ' οὐρανόν· ἄστρα δ' ἐννοητέον τὰ ζώδια. 5. Κάδμος] Εὐρώπης ἁρπαγείσης ὑπὸ τοῦ Διὸς ἐν Συρίᾳ, Ἀγήνωρ ὁ πατὴρ πέμπει τοὺς ἑαυτοῦ υἱοὺς πανταχοῦ ζητήσοντας τὴν κόρην· ἦσαν δ' οὗτοι Κάδμος, Θάσος, Κίλιξ, καὶ Φηνεύς· Κάδμος δὲ ἐλθὼν εἰς Δελφοὺς, λαμβάνει χρησμὸν, δάμαλιν ἡγεμόνα ποιεῖσθαι τῆς ὁδοῦ· ὅπου δὲ αὕτη ἀναπαύσεται καθεσθεῖσα, ἐκεῖ κτίσαι πόλιν· γίνεται δὲ τοῦτο, καὶ κτίζει Θήβας· ἔνθα γήμαντι Ἁρμονίαν τὴν Κύπριδος, γίγνεται αὐτῷ παῖς Πολύδωρος· τούτῳ δὲ, Λάβδακος· τούτῳ δ' αὖ Λάϊος· ὃς γήμας Ἰοκάστην τὴν Μενοικέως, ἐπεὶ ἄτεκνος ἦν, ἧκεν εἰς Ἀπόλλωνος ἐξαιτησόμενος τέκνωσιν· ὁ δὲ ἀνεῖλεν ταῦτα.

# ΦΟΙΝΙΣΣΑΙ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

### ΙΟΚΑΣΤΗ, ΠΑΙΔΑΓΩΓΟΣ, ΑΝΤΙΓΟΝΗ, ΧΟΡΟΣ.

ΙΟ. ΗΛΙΕ, ὁ χρυσηλάτου δίφρου ἐπιβεβηκὼς, καὶ τὴν τοῦ οὐρανοῦ ἀψῖδα διὰ τῶν ζωδίων περιοδεύων, ὠκυτάτῃ ἱππασίᾳ τὴν κυκλολαμπῆ τοῦ φωτὸς ἄγων ἕλικα, ὡς δυστυχεστάτην ἀκτῖνα ἐξέπεμψας Θήβαζε, ἡνίκα Κάδμος,

---

» Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
» Δώσω τοι φίλον υἱὸν, ἀτάρ σε πεπρωμένον ἐστὶ,
» Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος· ὧς γὰρ ἔνευσε
» Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
» Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' εὔξατό σοι τάδε πάντα.

ἐκ δὴ τούτου γίγνεται αὐτῷ βρέφος· ὃ, ἀφοσιούμενος τὸν χρησμὸν, ἐκτίθησι εἰς τὸν Κιθαιρῶνα θηρίοις· ἔνθα οἱ Πολύβου ἐντυχόντες αὐτῷ ἱπποφορβοὶ, ἀναλαβόντες ἤγαγον Περιβοίῃ (ἢ Μερώπῃ κατ' ἄλλους) τῇ ἑαυτῶν δεσποίνῃ· ἡ δὲ εἰσεποιήσατο, ὀνομάσασα τὸ παιδίον Οἰδίπουν διὰ τὸ οἰδεῖσθαι τοὺς πόδας, διαπεπαρμένων αὐτῷ τῶν σφυρῶν ὑπὸ τοῦ πατρός· ὁ δὲ ἀνδρωθεὶς, ἔρχεται εἰς Δελφοὺς εὑρησόμενος ἐκ χρησμοῦ τοὺς τεκόντας· συμβαλὼν δὲ καθ' ὁδὸν τῷ πατρὶ, φιλονεικίας γενομένης περὶ τῆς ὁδοῦ, κτείνει Λάϊον, ἀγνοῶν· ἐν δὲ τούτῳ ἐπεφάνη ἡ Σφίγξ, παρθένος μὲν τὸ πρόσωπον καὶ τὸ

Τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα·
Ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,
Πολύδωρον ἐξέφυσε, τοῦ δὲ Λάϐδακον
Φῦναι λέγουσιν, ἐκ δὲ τοῦδε Λάϊον.
Ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς γαστρὸς ἐκ μιᾶς ἔφυ.
Καλοῦσι δ' Ἰοκάστην με (τοῦτο γὰρ πατὴρ
Ἔθετο) γαμεῖ δὲ Λάϊός μ'. ἐπεὶ δ' ἄπαις
Ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
Ἐλθὼν ἐρωτᾷ Φοῖϐον, ἐξαιτεῖ θ' ἅμα
Παίδων ἐς Οἴκους ἀρσένων κοινωνίαν.
Ὁ δ' εἶπεν. Ὦ Θήϐαισιν εὐΐπποις ἄναξ,
Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, ἔς τε βακχεῖον πεσὼν,
ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν,

---

στῆθος, λέων δὲ τὰς χεῖρας καὶ πόδας καὶ τὴν οὐράν. ὄρνις δὲ τὰς πτέρυγας ἄμφω, Τυφῶνος καὶ Ἐχίδνης θυγάτηρ· τὸ θηρίον τοῦτο πολὺν φθόρον ἐπέφερε Θήϐαις· αἴνιγμα γὰρ προϐάλλουσα, ὃ εἰ μή τις ἔλυεν, ἀναρπάσασα ἀνῄρει. ἦν δὲ τὸ αἴνιγμα τόδε.

» Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνὴ,
» Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
» Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
» Ἀλλ' ὁπόταν πλεόνεσσιν ἐπειγόμενον ποσὶ βαίνῃ,
» Ἔνθα τάχος γυίοισιν ἀμαυρότατον πέλει αὐτοῦ.

τοῦτο δὲ τὸ αἴνιγμα εἴτις λύσειε, καὶ τὴν πόλιν ἀπαλλάξειε τοῦ φθόρου, ὑπισχνεῖται αὐτῷ Κρέων, ὁ ἀδελφὸς Ἰοκάστης, τήν τε βασιλείαν Λαΐου καὶ

τὴν τῆς Φοινίκης καταλιπὼν παραλίαν, ἀφίκεθ' ὧδε· ἔνθα Ἁρμονίαν τὴν τῆς Κύπριδος εἰς γάμον ἁρμοσαμένῳ, ἐγένετο οἱ παῖς ἐξ αὐτῆς Πολύδωρος. Πολυδώρου δὲ, Λάβδακος· Λαβδάκου δὲ, Λαΐος οὑμὸς ἀνήρ· ἐγὼ δ' αὐτὴ Μενοικέως μὲν πατρὸς γενομένη, ἀδελφὴ δὲ Κρέοντος ὁμομήτριος, Ἰοκάστη ἀκούω· τοῦτο γὰρ ὁ πατὴρ, ἅμ' εἰς φῶς προελθούσῃ, ὄνομα ἔθηκέ μοι· γήμας δέ με Λάϊος, ἐπειδὴ αὐτῷ τὰ περὶ τὴν τέκνωσιν ἐκ τῆς ἐμῆς εὐνῆς ὅλως τῷ χρόνῳ ἀπεγνώσθη, ἐλθὼν εἰς Δελφοὺς, ἐξαιτεῖται παρὰ τοῦ θεοῦ παῖδας αὐτῷ γενέσθαι· ὁ δὲ ἀνεῖλεν αὐτῷ, εἰπών. ὦ ἄναξ Θηβῶν ἱπποτρόφων, μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ· εἰ δὲ μὴ, σύ τ' αὐτὸς ὑπὸ τοῦ γεννηθέντος ὕστερόν ποτε καταστρέψεις, καὶ πᾶς ὁ οἶκος ἐξῆς δι' αἵματος καὶ φόνου καταλυθήσεται· ὁ δὲ, ἐνδούς ποτε ἡδονῇ, καὶ οἴνῳ ὑποβεβρεγμένος, ἔσπειρεν ἡμῖν τέκνον· μετὰ δὲ ταῦτα ἐπιμνησθεὶς τοῦ θεοπροπίου, καὶ συνεὶς τὸ ἀτόπημα, βουλεύεται δεύτερα, παρακούσας τὰ πρῶτα· σιδήρῳ γὰρ τὰ τοῦ βρέφους διαπείρας σφυρὰ, ἐξ οὗ τὴν τοῦ Οἰδίποδος ἐπίκλησιν ἐπωνύμως συνέβη

---

γάμον τῆς βασιλίσσης· λύσας τοίνυν Οἰδίπους τῆς τε βασιλείας γίγνεται ἐγκρατὴς, καὶ Ἰοκάστην γαμεῖ τὴν μητέρα· ἐξ ἧς γεννᾷ Ἐτεοκλέα, Πολυνείκην, Ἀντιγόνην καὶ Ἰσμήνην· χρόνῳ δ' ὕστερον ἀνακαλυφθέντος τοῦ ἀνουσιουργήματος, βαρέως ἐνεγκὼν, αὐτὸς ἑαυτὸν ἐκτυφλοῖ, καὶ ὑπὸ τῶν παίδων κατακλείεται ἐν οἰκίσκῳ· ἐφ' ᾧ καταρᾶται ἐκείνοις ἐν αἵματι καὶ μαχαίρᾳ διακριθῆναι ἀμφισβητοῦντας περὶ τῆς ἀρχῆς· ὃ καὶ γίγνεται ἑξῆς. 12. Ἰοκάστην] πρόπαλαι δὲ ὠνομάζετο Ἐπεκάστη. καὶ Ὅμηρος Ὀδύσ· Λ'. στίχ. 270.

» Μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπεκάστην.

18. Ἄλοκα] αὔλακα· ἀπὸ μεταφορᾶς τῶν γεωργῶν· 21. Εἴς τε βακχεῖον πεσὼν, ἢ μεθύσας, οἰνωθείς· ἀπὸ τοῦ Βάκχου· οὕτως ὁ αὐτὸς ἐν τῷ Κύκλωπι, στίχ.

Λειμῶν' ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
Δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον·
Ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι,
Φέρουσ' ἐς οἴκους, ἔς τε δεσποίνης χέρας
Ἔθηκαν· ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον
Μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
Ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
Παῖς οὑμὸς, ἢ γνοὺς, ἤτινος μαθὼν πάρα,
Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
Πρὸς δῶμα Φοίβου, Λάϊός θ' οὑμὸς πόσις,
Τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν,
Εἰ μηκέτ' εἴη· καὶ ξυνάπτετον πόδα
Ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
Καί νιν κελεύει Λαΐου τροχηλάτης,
Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
Ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν· πῶλοι δέ νιν
Χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
Ὅθεν (τί τὰ 'κτὸς τῶν κακῶν με δεῖ λέγειν;)
Παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα,
Πολύβῳ τροφεῖ δίδωσιν· ὡς δ' ἐπεζάρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων ἀδελφὸς τἀμὰ κηρύσσει λέχη,

465. Βακχίου νικώμενος· ἢ ὑπὸ βακχικῆς μανίας ληφθείς· 24· Λέπας] ἀκρωτήριον, ὄρος γυμνόν· ἔνθα ναὸς Ἥρας ἦν· ἢ ἄλσος ἦν αὐτόθι τῆς Ἥρας, ὃ λειμῶνα καλεῖ. 28· Πολύβου.] κατά τινας μὲν Βοιωτίας καὶ οὗτος ἦν βασιλεὺς

σχεῖν παρὰ τῶν Ἑλλήνων, παρέδωκεν αὐτὸν βουκόλοις ἐκθεῖναι, εἰς τὸν Κιθαιρῶνα κατὰ τὸν τῆς Ἥρας κομίσαντας λειμῶνα· ἔνθα οἱ Πολύβου ἱπποφορβοὶ, ἐντυχόντες τῷ παιδίῳ, καὶ ἀναλαβόντες, ἤγαγον αὐτὸ τῇ ἑαυτῶν δεσποίνῃ· ἡ δὲ, ὑποβαλομένη, ὑπέσχεν αὐτῷ τὸν μαςὸν, τῷ ἐκ τῶν ἐμῶν ὠδίνων γεννηθέντι, καὶ Πόλυβον πείθει αὐτὴ τὸ βρέφος τεκεῖν· χρόνῳ οὖν ὕςερον, ἐπεὶ οὑμὸς παῖς ἐξ ἥβης ἤδη εἰς ἡλικίαν ἐμειρακίσατο, ἤτοι αὐτὸς ἀφ' ἑαυτοῦ συνεὶς, ἢ παρ' ἑτέρου μαθὼν τοῦτο, ἀπῄει εἰς Δελφοὺς, τοὺς ἑαυτοῦ τοκέας παρὰ τοῦ χρησμοῦ μαθησόμενος· ἅμα δὲ καὶ Λάϊος, ἀνὴρ οὑμὸς ἀπῆρεν ἐκ Θηβῶν εἰσόμενος, εἰ μηκέτι εἴη ὁ ἐκτεθειμένος· ὡς δὲ κατὰ συγκυρίαν συνέβαλον ἀλλήλοις ἀμφότεροι ἐν τριόδῳ κατὰ τὴν Φωκίδα, ὁ τοῦ Λαΐου ἁρματηλάτης φησὶ πρὸς Οἰδίποδα, ξένε, μεθίςασο μικρὸν τοῖς τυράννοις· ὁ δὲ ἐχώρει ὡς εἶχε πρόσω, τῶν προςεταγμένων μικρὰ φροντίζων· ὥςε προπηδῶντας τοὺς ἵππους ὄπισθεν πέριφλᾶν αὐτῷ τὰ περὶ τοὺς πόδας· καὶ τί δεῖ με λέγειν τἂν μέσῳ περίεργα; ἀποκτείνει ὁ παῖς τὸν πατέρα, καὶ λαβὼν τὸ ὄχημα, προσφέρει Πολύβῳ τῷ ἀναθρέψαντι· ὡς δὲ ὕστερον, καταςρέψαντος τοῦ Λαΐου, ἐπέβριθε τῇ πόλει ἡ Σφὶγξ πολλῇ ἁρπαγῇ, κηρύττει Κρέων οὑμὸς ἀδελφὸς

κατά τινας δὲ, Κορίνθου. 30. Τὸν ἐμὸν ὠδίνων πόνον] ἐναλλαγὴ τοῦτο ἀντὶ τοῦ, τὸν πόνον τῶν ἐμῶν ὠδίνων. 31. Μαστοῖς ὑφεῖτο] ὑπέβαλε τοῖς μαςοῖς ἑαυτῆς. 32. Πυρσαῖς γένυσιν] τὸ τῆς ἥβης ἄνθος ἐννοεῖ· ξανθίζει γὰρ ἀρχομένη ἐν τῷ τότε ἡ περὶ τὸν πώγωνα τρίχωσις. 38. Σχιστῆς ὁδοῦ] ἐν διχαζούσῃ ὁδῷ ὑπηντήθησαν συμβαλόντες, ὅ ἐστιν ἐν τριόδῳ στενῇ. 45. Ἐπεζάρει]

Ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
Τούτῳ ξυνάψειν λέκτρα· τυγχάνει δέ πως
Αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθὼν,
Ὅθεν τύραννος τῆςδε γῆς καθίσταται,
Καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός·
Γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
Οὐδ' ἡ τεκοῦσα παιδὶ συγκοιμωμένη.
Τίκτω δὲ παῖδας παιδὶ, δύο μὲν ἄρσενας,
Ἐτεοκλέα κλεινήν τε Πολυνείκους βίαν,
Κόρας τε δισσάς· τὴν μὲν Ἰσμήνην πατὴρ
Ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
Μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων
Ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
Ἐς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
Χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
Ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
Κλήθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
Γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
Ζῶν δ' ἔστ' ἐν οἴκοις, πρὸς δὲ τῆς τύχης νοσῶν,
Ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
Τὼ δ' ἐς φόβον πεσόντε, μὴ τελεσφόρους
Εὐχὰς θεοὶ κραίνωσιν, οἰκούντων ὁμοῦ,
Ξυμβάντ' ἔταξαν, τὸν νεώτερον πάρος
Φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα,

---

ἐπέβριθε ταῖς ἁρπαγαῖς. ἐπενέκειτο ἁρπάζουσα ἀεί τινα τῶν πολιτῶν. 63. Γένυς σκιάζεται] οἱ παῖδες γενειῶντες ἤδη καὶ ἀνδρωθέντες, εἷρξαν τὸν πατέρα

τῷ τὸ αἴνιγμα τῆς ὑποπτέρου ταύτης παρθένου λύσοντι γέρας τὸν ἐμὸν ἀποκείσεσθαι γάμον· κἀκ τούτου ἐξηγησάμενος ὁ Οἰδίπους, ἐμέ τε τὴν τεκοῦσαν ἀμφοτέρων ἀγνοίᾳ γάμῳ συνάπτει, καὶ εἰς τὸν βασίλειον ἀνακάθηται θρόνον, βραβεῖον σοφίας τὰ τῆς γῆς ταύτης κομισάμενος σκῆπτρα. Οὕτως ἔγωγ' ἡ δειλαία παῖδας, παιδὶ ὁμιλήσασα, ἔτεκον αὐτῷ, ἄρρενας μὲν δύο, Ἐτεοκλέα καὶ Πολυνείκην, θυγατέρας δ' αὖ ὁμοίως δύο· ὧν τὴν μὲν ὁ πατὴρ Ἰσμήνην, τὴν δ' ἐγὼ Ἀντιγόνην ὠνόμασα. Ἐκ δὴ τούτου οὐκ οἶδ' ὅπως ὁ πολύτλας Οἰδίπους μαθὼν τὴν ἀνόσιον ὁμιλίαν, αὐτός τε ὑφ' ἑαυτοῦ, χρυσηλάτοις βελόναις χρησάμενος, τοὺς ὀφθαλμοὺς ἐξορύττεται καὶ παρὰ τῶν παίδων, ἤδη ἀνδρωθέντων ἐν σκοτεινῷ καθείργνυται δωματίῳ, ἵνα δῆθεν, μεταστάντος αὐτοῦ ἐκποδὼν, εἰς λήθην ἔλθῃ τὰ συμβάντα τῷ χρόνῳ, καίτοι δυσαπόνιπτον τοῦτο ὂν, πολλῆς ἐπιτεχνήσεως δεῖται λόγων. Οὕτως οὖν καθειργμένος μὲν ἐν οἰκήματι, ὑπὸ δὲ τῆς τύχης νοσῶν καὶ παραλωβούμενος, ἀρὰς ἀρᾶται δεινὰς καὶ ἀλάστορας τοῖς παισὶ, ξίφει καὶ πολέμῳ περὶ βασιλείας πρὸς ἀλλήλους διακριθῆναι· οἱ δὲ δεδιότες, μή τι ἐπινεύσωσιν οἱ θεοὶ ταῖς ἀραῖς, ὥστ' ἐπιθεῖναι καὶ τὴν πρᾶξιν, συνέθεντο μηκέτι ζῆν μετ' ἀλλήλων, ἀλλ' ἑκάτερος χωρὶς παρ' ἐνιαυτὸν ἐκ διαδοχῆς ἀλλήλων τὰ

---

ἐν οἰκήματι, ἵν' εἰς λήθην τὸ πρᾶγμα ἔλθῃ τῷ χρόνῳ, καίτοι πολλῆς πρὸς τοῦτο δεόμενον τέχνης. 66. Πρὸ δὲ τῆς τύχης νοσῶν] πότερον καταδιωκόμενος ὑπὸ τῆς τύχης, ἢ παραβλαπτόμενος ὑπ' αὐτῆς εἰς τὸν νοῦν, ὥσθ' ὑπὸ ἀφροσύνης τοῖς ἑαυτοῦ καταρᾶσθαι παισί; δοκεῖ μᾶλλον τὸ δεύτερον, ὡς ἐκ τῶν

Ἐτεοκλέα δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς
Ἐνιαυτὸν, ἀλλάσσοντ'· ἐπεὶ δ' ἐπὶ ζυγοῖς
Καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,
Φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός·
Ὁ δ' Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
Πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων ἄγει.
Ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
Πατρῷ' ἀπαιτεῖ σκῆπτρα καὶ μέρη χθονός·
Ἐγὼ δ' ἔριν λύουσ', ὑπόσπονδον μολεῖν
Ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
Ἥξειν δ' ὁ πεμφθεὶς φησὶν αὐτὸν ἄγγελος.
Ἀλλ' ὦ φαεινὰς οὐρανοῦ ναίων πτύχας
Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ σύμβασιν τέκνοις.
Χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτῶν
Τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

ΠΑ. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρὶ,
Ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
Μεθῆκε μελάθρων ἐς διῆρες ἔσχατον,
Στράτευμ' ἰδεῖν Ἀργεῖον, ἱκεσίαισι σαῖς,
Ἐπίσχες, ὡς ἂν προὐξερευνήσω στίβον,
Μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
Κἀμοὶ μὲν ἔλθῃ φαῦλος, ὡς δούλῳ, ψόγος,
Σοὶ δ' ὡς ἀνάσσῃ· πάντα δ' ἐξειδὼς φράσω,
Ἅ τ' εἶδον, εἰσήκουσα τ' Ἀργείων πάρα,

---

ἑπομένων. 74. Ἐπὶ ζυγοῖς] τὸ Ζυγὸς ἀντὶ τοῦ θρόνος εἴληπται ἐνταῦθα, ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ πλείῳ ζυγῶν, ἐν οἷς κάθηνται οἱ ἐρέττοντες. καὶ Ὅμηρος δὲ ὑψίζυγον τὸν ὑψίθρονον βασιλέα καλεῖ. 84. Πτύχας] πτὺξ πτυχὸς, καὶ πτυ-

σκῆπτρα κατέχειν, ἀποδημοῦντος τοῦ ἑτέρου· ἐπειδὴ δ' Ἐτεοκλῆς πρῶτος τῷ πρεσβύτερος εἶναι (τοῦτο γὰρ αὐτοῖς ὡμολόγητο) καθῆστο ἐπὶ τοῦ θρόνου, καὶ οὐκέτι ἐν τῇ προθεσμίᾳ παρεχώρει θατέρῳ, ἀλλ' ἐξελαύνων ἦν πανταχόθεν τῆς χώρας, ἐλθὼν ἐκεῖνος εἰς Ἄργος, γαμεῖ τὴν Ἀδράστου· ὅθεν Ἀργείων στρατὸν οὐκ εὐκαταφρόνητον συλλεξάμενος, πάρεισι πρὸ τῆς πόλεως, τήντε πατρῴαν ἀρχὴν, καὶ τὸ ἐπιβάλον αὐτῷ ἀπαιτῶν τῆς οὐσίας· ἐγὼ δ' ἡ δειλαία, ἵνα λόγῳ διαλυθῇ αὐτοῖς τὰ διάφορα, ἔπεισα, πέμψασα πρὸ τῶν χειρῶν εἰς λόγους ἐλθεῖν ἐν σπονδαῖς· καίμοι ἀρτίως ἐλθὼν ὁ ἄγγελος, ἀπήγγειλεν αὐτίκα ἐκεῖνον ἥξειν. Ἀλλὰ σύγ', ὦ Ζεῦ, ὁ τὸν μέγαν κατοικῶν οὐρανὸν, ἱλήκοις ἡμῖν, τοὺς παῖδας διαλλάξας· δεῖ γὰρ δὴ, σοφὸν πεφυκότα, μηδένα τῶν θνητῶν ἐᾷν δυςυχεῖν διὰ βίου.

ΠΑ· Ὦ ἀγλαὸν βλάςημα τῷ σῷ πατρὶ Ἀντιγόνη ἐκφῦσα, ἐπειδή σοι ἡ μήτηρ, ἐπινεύσασα ταῖς σαῖς ἱκεσίαις, συνεχώρησεν, ἐξελθοῦσαν τοῦ παρθενῶνος, ἀνελθεῖν εἰς τὸ ὑπερῷον τοῦτο, τὸ τῶν Ἀργείων ἐπισκοπήσουσα ςράτευμα, ἐπίσχες μικρόν· δεῖ γὰρ δὴ προσκοπεῖν, μήτις τῶν πολιτῶν φαίνηταί πῃ διατρίϐων ἐνταῦθα· ὁ κἀμοὶ μὲν ὡς δούλῳ, σοὶ δὲ ὡς βασιλίδι καὶ μᾶλλον ἐπίμεμπτον ἔςαι· ἐγὼ δ' ἐρῶ σοι πάντα σαφῶς εἰδὼς, ἃ ἑωρακώς τε καὶ

---

χὴ, πτυχῆς. τὰς ἀκρωρείας δὲ, ἢ αὐτὰς τὰς νεφέλας λέγει. 90. Διῆρες] ὑπερῷον δίςεγον. 91. Ἱκεσίαις σαῖς] ἀπόδος τὴν δοτικὴν εἰς τὸ Μεθῆκεν, ἢ ἐννοητέον τὸ, χαριζομένη ἡ μήτηρ ταῖς σαῖς ἱκεσίαις. 95. Σοὶ δ' ὡς ἀνάσσῃ]

Σπονδαῖς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων
Ἐνθένδ' ἐκεῖσε δεῦρό τ' αὖ κείνου πάρα.
Ἀλλ' (οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις·)
Κέδρου παλαιὰν κλῖμαχ' ἐκπέρα ποδί·
Σκόπει δὲ πεδία καὶ παρ' Ἰσμηνοῦ ῥοὰς
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

ΑΝ. Ὄρεγε νῦν, ὄρεγε γεραιὰν νέᾳ
Χεῖρ' ἀπὸ κλιμάκων, ποδὸς ἴχνος ἐπαντέλλων.

ΠΑ. Ἰδοὺ, ξύναψον, παρθέν', ἐς καιρὸν δ' ἔβης·
Κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
Στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

ΑΝ. Ἰὼ πότνια παῖ Λατοῦς
Ἑκάτα, κατάχαλκον ἅπαν
Πεδίον ἀστράπτει.

ΠΑ. Οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

ΑΝ. Ἆρα πύλαι κλῄθροις
Χαλκόδετά τ' ἔμβολα
Λαϊνέοισιν Ἀμφίονος ὀργάνοις
Τείχεος ἥρμοσται;

ΠΑ. Θάρσει· τά γ' ἔνδον ἀσφαλῶς ἔχει πόλις.
Ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

---

μείζων δηλονότι ψόγος. 99. Χρίμπτεται] ςρέφεται. 102. Δίρκη] κρήνη Θηβῶν πλησίον τοῦ Ἰσμηνοῦ· καλεῖται δὲ οὕτω καὶ ὁ τόπος καὶ ὁ ποταμὸς ἀπ' αὐτῆς. 104. Ἐπαντέλλων] προσαναβιβάζων τὸν σαυτοῦ πόδα, ἄνελκε κἀμέ· ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἀνατολικῆς ἀναβάσεως τοῦ ἡλίου. 105. Ξύναψον] σεαυτὴν πρὸς ἐμέ. 111. Φαύλως] ἐνδεῶς, ἄνευ μεγάλης παρασκευῆς. 115

ἀκηκοὼς ἐν τῷ στρατοπέδῳ τυγχάνω, ὅτ' ἀπήειν πρὸς αὐτὸ, σπονδὰς πρὸς τὸν σὸν ἀδελφὸν φέρων ἐντεῦθεν ἐκεῖσε, κἀκεῖθεν πάλιν δεῦρο· ἀλλ' εὖ ἔχει· οὐδεὶς γὰρ τῶν ἀςῶν διατρίβει ἐνταῦθα· ἄνελθε τοίνυν τὴν ἀρχαίαν κλίμακα ταυτηνὶ τὴν κεδρίνην· σκόπει δὲ τὸ τῶν πολεμίων ςράτευμα, ὅσον καὶ οἷον παρὰ τὸ ῥεῖθρον τοῦ Ἰσμηνοῦ καὶ τῆς Δίρκης ἀνὰ πᾶν ἐκκέχυται τὸ πεδίον·

**ΑΝ.** Ὄρεξόν μοι, ὦ γέρον, τὴν χεῖρα, ἔκτεινον ἀπὸ τῶν κλιμάκων, ἔνθα τυγχάνεις προσαναβάς.

**ΠΑ.** Ἰδοὺ, πρόσιθί μοι, ὦ κόρη· εὖγε, καὶ ἐν καιρῷ τούτῳ ἥκες· ὅρα γὰρ, ὅπως ἅπας ὁ στρατὸς εἰς λόχους κεκίνηται, ἄλλων ἄλλῃ τῶν πελασγῶν παρατατομένων.

**ΑΝ.** Ἰὼ, ὦ σεπτὴ Ἑκάτη, θύγατερ Λητοῦς, ὅσον ἀστράπτει τῷ χαλκῷ πᾶν τουτὶ τὸ πεδίον!

**ΠΑ.** Οὐ γὰρ φαύλως, οὐδ' ἐνδεῶς πάρεισι Πολυνείκης, τοσούτοις μὲν ἱππεῦσι, μυρίοις δὲ ὁπλίταις ἡμῖν ἐπ...

**ΑΝ.** Τὰ δὲ περὶ τὰς πύλας πῶς ἔχει; ἆρ' ἔκλεισέ τις, ἐναρμόσας τοὺς μοχλοὺς ἀραρότως πρὸς τοὺς λίθους τοῦ τείχους, καὶ τοῦ οὐδοῦ, ἃ ἔργα κλείζεται Ἀμφίονος εἶναι;

**ΠΑ.** Τὰ μὲν ἔνδον θάρρει, ἀσφαλῆ καὶ ἀνύποπτα ἐςὶ πάντα· σὺ δὲ, εἰ βούλει μαθεῖν, σκόπει μοι πρῶτον ἐκεινονί.

---

Λαϊνέοις Ἀμφίονος ὀργάνοις] Ἀμφίων ἦν ὁ τὴν πόλιν ἑπτάπυλον οἰκοδομήσας, οὐ χερσὶ χρώμενος· ἀλλὰ μέλος ἀνακρουόμενος, ἐκίνει τοὺς λίθους· διὸ καὶ τὰς πύλας ἴσας ταῖς τῆς λύρας χορδαῖς ἐποίησεν. Χαλκόδετα δὲ, ἢ ὡς ἐν ἄλλοις, Χαλκόδοντα, φησὶ τὰ σιδηρᾶ ἔμβολα, τὰ κλεῖθρα, ἢ τοὺς στροφεῖς, δι' ὧν στρέφεται ἡ πύλη ἐπὶ λιθίνων βάσεων, ἃ ἔργα ἦν Ἀμφίονος· τὸ γὰρ ὅρ'

ΑΝ. Τίς οὗτος ὁ λευκολόφας,
Πρόπαρ ὃς ἀγεῖται ςρατοῦ
Πάγχαλκον ἀσπίδ' ἀμφὶ βρα-
Χίονα κουφίζων;
ΠΑ. Λοχαγὸς, ὦ δέσποινα.
ΑΝ. Τὶς, πόθεν γεγώς;
Αὔδησον, ὦ γεραιὲ, τὶς ὀνομάζεται;
ΠΑ. Οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ' Ἱππομέδων ἄναξ.
ΑΝ. Ἒ ἔ, ὡς γαῦρος, ὡς φοϐερὸς εἰσιδεῖν,
γίγαντι γηγενέτᾳ προσόμοιος,
Ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ πρόσφορος
Ἁμερίῳ γέννᾳ.
ΠΑ. Τόνδ' ἐξαμείϐοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ
Λοχαγόν;
ΑΝ. Ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἔστιν οὗτος;
ΠΑ. Παῖς μὲν Οἰνέως ἔφυ,
Τυδεὺς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.
ΑΝ. Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
Αὐτοκασιγνήτας νύμφας

---

γανον ἐνταῦθα ἀντὶ τοῦ ἔργον εἴληπται. ἄλλοι δὲ, κατὰ τὸν σχολιαστὴν, ἔμϐολά φασι τὰς καθέτους τὰ νῦν καλούμενα πτερὰ, ἅπερ ἐςὶ τῇ κατασκευῇ τοιάδε· θύραν κατασκευάσαντες ἴσην κατάγε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους, ἔξωθεν αὐτῆς χαλκοπέταλα καθηλοῦσιν, ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι, ταύτην ἐπάνω τῆς θύρας ἱςᾶσιν οὐχ ἑδραίαν, ἀλλ' ἀφιᾶσιν ἄνωθεν τὴν κεχαλκωμένην θύραν, ἥτις μέχρι τοῦ ἐδάφους φθάνουσα, καλύπτει τὴν θύραν

ΑΝ. Τὸν λευκολόφην φὴς, ὃς ἡγεῖται τοῦ ϛρατοῦ, παγχάλκεον φέρων ἀσπίδα; τίς ἔσθ' οὗτος;

ΠΑ. Λοχαγὸς, ὦ δέσποινα.

ΑΝ. Τίς; καὶ ποδαπὸς; λέγε μοι, ὦ γέρον, σαφῶς τούτου τοὔνομα.

ΠΑ. Ἱππομέδων, ὁ Μυκηναῖος βασιλεὺς, ὁ περὶ τὴν Λερναίαν οἰκῶν.

ΑΝ. Ἰοὺ, ἰοὺ, ὡς γαῦρος καὶ φοβερὸς ἐϛ' ἰδεῖν· γίγαντι, οὐκ ἀνθρώπῳ ἔοικεν ὅλως, ἀϛεροειδὴς ὢν ταῖς τῆς ἀσπίδος γραφαῖς.

ΠΑ. Ὁρᾷς δὲ καὶ τὸν Λοχαγὸν δευρὶ τουτονὶ, ὃς ἤδη παραλλάττει τὴν Δίρκην;

ΑΝ. Ὁρῶ ἄλλον τοῦτον τῆς ὁπλίσεως τρόπον· τίς δ' οὗτος ἐϛίν;

ΠΑ. Τυδεὺς ὁ Οἰνέως, Αἰτωλίζων ὅλως τοῖς ὅπλοις.

ΑΝ. Τὸν σύγγαμβρον φὴς Πολυνείκους, εἴγ' οὗτος γαμεῖ τὴν

---

ὡς ἂν μηδεμίαν ἐπιβουλὴν γίνεσθαι· ἔσθ' ὅτε καὶ πυρὸς προσφερουμένου ταῖς πύλαις ξυλίναις οὔσαις, καὶ πολεμίων πολιορκούντων, τάς τε πύλας ἔκλειον, καὶ τὰ ἔμβολα καθίεσαν· εἰρήνης δέ οὔσης, διὰ τὸ τὰς πύλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἴων ἀνεωγμένας διὰ παντὸς, ἑσπέρας δ' ἠρκοῦντο τῷ ἐμβόλῳ, διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες· ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν. χαλκόδετον δὲ, διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ 126. Λερναῖα] πηγὴ ἐν Μυκήναις ἡ Λέρνη· 129. Ἀϛερωπὸς ἐν γραφαῖς] ἀσπίδα ἔχων κατάϛικτον ἄϛροις. 134. Αἰτωλὸν] ὅπλα Αἰτωλικὰ, μιξοβάρβαρα· οἱ δὲ, τὸν περὶ τοῦ συὸς πόλεμον ἐπὶ τῆς Ἀσπίδος ἔχειν φασί· καὶ ἀπὸ τοῦ Καλιμάχου τὸ μονόϛιχον ἐκεῖνο εἰσάγουσι.

» Εἰ μὴ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρην.

Ὁμόγαμος κυρεῖ;
Ὡς ἀλλόχρος ὅπλοισι, μιξοβάρβαρος.
ΠΑ. Σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
Λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
ΑΝ. Σὺ δ', ὦ γέρον, πῶς αἰσθάνῃ σαφῶς τάδε;
ΠΑ. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων, ἐγνώρισα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων·
Ἃ προσδεδορκὼς οἶδα τοὺς ὡπλισμένους.
ΑΝ. Τίς δ' οὗτος ἀμφὶ μνῆμα τοῦ Ζήθου περᾷ
Καταβόστρυχος, ὄμμασι γοργὸς εἰσ-
ιδεῖν νεανίας;
ΠΑ. Λοχαγός.
ΑΝ. Ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
Πάνοπλος ἀμφέπει.
ΠΑ. Ὅδ' ἐστι Παρθενοπαῖος, Ἀταλάντης γόνος.
ΑΝ. Ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα, τόξοις δαμάσασ', ὀλέσειεν,
Ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
ΠΑ. Εἴη τάδ', ὦ παῖ· σὺν δίκῃ δ' ἥκουσι γῆν.
Ὃ καὶ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.
ΑΝ. Ποῦ θ' ὃς ἐμοὶ μιᾶς ἐγένετ' ἐκ ματρὸς
Πολυπόνῳ μοίρᾳ;
Ὦ φίλτατ', εἰπὲ, ποῦ 'στι Πολυνείκης, γέρον'
ΠΑ. Ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης Ἀδράστῳ πλησίον παραστρατεῖ.
Ὁρᾷς;

---

144. Ζήθου] συνεργὸς ἦν ὁ Ζῆθος Ἀμφίονι ἐν τῇ τοῦ τοίχους οἰκοδομῇ. 148. Λοχαγὸς] σύναψον τοῦτο κατωτέρω τῷ 152. τὸ δὲ ὑστέρῳ ποδὶ τὸ ὄπισθεν δηλοῖ. 150. Ἀταλάντης] Ἰάσου μὲν παῖς, Μελανίωνος δὲ γυνή· ἥτις παρθενίαν

ἑτέραν τῶν Ἀδραστίδων. ὡς ἀλλοῖός ἐσθ' οὗτος, μιξοβάρβαρος ὅλως τῇ ὁπλίσει·

ΠΑ. Πάντως γε· Αἰτωλοὶ γὰρ πρὸς τῷ σακεσφόροι εἶναι, ὡς εὐςόχως λέγονται καὶ ἀκοντίοις χρῆσθαι.

ΑΝ. Ἀλλὰ πόθεν σοι, ὦ γέρον, προσγέγονε ταῦθ' οὕτω καλῶς εἰδέναι.

ΠΑ. Ἐκ τῶν σημείων, ἃ ἕκαστος αὐτῶν τυγχάνει φέρων ἐπὶ τῆς ἀσπίδος· εἶδον γὰρ ταῦθ', ὁπότ' ἀπῄειν ἐκεῖσε, τῷ σῷ ἀδελφῷ κομισόμενος τὰς σπονδάς.

ΑΝ. Οὗτος δ' ὁ νεανίας, ὁ πολὺν τὸν βόστρυχον καθειμένος, καὶ γοργότερον περιβλέπων, τὸν ἤδη παραμείβοντα τὸ τοῦ Ζήθου μνῆμα φημὶ, τίς ποτ' ἐςίν; ὡς πολὺς αὐτῷ ὄχλος ἔνοπλος ἕπεται.

ΠΑ. Λοχαγὸς καὶ οὗτος, ὦ τέκνον, ὁ Παρθενοπαῖός ἐστιν ὁ τῆς Ἀταλάντης παῖς.

ΑΝ. Ἀλλ' ἡ τῇ μητρὶ αὐτοῦ συγκυνηγετοῦσα Ἄρτεμις ἀπωλέσειεν αὐτόν· τί γὰρ παθὼν, τὴν ἐμὴν ἧκε πορθήσων πόλιν;

ΠΑ. Γένοιτο μὲν ταῦτ', ὦ παῖ· δέος δὲ, μὴ κρίνωσιν οἱ θεοὶ τοὐναντίον, ἐν δίκῃ δοκούντων πως ἐκείνων ἐπιςρατεῦσαι.

ΑΝ. Ἀλλ', ὦ φίλτατε γέρον, Πολυνείκης ὁ πολυστενάκτῳ τύχῃ ὁμομήτριός μοι ἀδελφὸς πεφυκὼς, ποῦ ἔσθ' οὗτος;

ΠΑ. Οὐχ ὁρᾷς ἐκεῖνον δευρὶ, ὃς παρὰ τὸν τάφον τῶν τῆς Νιόβης ἑπτὰ παρθένων ἵςαται παρὰ τῷ Ἀδράςῳ;

---

ποτὲ ἀσκοῦσα, συνεκυνηγέτει Ἀρτέμιδι· ἣν ὀργισθεῖσαν κινεῖ νῦν εἰκότως κατὰ τῆς λειπούσης τὴν τάξιν. 160. Νιόβης] μεγαλαυχήσασα πρὸς Λητὼ ἡ Νιόβη ἐπὶ πολυτεκνίᾳ, ὑπὸ τῶν τῆς Λητοῦς παίδων ἑπτὰ θυγατέρας τρωθείσας ἀπώλεσεν· οἱ δὲ καὶ ἑπτὰ ἔτ' υἱέας· ὧν καὶ Εὐριπίδην ἐν Κρεσφόντῃ φασὶ ποιῆσαι τοδὶ,

» . . . . . Καὶ δὶς ἕπτ' αὐτῆς τέκνα

» Νιόβης θανόντα Λοξίου τοξεύμασι.

ΑΝ. Ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δέ πως
Μορφῆς τύπωμα, στέρνα τ' ἐξῃκασμένα.
Ἀνεμώκεως εἴθε δρόμον νεφέλας
Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος
Πρὸς ἐμὸν ὁμογενέτορα, περὶ δ' ὠλένας
Δέρᾳ φιλτάτᾳ βάλοιμι χρόνῳ
Φυγάδα μέλεον! ὡς
Ὅπλοισι χρυσέοισιν ἐκπρεπὴς, γέρον,
Ἑῴοις ὅμοια φλεγέθων βολαῖς ἀελίου.
ΠΑ. Ἥξει δόμους τούσδ', ὥστε σ' ἐμπλῆσαι χαρᾶς,
Ἔνσπονδος.
ΑΚ. Οὗτος δ', ὦ γεραιὲ, τίς κυρεῖ,
Ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
ΠΑ. Ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε.
Σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαιμάτου ῥοαί.
ΑΝ. Ὦ λιπαροζώνου θύγατερ Ἀελίου
Σελαναία, χρυσεόκυκλον φέγγος,
Ὡς ἀτρεμαῖα κέντρα καὶ
Σώφρονα πώλοις
Μεταφέρων, ἰθύνει!
Ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς;
ΠΑ. Ἐκεῖνος προσβάσεις τεκμαίρεται
Πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.
ΑΝ. Ἰὼ Νέμεσι καὶ Διὸς βαρύβρομοι βρονταὶ,
Κεραύνιόν τε πῦρ αἰθαλόεν, σύ τοι
Μεγαλαγορίαν ὑπεράνορα κοιμίζοις.
Ὅδ' ἐστὶν, αἰχμαλωτίδας ὃς δορὶ

162. Ἐξῃκασμένα] ἀττικῶς, ἀντὶ τοῦ συνηθεστέρου ἐξεικασμένα. 163. Ἀνεμ

ΑΝ. Ὁρῶ δῆτ', ἀλλ' ἀμυδρῶς πως, τόντε τύπον τῆς μορφῆς καὶ τὸ στῆθος οὐ πάντῃ παρηλλαγμένα. Ἀλλὰ πῶς ἂν εἴη μοι πτῆναι, ὥσπερ νεφέλη, διὰ τοῦ αἰθέρος πρὸς τὸν ἐμαυτῆς ἀδελφὸν, τὸν ἀθλίως φυγαδευθέντα, καὶ τὴν φίλην μοι κεφαλὴν αὐτοῦ ἀμφοτέραις ταῖς χερσὶν περιπτύξασθαι ταῖς χερσίν; ὡς εὐειδής ἐςιν, ὦ γέρων, καὶ μάλιστ' ἐν ὅπλοις διαπρέπων χρυσοῖς, ὁμοίως ταῖς τοῦ ἡλίου ἐξαςράπτων ἀκτῖσιν!

ΠΑ. Ἀλλὰ χαῖρ' εὖ μάλα σύγε· ἥξει γὰρ οὗτος αὐτίκα μάλα ἔνσπονδος δεῦρο.

ΑΝ. Οὗτος δ' αὖ ὁ ἐφ' ἅρματος λευκοῦ τίς ὢν τυγχάνει;

ΠΑ. Ἀμφιάρεως ὁ μάντις, ἱερεῖα εἰς θυσίαν κομίζων.

ΑΝ. Ὦ σελήνη, θύγατερ ἡλίου τοῦ περιλαμποῦς, σέλας κυκλικὸν, ὡς εὐςόχως τὴν μάςιγα κινῶν, διακυβερνᾷ τὴν ἀπήνην· ὁ δὲ Καπανεὺς, ὁ τὰ μέγιστα ἐξυβρίζων εἰς τὴν πόλιν, ποῦ ἔσθ' οὗτος;

ΠΑ. Ἀμφὶ τὰς πύλας ἔχει, τὰς τοῦ τείχους προσβάσεις πάντα πανταχόθεν σκοπούμενος.

ΑΝ. Ἰὼ Νέμεσι, καὶ βρονταὶ ὑψίκροτοι τοῦ Διὸς, καὶ πῦρ τὸ τοῦ κεραυνοῦ, σὺ καθέλοις τὸν μέγ' ἐπ' ἰσχύϊ φρονοῦντα τοῦτον· οὗτος γὰρ ἔσθ', ὅςτις τὴν πόλιν δουλείᾳ πε-

---

μώκεως] ὠκὺς ὡς ὁ ἄνεμος. 165. Περὶ δὲ] εἴθε περιβάλοιμι τὰς ἐμαυτῆς ὠλένας περὶ τὸν λοιμὸν αὐτοῦ· τὸ δὲ, Μέλεον φυγάδα, συντακτέον μᾶλλον πρὸς τὸ Ὁμογενέτορα. 174. Φιλαιμάτου ῥοαί.] τῆς φιλούσης δέχεσθαι τὰς τῶν αἱμάτων ῥοάς. 176. Θύγατερ ἡλίου σελήνη.] ἡ γεννᾶται παρ' ἐκίνου, δεχομένη τὸ φῶς. ἄλλως δὲ ἀδελφὴν ἡλίου τὴν σελήνην φασὶ γενέσθαι. καὶ Ἡσίοδος

» Θεία δή, ἠλιόν τε μέγαν, λαμπράν τε σελήνην

» Γείνατο. . . . . . . . . . . .

Οἱ δὲ, καὶ Λιτοῦς καὶ Διός. 185 Μεγαλαγορίαν] ἐν ἄλλοις, μεγαλανορίαν, ἀλαζονίαν. 187. Λερναία τριαίνη Ποσειδωνίοις Ἀμυμωνίοις] Ἀμυμώνη ἡ Κά-

Θηβαίας Μυκήναισιν Λερναία  
Τε δώσει τριαίνα, Ποσειδανίοις  
Ἀμυμωνίοις ὕδασι δουλείαν περιβαλών.  
Μήποτε, μήποτε τάνδ', ὦ πότνια  
Χρυσεοβόστρυχε,  
Ὦ Διὸς ἔρνος Ἄρτεμι, δουλοσύναν τλαίην.

ΠΑ. Ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας  
Ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου  
Ἐς τέρψιν ἦλθες, ὧν ἔχρῃζες εἰσιδεῖν.  
Ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,  
Χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.  
Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ,  
Σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,  
Πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις  
Γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

ΧΟ. Τύριον οἶδμα λιποῦσ' ἔβαν (Στρ.)  
Ἀκροθίνια Λοξία  
Φοινίσσας ἀπὸ νάσου  
Φοίβῳ δούλα μελάθρων,  
Ἵν' ὑπὸ δειράσι νιφοβόλοις  
Παρνασοῦ κατενάσθην,  
Ἰόνιον κατὰ πόντον ἐλά-

---

δμου θυγάτηρ ἔρχεται εἰς Λέρνην ἀρυσομένη ὕδωρ· Ποσειδῶν δὲ ἰδὼν, καὶ ἔρωτι ληφθεὶς, ἐμίγη, πήξας τὴν τρίαιναν παρὰ τὴν πηγήν· ἐξ ἧς καὶ Λερναῖα τρίαινα προσηγόρευται· ἐσχημάτισε δὲ καὶ τἄλλα ὁμοίως εἰς κτητικὰ ἀντὶ τῶν πρωτοτύπων· οἷον, ἐν τοῖς ὕδασι τοῦ Ποσειδῶνος καὶ τῆς Ἀμυμώνης 196. τὸν Χορόν φησι τῶν γυναικῶν] εἰσαγόμενον ἤδη, ὡς δῆθεν ὑπὸ τοῦ θορύβου· 202. Τύριον οἶδμα] ἤτοι τὴν νῆσον αὐτὴν ἐννοεῖ ὡς ἐξέχουσαν τῆς

ριβαλῶν, Θηβαίας εἰς Μυκήνας καὶ Τρίαιναν τῆς Λέρνης, τὰ τοῦ Ποσειδῶνος καὶ τῆς Ἀμυμώνης ὕδατα, δορυαλώτους ἐπαπειλεῖ ἀπάξειν· ὦ πότνια Ἄρτεμι, μή ποτε γένοιτο, ὦ βλάστημα Διὸς χρυσοβόστρυχον, μή μοι γένοιτο τοιαύτην ὑποστῆναι δουλείαν.

ΠΑ. Ὥρα δὲ νῦν, ὦ τέκνον, εἰσελθεῖν εἰς τὸν παρθενῶνα, ἔνθα σε χρὴ παραμένειν, τὸν πόθον, ὧν ἔχρηζες ἰδεῖν, καλῶς πληρώσασ' ἤδη· ταραχῆς γὰρ ἔξωθεν εἰσιούσης τὴν πόλιν, ὁρῶ ὄχλον ἐκεῖνον γυναικῶν εἰσερχομένων εἰς τὰρχεῖα· οἶσθα γὰρ ὅσον τὸ θῆλυ φιλόσκωμμον πέφυκε, καὶ μικρᾶς λαβόμενον ἀφορμῆς, οὐ παύεται ἐπιφέρων λόγους ἐπ' ἄλλοις ἄλλους· ἡδὺ γὰρ γυναιξὶ, εἴπερ ἄλλο τι, κακῶς ἀλλήλας λέγειν.

ΧΟ. Τὸ τῆς Τύρου λιποῦσα κῦμα, ἐπέμφθην ἀπὸ τῆς νήσου Φοινίσσης, ἀκροθίνια τῷ Ἀπόλλωνι ἀνατεθησομένη, ἔνθα

---

θαλάσσης τὸ κῦμα· ὁ δὲ Χορὸς ἐκ Φοινισσῶν γυναικῶν συνεστακέναι λέγεται, ἵν' εὐτολμότερος εἴη πρὸς τὴν Ἐτεοκλέους πλεονεξίαν· ἐκπορθηθείσης γὰρ τῆς Τύρου ὑπὸ τῶν Ἀγηνοριδῶν, ἀπεστάλησαν ἀκροθίνια τῆς νίκης Ἀπόλλωνι· ἀπερχόμεναι τοίνυν, ἠναγκάσθησαν καταμεῖναι ἐν Θήβαις διὰ τὸν ἐπικείμενον πόλεμον. 204. Φοινίσσας ἀπὸ νάσου] τὴν Τύρον ἐννοεῖ, νῆσον τὸ πάλαι οὖσαν Φοινίκης. 206. Ὑπὸ δειράσι νιφοβόλοις] ὑπὸ ταῖς κορυφαῖς τοῦ Παρνασοῦ ταῖς ὑπὸ τῶν νιφάδων βαλλομέναις. 207. Κατενάσθην] ἀντιχρονισμὸς ἀντὶ τοῦ καταναςθήσομαι. ἢ ἔνθα διωρίσθην καταναςθῆναι, κατοικῆσαι. 208. Ἰόνιον κόλπον] τετάρακται ἐνταῦθα τὸ τῆς γεωγραφίας· ἵν οὖν εὐοδωθῇ, ἐννοητέον, ὅτι ἀποπλανηθεῖσαι αἱ Φοίνισσαι εἰρεσίᾳ πρὸς τὴν Σικελίαν, ζεφύρου πνεύσαντος ὕστερον, ἔπλεον ἐκεῖθεν ὡς ἀπὸ τῆς δύσεως. εἰ δὲ γράψαιμεν Ἰώνιον ἀντὶ τοῦ Ἰόνιον, εὐοδωθείη μᾶλλον ὡδί. Ἔβαν ἐλάτᾳ (ὅ ἐστιν εἰρεσίᾳ) τὴν κατὰ Ἰωνίαν πλεύσασαι θάλασσαν. διὰ τί δὲ κώπῃ, ἀλλ' οὐχ ἱστίῳ; ὅτι Ζέφυρος ὑπὲρ Σικελίαν ἀντιπνέων ἐκώλυεν· ἀκάρπιστα δὲ πεδία, ἢ τὰ ὕδατα τῆς θα-

Τὰ πλεύσασα, περιῤῥύτων
Ὑπὲρ ἀκαρπίςων πεδίων
Σικελίας Ζεφύρου πνοαῖς
Ἱππεύσαντος, ἐν οὐρανῷ
Κάλλιςον κελάδημα,
Πόλεως ἐκ προκριθεῖσ' ἐμᾶς (Ἀντ. α΄.)
Καλλιςεύματα Λοξίᾳ.
Καδμείων δ' ἔμολον γᾶν,
Κλεινῶν Ἀγηνοριδᾶν,
Ὁμογενεῖς ἐπὶ Λαΐου
Πεμφθεῖσ' ἐνθάδε πύργους.
Ἴσα δ' ἀγάλμασι χρυσοτεύ-
Κτοις Φοίβῳ λάτρις ἐγενόμαν·
Ἔτι δὲ Κασταλίας ὕδωρ
Ἐπιμένει με κόμας ἐμὰς
Δεῦσαι, παρθένιον χλιδὰν,
Φοιβείαισι λατρείαις.
Ὦ λάμπουσα πέτρα πυρὸς (Ἐπῳδός.)
Δικόρυφον σέλας ὑπὲρ ἄκρων
Βακχείων, Διονύσου
Οἴνα θ', ἃ καθαμέριον
Στάζεις τὸν πολύκαρπον οἰ-
Νάνθας ἱεῖσα βότρυν,
Ζαθεά τ' ἄντρα δράκοντος, οὔ-
Ρειαί τε σκοπιαὶ θεῶν,
Νιφόβολόν τ' ὄρος ἱερὸν, εἰ-
Λίσσων ἀθανάτου θεοῦ

λάσσης λέγει· ἢ τὰ τῆς Σικελίας πολύκαρπα πεδία. 213. Κάλλιςον κελάδημα] τὸ τοῦ ζεφύρου ἐν τῷ ἀέρι γινόμενον. 215. καλλιστεύματα] ὡς διαφέρουσαι κάλλει τῶν ἄλλων. 218. Ὁμογενεῖς] πύργους, τοὺς ὑπὸ τῶν ὁμογενῶν

τὸ Ἰόνιον ὑπὲρ τὰ περίῤῥυτα καὶ εὔκαρπα τῆς Σικελίας πεδία, πνεύματι χρησαμένη ζεφύρου, ὅ ἐστιν ἐν οὐρανῷ κελάδημα κάλλιστον, εἰρεσίᾳ διαπλεύσασα πέλαγος, ὑπὸ ταῖς τοῦ Παρνασοῦ νιφετώδεσι κορυφαῖς τελευτῶσα καταστήσομαι δούλη, καλλιστεῖον τῷ Φοίβῳ τῶν ἄλλων προκριθεῖσα πολιτίδων.

Ἦλθον δὲ εἰς τὴν Καδμείων τῶν κλεινῶν τοῦ Ἀγήνορος ἀπογόνων χώραν, εἰς τὴν συγγενῆ τοῦ Λαΐου πόλιν πεμφθεῖσα, ὑπηρέτις, οἷόν τι χρυσότευκτον ἄγαλμα, ἐσομένη τῷ Φοίβῳ· ἔνθα τὸ τῆς Κασταλίας ἐπιμένει με ὕδωρ, ᾧ λουσαμένη τὴν κόμην, ταύτην δὴ τὴν τρυφὴν τῶν παρθένων, λατρεύσω τῷ Φοίβῳ.

Ὦ πέτρα, διττὸν προϊοῦσα πυρὸς σέλας, ὑπερφαινόμενον τοῦ βακχείου· καὶ ἄμπελος, ἡ ἀπὸ τῆς οἰάνθης τὸν πολύκαρπον ἐφ᾽ ἑκάστης ἡμέρας ἀναφύουσα βότρυν· ζάθεά τε ἄντρα τοῦ δράκοντος, ὀρειναί τε σκοπιαὶ τῶν θεῶν, καὶ ὄρος ἱερὸν καὶ νιφόβολον, εἴη μοι τὴν Δίρκην

---

οἰκοδομηθέντας. 222. Κασταλία.] πηγὴ ἐν Δελφοῖς, ἀφ᾽ ἧς λουόμεναι αἱ παρθένοι, ἔπραττον τὰ καθήκοντα τῷ τρίποδι· τὸ δὲ Κόμας ἐμὰς ἄμεινον Ἐμᾶς οὕτως εἰς γενικὴν ἀποδιδομένην κτητικῶς εἰς τὸ Παρθένιον χλιδὴν ἑπομένως. 227. Δικόρυφον σέλας] ἐν ἀμφοτέραις ταῖς τοῦ Παρνασοῦ κορυφαῖς ἱερὰ ἦν, τὸ μὲν Ἀπόλλωνος· τὸ δὲ, Διονύσου· οὐκοῦν ἐξ ἑκατέρων κατήστραπτε πῦρ, θυομένων ἐκεῖ. ἐν δὲ τῷ Διονύσου καὶ ἄμπελον εἶναι φασὶν, ἕνα βότρυν καθ᾽ ἑκάστην ἡμέραν φέρουσαν, ἐξ οὗ ἡ χοὴ Διονύσῳ· οἰνάνθα δε λέγεται ἡ πρώτη ἔκφυσις τῶν βοτρύων· οἴνη δὲ, αὐτὴ ἡ ἄμπελος· ἦν δ᾽ αὐτόθι καὶ τὸ τοῦ δράκοντος ἄντρον, ὃν ἀνεῖλεν Ἀπόλλων. σκοπιὰν δὲ λέγει τὸ κατοπτευτήριον, ὅθεν κατοπτεύσας Ἀπόλλων κατετόξευσε τὸν Δελφίνην δράκοντα· 235. Ἑλίσσων] κυκλῶν· τί; αὐτοὺς τοὺς πόδας· ὁ δὲ νοῦς, πῶς ἂν εἴη τήμερον ἀποπτῆναι ἀπὸ μέσων τῶν κατεχόντων με φόβων, καὶ ἐλθεῖν κατὰ μέσην τὴν τῶν Δελφῶν, χορὸς ἐσόμενος τοῦ ἀθανάτου θεοῦ ἄνευ φόβου· εἰ μήτι συνα-

Χορὸς γενοίμαν ἄφοβος·
Παρὰ μεσόμφαλα γύαλα Φοί-
βου, Δίρκαν προλιποῦσα.
Νῦν δέ μοι πρὸ τειχέων (Στρ. β'.)
Θούριος μολὼν Ἄρης,
Αἷμα δάϊον φλέγει
Τᾷδ', ὃ μὴ τύχοι, πόλει·
Κοινὰ γὰρ φίλων ἄχη·
Κοινὰ δ', εἴ τι πείσεται
Ἑπτάπυργος ἅδε γᾶ
Φοινίσσᾳ χώρᾳ· φεῦ, φεῦ!
Κοινὸν αἷμα, κοινὰ τέκεα
Τᾶς κερασφόρου πέφυκεν Ἰοῦς.
Ὧν μέτεστί μοι πόνων.
Ἀμφὶ δὲ πτόλιν νέφος
Ἀσπίδων πυκνὸν φλέγει,
Σχῆμα φονίου μάχης,
Ἂν Ἄρης τάχ' εἴσεται
Παισὶν Οἰδίπου φέρων
Πημονὰν Ἐριννύων,
Ἄργος ὦ Πελασγικὸν,
Δειμαίνω τὰν σὰν ἀλκὰν
Καὶ τὸ θεόθεν· οὐ γὰρ ἄδικον
Εἰς ἀγῶνα τόνδ' ἔνοπλον ὁρμᾷ,
Ὃς μετέρχεται δόμους·

## ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΠΟΛΥΝΕΙΚΗΣ, ΧΟΡΟΣ, ΙΟΚΑΣΤΗ, ΕΤΕΟΚΛΗΣ.

ΠΟ. Τὰ μὲν πυλωρῶν κλῇθρά μ' εἰσεδέξατο

προλιποῦσαν, ἄφοβον χορὸν τοῦ ἀθανάτου γενέσθαι θεοῦ ἐν μέσοις τοῖς ὀρεινοῖς τοῦ Φοίβου κοιλώμασι τοὺς πόδας ἑλίσσουσαν.

Νῦν γὰρ πόλεμος πρὸ τῶν τειχῶν ἐλθὼν ουτοσί, διὰ ξίφους καὶ αἵματος ἀπειλεῖ τήνδ' ἐξαιρήσειν πόλιν· ὃ μὴ μοι γένοιτ' ἰδεῖν· τὰ γὰρ τῶν φίλων κακὰ κοινά εἰσι καὶ τοῖς φίλοις· εἴτι γὰρ αἱ ἑπτάπυλοι Θῆβαι πείσονται, τοῦτο κοινὸν ἔςαι καὶ αὐτῇ τῇ Φοινίκῃ· κοινὸν γὰρ (φεῦ, φεῦ) τὸ αἷμα, κοινὰ καὶ τὰ τέκνα τῆς κερασφόρου πέφυκεν Ἰοῦς· ὧν κἀγὼ μετέχω τῶν πόνων.

Ἤδη γὰρ νέφος στρατιωτικὸν συνιστάμενον πρὸ τῆς πόλεως, εἰς φονικὴν ἐπείγεται μάχην· ἣν Ἄρης αὐτὸς διοικήσει, τὴν τῶν Ἐριννυων ἐπήρειαν τοῖς τοῦ Οἰδίποδος παισὶν ἐπιφέρων· ὦ Ἄργος Πελασγικὸν, δέδοικα τήν τε ἰσχὺν τὴν σὴν, καὶ τὴν δίκην τῶν θεῶν· ὃς γὰρ τὰ ἑαυτοῦ ἐλθὼν ἀπαιτεῖ, οὐκ εἰς ἄδικον παρατάττεται μάχην.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΠΟΛΥΝΕΙΚΗΣ, ΧΟΡΟΣ, ΙΟΚΑΣΤΗ, ΕΤΕΟΚΛΗΣ.

ΠΟ. Τὰ μὲν περὶ τὰς πύλας ἠνέῳκταί μοι ὑπὸ τῶν θυρωρῶν

---

πτέον τὸ Ἑλίσσων ἄμεινον πρὸς τὸ ὄρος. 241. Αἷμα δάϊον φλέγει] αἷμα πολεμικον διεγείρει τῇδε τῇ πόλει. Κερασφόρου Ἰοῦς] τῆς ὑπὸ τοῦ Διὸς ἐρασθείσης, καὶ εἰς βοῦν μεταμορφωθείσης ὑπ' αὐτοῦ, ἵνα λάθῃ τὴν Ἥραν· εἶτα τεκούσης αὐτῷ Ἔπαφον ἐν Αἰγύπτῳ. τὸ δὲ, ὧν, ἑπομένως συναπτέον πρὸς το τέκνα· 253· Εἴσεται] ἐξορμήσει. ὃ καὶ οἴσεται ἀλλαχῆ. 258. Καὶ τὸ θεόθεν] τὸ δίκαιον, μετὰ τοῦ Πολυνείκους ὄν. 261. Τὰ τῶν πυλωρῶν κλεῖθρα[ οἱ τὰς κλεῖς ἔχοντες πυλωροί. 269. Ὠή.] Φωνὴ αὕτη ἀνακλητικὴ, ἢ αἴφνης γενομένη πρὸς

Δι' εὐπετείας, τειχέων ἔσω μολεῖν.
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες, οὐ μεθῶσ' ἀναίμακτον χρόα.
Ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
Κἀκεῖσε καὶ τὸ δεῦρο, μή δόλος τις ᾖ.
Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ,
Τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
Ὠὴ, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
Ἅπαντα καὶ τολμῶσι δεινὰ φαίνεται,
Ὅταν δι' ἐχθρᾶς ποὺς ἀμείβηται χθονός.
Πέποιθα μέντοι μητρὶ κοὐ πέποιθ' ἅμα,
Ἥτις μ' ἔπεισε δεῦρ' ὑπόσπονδον μολεῖν.
Ἀλλ' ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ' ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
Καὶ τάσδ' ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
Ξέναι γυναῖκες, εἴπατ', ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζεται;
ΧΟ. Φοίνισσα μὲν γῆ πατρὶς ἡ θρέψασά με,
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
Μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ Λοξίου τ' ἐπ' ἐσχάρας,
Ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ' ἀντάμειψαί μ', ὅστις ὢν ἐλήλυθας
Ἑπτάστομον πύργωμα Θηβαίας χθονός.
ΠΟ. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
Ἔτικτε δ' Ἰοκάστη μὲ, παῖς Μενοικέως·
Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.

ῥᾳδίως, καὶ ἤδη ἐντός εἰμι τῶν τειχῶν· δέος δὲ μόνον, μή τις ἐνέδρα κάθηταί πη, ἢ ὡς ἐν δικτύοις ληφθεὶς, κακῶς ἐντεῦθεν ἀπαλλάξω· διὸ συχνὸν διοιςέον πανταχόσε τὸ ὄμμα, μή τις δόλος ἐνεδρεύων λανθάνῃ· μόνῳ δὲ τῷ ξίφει τουτωῒ καὶ τῷ βραχίονι τῷ ἐμαυτοῦ τὴν πίςιν θαῤῥήσω. Ἀλλὰ τί; ἔσθ' ὧδε; ἢ ψόφος κενὸς παρέχεταί μοι φόβον; πάντα γὰρ ἐν τῇ πολεμίᾳ δεινὰ καὶ αὐτοῖς τοῖς εὐτόλμοις· πέποιθα μὲν γὰρ τῇ μητρὶ ὑπόσπονδόν με ὧδε μεταπεμψαμένῃ, ἀλλ' οὐκ ἔχω καὶ πᾶσαν ἀποσείσασθαι τὴν ὑπόνοιαν· ἀλλὰ θαῤῥῶμεν ἤδη· αἵ τε γὰρ ἐσχάραι τῶν βωμῶν ἡμῖν πάρεισι, καὶ τἄνδον οὐκ ἔρημα· ὠθήσας τοίνυν τὸ ξίφος εἰς τὸν κολεὸν, ἐρωτῶ, τίνες πάρεισιν αὗται. Ξέναι γυναῖκες, ποδαπαὶ ὑμεῖς ἡμῖν πάρεσθ' ὧδε, καὶ τί δήποτε βουλόμεναι, ἐν Ἑλληνικοῖς δώμασι διατρίβετε ἐνταυθοῖ;

ΧΟ. Ἐγὼ μὲν Φοίνισσα τὸ γένος εἰμὶ, τῇ δὲ τύχῃ δούλη· οἱ γὰρ τοῦ Ἀγήνορος ἀπόγονοι, τὴν ἐμὴν ἐκπορθήσαντες πόλιν, ἔπεμψάν με δεῦρο ἀκροθίνιον τῷ Ἀπόλλωνι· μέλλοντος δὲ τοῦ Ἐτεοκλέους πέμπειν με εἰς τὸ σεμνὸν τοῦ Λοξίου μαντεῖον, ἐν τούτῳ ἐπεςράτευσαν οἱ Ἀργεῖοι ἐπὶ τήνδε τὴν πόλιν· σὺ δὲ λέγε μοι καὶ αὐτὸς ἐν μέρει, ὅςτις ὢν, ἐλήλυθας δεῦρο.

ΠΟ. Ἐγὼ πατρὸς μὲν ἐγενόμην Οἰδίποδος τοῦ Λαΐου· μητρὸς δὲ, Ἰοκάςης τῆς Μενοικέως· καλοῦμαι δὲ Πολυνείκης.

---

ψόφον τινά. 270. Ἅπαντα καὶ τολμῶσι] ἐν ἄλλοις δὲ, ἅπαντα γὰρ τολμῶσι, κεῖται. 271. Ἀμείβεται] βαίνει, βαδίζει. 274. Ἀλλ' ἐγγὺς ἡ ἀλκὴ] ἀλλ' ἰδοὺ θάῤῥος ἔχω· τὸ δὲ θάῤῥος τοῦτο ἐκ τῶν βωμῶν, καὶ ἐκ τοῦ Χοροῦ. 276. Εἰς σκοτεινὰς] εἰς τὸν κολεόν. 283. Μέλλων] ἡ εὐθεῖα ἀναπόδοτος, σύνηθες δέ πα-

ΧΟ. Ὦ ξυγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεςάλην ὕπο,
Γονυπετεῖς ἕδρας προσπιτνῶ σ', ἄναξ,
Τὸν οἴκοθεν νόμον σέβουσα.
Ἔβας ὦ χρόνῳ γαῖαν πατρῴαν.
Ἰὼ πότνια, μόλε πρόδρομος, ἀ-
Ναπέτασον πύλας.
Κλύεις, ὦ τεκοῦσα τόνδε μᾶτερ,
Τί μέλλεις ὑπώροφα μέλαθρα περᾶν,
Θίγειν τ' ὠλέναις τέκνου;

ΙΟ. Φοίνισσαν, ὦ νεάνιδες, βοὰν ἔσω
Δόμων κλύουσα τῶνδε, γή-
Ρᾳ τρομερὰν ἕλκω παιδὶ ποδὸς βάσιν.
Ἰὼ τέκνον,
Χρόνῳ σὸν ὄμμα μυρίαις ἐν ἁμέραις
Προσεῖδον· ἀμφίβαλλε μα-
Στὸν ὠλέναισι ματέρος,
Παρηΐδων τ' ὄρεγμα βοστρύχων τε
Κυανόχρωτα χαίτας πλόκαμον, σκιάζων δέραν [ἐμάν]
Ἰὼ, μόλις φανεὶς
Ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις!
Τί φῶ σε; πῶς ἅπαντα
Καὶ χερσὶ καὶ λόγοισι
Πολυέλικτον ἁδονὰν
Ἐκεῖσε καὶ τὸ δεῦρο περι-

ρὰ ποιηταῖς μάλιστα. 293. Γονυπετεῖς ἕδρας] κατὰ ἕδρας γιγνομένας διὰ τοῦ γόνυος προσκυνῶ σε· οὕτω γὰρ εἰώθεσαν οἱ βάρβαροι τοὺς ἑαυτῶν προσκυνεῖν

ΧΟ. Ὦ συγγενὲς τῶν Ἀγήνορος ἀπογόνων τῶν ἐμῶν δεσποτῶν, ὑφ' ὧν ἀπεστάλην δεῦρο, προσκυνῶ σε, ὦ ἄναξ, γονυπετοῦσα, νόμον τὸν πατρῷον σεβομένη· ἦλθες, ἦλθες, ὦ ἄναξ, διὰ χρόνου εἰς τὸ πατρῷον ἔδαφος τοῦτο· σὺ δ', ὦ μῆτερ, ἡ τόνδε τεκοῦσα, οὐκ ἀκούεις; ἰὼ πότνια, τί ποθ' οὕτως οὐ φθάνεις τῶν θυρῶν ἐξιοῦσα, ὅπως ἰδοῦσ', ἀμφοτέραις ταῖς χερσὶ περιπτύξῃ τὸν παῖδα;

ΙΟ. Φωνὴ Φοίνισσα τῶν τῇδε τινὸς διήξασα πρός με ἔνδον, ἐξεβίασέ με γηραιῷ καὶ ὑποτρόμῳ ποδὶ ἐξελθεῖν. Ἀλλ' ἰὼ τέκνον ἐμὸν Πολύνεικες, φάος γλυκερὸν, ὡς χρόνιον, ὡς διὰ μυρίων ἡμερῶν τὸ σὸν ὄμμα βλέπω· δεῦρο δὸς σαυτὸν, τέκνον, ὠλέναις μητρὸς, παρειάς τε πρὸς παρειαῖς ταῖς ἐμαῖς ἐφαρμόζων ταυταισὶ, καὶ τῷ τῶν βοστρύχων πλοκάμῳ ἐπισκιάζων μοι τὴν δέρην· φεῦ, φεῦ, ὅπως ταῖς τῆς μητρὸς ἐπέστης ἀγκάλαις παρὰ προσδοκίαν· τί οὖν προσείπω; πῶς ἂν εἴη μοι λόγοις τε καὶ χερσὶ τὴν κα.έχουσάν με ἡδονὴν συμπεριλαβοῦσαν, καὶ περισκιρτῶσαν πανταχοῦ εὐκύκλως, τῆς πάλαι χαρμονῆς

βασιλέας, ἐν ἄλλοις δὲ γράφεται, Γονυπετεῖ σ' ἕδρα προσπιτνῶ. 295. Ὦ χρόνῳ] ὦ σὺ ὁ χρόνῳ τήνδε τὴν γῆν βάς· τεταραγμένος ὁ Χορὸς τῷ παραδόξῳ τοῦ πράγματος, παρεσιώπησε τοῦ λόγου τὸ τέλειον, παραπνιγεὶς ὑπὸ τῆς χαρᾶς. 301. Φοίνισσαν βοὰν] ἐκ τῆς προφορᾶς ἡ γνῶσις τῶν Φοινισσῶν· πόθεν γὰρ ἄλλοθεν, Ἑλληνιστὶ αὐτῶν διαλεγομένων; 304. Ἰὼ τέκνον] αἴφνης ἐπιστραφεῖσα, ὁρᾷ Πολυνείκην, καὶ περιχεῖται αὐτῷ 306. Μαστὸν] περίβαλε τὸν μαστὸν τῆς μητρὸς ταῖς χερσίσου, ὅ ἐστι τὸ στῆθος αὐτῆς καὶ περίβαλε τὸ ὄρεγμα, ὃ ἐστι ὄρεξον τὰς σὰς παρειὰς καὶ τλ. 314. Πολυέλικτον ἡδονὴν τὴν ἐκ πολυπλόκου χοροῦ τοῦ Χοροῦ ἡδονὴν φησίν· οἷον πῶς ἂν εἴη μοι χορεῦσαι πολυειδῶς καὶ χερσὶ καὶ ποσὶν, ὅπως τὴν ἀρχαίαν περὶ σοῦ ἡδονὴν ἀναλάβοιμι.

Χορεύουσα τέρψιν παλαιᾶν λάβω χαρμονᾶν·
Ἰὼ τέκος, ἐμὸν τέκος,
Ἔρημον πατρῷον ἔλιπες δόμον,
Φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ,
Ἦ ποθεινὸς φίλοις,
Ἦ ποθεινὸς Θήβαις.
Ὅθεν ἐμάν τε λευκόχροα κείρομαι,
Δακρυόεσσαν ἱεῖσα πενθήρη κόμαν,
Ἄπεπλος φαρέων λευκῶν, τέκνον·
Δυσόρφναια δ' ἀμφὶ τρύχη τάδε
Σκότι' ἀμείβομαι.
Ὁ δ' ἐν δόμοισι πρέσβυς ὁ ματοστερὴς
Ἀπήνας ὁμοπτέρου τᾶς ἀπο-
Ζυγείσας δόμων,
Πόθον ἀμφιδάκρυτον ἀεὶ κατέχων,
Ἀνῇξε μὲν ξίφους
Ἐπ' αὐτόχειρά τε σφαγὰν,
Ὑπὲρ τέρεμνά τ' ἀγχόνας
Στενάζων ἀρὰς τέκνοις.
Σὺν ἀλαλαῖσι δ' αἰὲν αἰαγμάτων
Σκότια κρύπτεται.
Σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ κλύω
Ζυγέντα παιδοποιὸν ἁδονὰν
Ξένοισιν ἐν δόμοις ἔχειν,
Ξένον τε κῆδος ἀμφέπειν,

---

323. Δακρυόεσσαν ἱεῖσα πενθήρη κόμαν] ἐν μὲν τῷ ἡγουμένῳ στίχῳ ὁρῶμεν Ἰοκάστην κεκαρμένην τὴν κόμην ἐν χρῷ· (καὶ τοῦτο δηλοῦται κἀκ τῶν ἐπ-

ἀξίαν τέρψιν λαβεῖν; ἰὼ, τέκνον, ὅπως ἀπέστης ἀφ' ἡμῶν, ἀδελφοῦ ἀδικοῦντος, ποθεινὸς μὲν Θηβαίοις, ποθεινότερος δὲ τοῖς φίλοις γεγενημένος. διὸ πένθιμον φωνὴν ἀφιεῖσα, τὴν λευκὴν ἀποκέκαρμαι κόμην, καὶ μηκέτι φέρουσα λευκὰ ἀμφιέννυσθαι, εἱλόμην τὰ μέλανα ταῦτα ῥάκη· ὁ δὲ πατὴρ ἐξορωρυγμένος ἤδη τοὺς ὀφθαλμοὺς, τήκεται τοῖς δάκρυσιν ἔνδον ἐν τῷ σκότῳ, τὴν τῶν ἀδελφῶν ποθῶν ξυνωρίδα, διαζευχθεῖσαν ἤδη· διό πρός τε ξίφος ὥρμησεν αὐτὸς ἑαυτὸν ἀνελεῖν, καὶ εἰς βρόχον ὡς ἀπὸ τοῦ τέγους ἀπάγξασθαι ἄνωθεν, τάς τε κατὰ τῶν παίδων μεταστένων ἀρὰς, καὶ σὺν ὀλολυγῇ καὶ θρήνῳ ἀεὶ ἐν τῷ σκότῳ καθήμενος· σὲ δ', ὦ τέκνον, ἀκούω καὶ γάμον σεαυτῷ συναρμόσαι, ξένον παρὰ ξένοις ἀγαπῶντα ποιήσασθαι τέ-

---

μένων στίχ. 325.) ἐνταῦθα δὲ καθειμένην τὴν αὐτὴν δακρυόεσσαν καὶ πενθήρη, ὅ ἐστι τοὐναντίον· εἰκὸς οὖν διεφθάρθαι τὸ κείμενον· εἰ μήτι ἔλλειψιν τοῦ Φωνὴν ὑποκρύπτοι ὁ δεύτερος στίχος· οἷον, Ὅθεν ἐμὰν λευκόχροα πενθήρη κείρομαι κόμαν, δακρυόεσσαν ἰεῖσα φωνήν· διὸ καί τις τῶν φιλολόγων ἐξέδωκεν τοῦτο τὸ χωρίον ὡδί·

» Ὅθεν ἐμάντε λευκόχροα κείρομαι,
» Δακρυόεσσ' ἰὰν
» Ἰεῖσα, πενθήρη κόμαν.

ἔστι δὲ τὸ, ἰὰν, φωνὴν, παρὰ ποιηταῖς. Τὸ δὲ Ἄπεπλος φαρέων τὴν στέρησιν δηλοῖ· σύνηθες δὲ τὸ ἰδίωμα παρ' Ἕλλησιν· οἷον γυνὴ ἄζυγος ἀνδρὸς, καὶ ἄπαις ἀῤῥένων, καὶ ἀψόφητος ὀξέων κωκυμάτων· καὶ τὰ τοιαῦτα. 328. Ἀπήνας ὁμοπτέρου] τὴν τῶν ἀδελφῶν ἐννοεῖ ξυνωρίδα, ἀπὸ τοῦ ζεύγους τῆς ἁμάξης μετενεγκὼν τὴν μεταφοράν· βεβιασμένην δὲ, καὶ τολμηράν. 331. Ἀνῆξε μὲν ξίφους] συντακτέα δὲ ταῦθ' ὡδί. Ἀνῆξε μὲν ἐπ' αὐτόχειρά τε ξίφους σφαγὴν, ἀγχόνην τε ὑπὲρ τέρεμνα. 334. Στενάζων ἀράς.] διὰ τὰς ἀρὰς, μεταμεληθείς· τὸ δὲ σὺν ἀλαλαῖσι ἀλαλαγαῖς κεῖται ἐν ἄλλοις· ταὐτὸν δ' ἐν-

Ἄλαστα ματρὶ τᾷδε Λα-
ΐῳ τε τῷ παλαιγενεῖ,
Γάμων ἐπακτὰν ἄταν.
Ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
Νόμιμον ἐν γάμοις,
Ὡς πρέπει ματέρι μακαρίᾳ·
Ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
Λουτροφόρου χλιδᾶς· ἀνὰ δὲ Θηβαίαν
Πόλιν ἐσιγάθη σᾶς ἔσοδος νύμφας.
Ὄλοιτο τάδ' εἴτε σίδαρος,
Εἴτ' ἔρις, εἴτε πατὴρ ὁ σὸς αἴτιος,
Εἴτε τὸ δαιμόνιον κατεκώμασε
Δώμασιν Οἰδιπόδα·
Πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.

ΧΟ. Δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναὶ,
Καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.

ΠΟ. Μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν, ἀφικόμην
Ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει
Πατρίδος ἐρᾷν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
Λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
Οὕτω δὲ τάρβους ἐς φόβον τ' ἀφικόμην,
Μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
Ὥστε ξιφήρη χεῖρ' ἔχων δι' ἄστεος

---

ταῦθα τῷ ὀλολυγῇ· ὁμοίως δὲ καὶ τὸ αἴαγμα παρὰ τὸ αἰάζειν. 347. Ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη] ἔθος ἦν τοὺς μέλλοντας γάμῳ συναρμοσθήσεσθαι, ἀπολούσασθαι πρότερον ἐν τοῖς ἐγχωρίοις τῶν ποταμῶν· ὁ οὖν Πολυνείκης τοῦτο οὐκ ἔπραξεν, οὐδὲ μετέσχε τῆς λουτροφόρου χλιδῆς τοῦ Ἰσμηνοῦ· οὐ

κνωσιν, βλάβην ὅλως γάμων ἐπείσακτον ἔχοντα· δυςυχῆ ταῦτ᾽ ἐμοί τε τῇ μητρὶ, καὶ Λαΐῳ τῷ πάλαι καὶ λήθης ἐπέκεινα· ἐγὼ γὰρ ἡ δειλαία οὐδὲ λαμπάδα τοῖς σοῖς γάμοις ἀνῆψα κατὰ νόμον, οἷα εἰκὸς ἦν μακαρίαν μητέρα· οὐδ᾽ ὁ Ἰσμηνὸς αὐτὸς ὕδωρ λουτροφόρου ἡδονῆς σοι παρέσχε πρὸς γάμον, καὶ αἱ Θῆβαι ἀπέγνωσαν ὅλως νύμφην ὄψεσθαί ποτε εἰσιοῦσαν δεῦρο· ὄλοιτο δὲ ταῦτ᾽, εἴτε σίδηρος, εἴτ᾽ ἔρις, εἴθ᾽ ὁ σὸς πατήρ ἐςιν αἴτιος τούτων, εἴτ᾽ αὐτὴ ἡ τύχη ἐπικωμάσασα, ἐπὶ τὸν τοῦ Οἰδίποδος βαρέως ἐπέσκηψεν οἶκον· ἐπ᾽ ἐμὲ γὰρ αὐτὴν πάντα ταῦτα τὰ δεινὰ συνεῤῥύησαν.

ΧΟ. Δεινὸν μὲν τὸ τίκτειν· πόνον γὰρ ἔχει μέγαν, εἰς φίλτρον δὲ μεῖζον συνάγει τὸ γυναικεῖον φῦλον.

ΠΟ. Μῆτερ, ἔςι μὲν ὡς εὖ μοι δοκῶ πεποιηκέναι, ἀφικόμενος δεῦρο, ἔςι δ᾽ ὡς ἄνοιαν ἄντικρυς ὀφλισκάνειν, εἰς ἐχθροὺς ἐμπεσὼν παραβόλως· ἀλλά γε συγγνώμη· ὁ γὰρ τῆς πατρίδος ἔρως ἀναγκαίως πάντων κρατεῖ· ὃς δ᾽ ἂν μὴ ὁμολογῇ τοῦτο, λόγῳ μόνῳ παλαίει, τῷ δὲ τῆς ψυχῆς κρυπτομένῳ ἐκείνης πάντως ἔχεται τῆς ἰδέας· οὕτω δὲ τετάραγμαι, δεδιὼς, μή τις μοι δόλος παρὰ τοῦ ἀδελφοῦ ἀπαντήσῃ, ὥςε ξιφήρης διὰ τῆς πόλεως διϊὼν, περιο-

---

κοῦν ἐκηδεύθη μὲν ὁ Ἰσμηνὸς τῷ Ἀδράστῳ διὰ Πολυνείκην· ἀνυμέναια δέ· ὅ ἐστιν ἄνευ τοῦ δοῦναι ὕδωρ τῷ γάμῳ. 355. Δεινὸν αἱ δι᾽ ὠδίνων γοναί.] τὸ τεκνοποιεῖν πολὺν πόθον περὶ τὰ τέκνα φέρει. 357. Κούφρονῶν] διὰ τὴν πρὸς τὸν ἀδελφὸν ὑπόνοιαν, μήτις δόλος αὐτῷ ὑποκρύπτεται, λέγει ταῦτα· 361. Εἰς φόβον τε] ὁ Τὲ παρέλκει ὅσον εἰς τὴν ἔννοιαν· καθάπερ καὶ ἀνωτέρω ςίχ. 322. Ὅθεν ἐμάν τε· ἢ ἐκληπτέον ταῦθ᾽ οὕτως· ἐς τοσοῦτον τάρβους τε καὶ φόβου ἀφικόμην, ὥστε καὶ τ.λ. οὕτω γὰρ ἀποδοθήσεται καὶ ἡ γενικὴ Τάρ-

Κυκλῶν πρόσωπον, ἦλθον· ἓν δέ μ' ὠφελεῖ,
Σπονδαί τε καὶ σὴ πίςις, ἥ μ' εἰσήγαγε
Τείχη πατρῷα· πολύδακρυς δ' ἀφικόμην,
Χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν,
Γυμνάσιά θ', οἷσιν ἀνετράφην, Δίρκης θ' ὕδωρ·
Ὧν οὐ δικαίως ἀπελαθεὶς, ξένην πόλιν
Ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυῤῥοοῦν.
Ἀλλ' (ἐκ γὰρ ἄλγους ἄλγος αὖ) σὲ δέρκομαι
Κάρα ξυρικὲς καὶ πέπλους μελαγχίμους
Ἔχουσαν· οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν!
Ὡς δεινὸν ἔχθρα, μῆτερ, οἰκείων φίλων,
Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
Τί γὰρ πατήρ μου πρέσβυς ἐν δόμοισι δρᾷ,
Σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
Ἦπου στένουσι τλήμονος φυγὰς ἐμάς;

ΙΟ. Κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
Οὕτω γὰρ ἦρξατ', ἄνομα μὲν τεκεῖν ἐμὲ,
Κακῶς δὲ γῆμαι πατέρα σὸν φῦναί τε σέ.
Ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
Ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
Δέδοιχ', ἃ χρήζω· διὰ πόθου δ' ἐλήλυθα.

ΠΟ. Ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπης·
Ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ, μῆτερ, φίλα.

ΙΟ. Καὶ δή σ' ἐρωτῶ πρῶτον, ὧν χρήζω τυχεῖν.
Τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;

ΠΟ. Μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ.

---

ἔσως ὀρθῶς 371. Ἐκ γὰρ ἄλγους ἄλγος αὖ] ἀμείβω· ὡς ἐν παρθενέσει δὲ τοῦ

φώμενος πάντα πανταχόθεν τῇ θέᾳ, διηρχόμην ἐνὶ δὲ μόνῳ θαῤῥήσας, ταῖς παρὰ σοῦ σπονδαῖς καὶ τῇ πίστει, εἰσῄειν· ἐδάκρυσα δὲ χρόνῳ ἰδὼν οἰκίαν τε τὴν Οἰδίποδος, καὶ βωμοὺς τῶν θεῶν, γυμνάσιά τε αὐτὰ, οἷς ἀνετράφην, καὶ τῆς Δίρκης τὸ ὕδωρ, ὧν ἀδίκως φυγαδευθεὶς, ἐπὶ τῆς ἀλλοδαπῆς πλανῶμαι, τηκόμενος δάκρυσιν· ἀλλὰ νῦν γ' ἐξ ἄλγους ἄλγος μεταλαμβάνω, ὁρῶν σε τήν τε πολιὰν κεκαρμένην, καὶ τὴν ἔξωθεν ταυτηνὶ μελανειμονίαν· οἴμοι ἔγωγε τῶν ἐμαυτοῦ κακῶν! ὡς δεινὸν, ὦ μῆτερ, φίλοις πρὸς φίλους ἔχθρα, καὶ δυσλύτους ἔχει τὰς διαλλαγάς· ὁ δὲ πατὴρ ἐν τῷ σκότῳ πῶς φέρει τὴν τύχην; τί δὲ πράττουσιν ἄμφω αἱ ἀδελφαί; ἦπού γε στένουσιν αἱ τλήμονες τὴν ἐμὴν ἀπουσίαν·

ΙΟ. Θεῶν τις, ὡς ἔοικε, τὸν τοῦ Οἰδίποδος φθείρει οἶκον, ὦ τέκνον, ἀρξάμενος, ἐξ οὗ ἐγὼ μὲν ἔτεκον ἀπηγορευμένα, ὁ δὲ σὸς πατὴρ συνήρμοσεν ἑαυτῷ γάμον ἀνοσιώτατον, ἐξ οὗ παρανόμως αὐτὸς ἐγένου· ἀλλὰ τί δεῖ τούτων μνείαν ποιεῖσθαι; φέρειν γὰρ δεῖ τὰ παρὰ τῶν θεῶν ἀναγκαίως· νῦν μέντοι ἄλλο σε βουλοίμην ἐρέσθαι· δέδοικα δὲ μή τι δάκω τὴν σὴν καρδίαν.

ΠΟ. Ἐρώτα ὅ,τι ἂν βούλῃ· πᾶν γὰρ τὸ παρὰ σοῦ κἀμοὶ τοῦτο φίλον.

ΙΟ. Καὶ δὴ εἰπέ μοι πρῶτον, τί ποτ' οἴει τὸ στερεῖσθαι πατρίδος; οὐχὶ κακὸν μέγα;

ΠΟ. Μέγιστον ἔγωγε, καὶ μεῖζον ἢ κατ' ἀξίαν λέγειν.

---

το, καὶ ἐκ ταραχῆς τῆς ψυχῆς· διὸ καὶ ἀτελῶς ἔφρασε. 377. Σκότον δεδορ-

ΙΟ. Τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;
ΠΟ. Ἓν μὲν μέγιστον, οὐκ ἔχει παῤῥησίαν.
ΙΟ. Δούλου τόδ' εἶπας, μὴ λέγειν, ἅτις φρονεῖ.
ΠΟ. Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
ΙΟ. Καὶ τοῦτο λυπρὸν, ξυνασοφεῖν τοῖς μὴ σοφοῖς.
ΠΟ. Ἀλλ' ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
ΙΟ. Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.
ΠΟ. Καλοῖς βλέπουσί γ' ὄμμασιν, μέλλουσι δέ.
ΙΟ. Οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;
ΠΟ. Ἔχουσιν Ἀφροδίτην τίν' ἡδεῖαν κακῶν.
ΙΟ. Πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;
ΠΟ. Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον αὖ.
ΙΟ. Φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
ΠΟ. Εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδὲν, ἤν τις δυστυχῇ.
ΙΟ. Οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
ΠΟ. Κακὸν τὸ μὴ 'χειν· τὸ γένος οὐκ ἔβοσκέ με.
ΙΟ. Ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
ΠΟ. Οὐδ' ὀνομάσαι δύναι' ἂν, ὡς ἐστὶν φίλον.
ΙΟ. Πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχεθες;
ΠΟ. Ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.
ΙΟ. Ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.

---

κῶς] ὁ μὴ ὁρῶν ὅλως. 395. Ἀλλ' εἰς τὸ κέρδος] ἵνα, φησὶ, τύχῃ τις, ὧν βούλεται, ἀνάγκη καὶ πολλὰ ὑπομένειν, ὧν ἡ φύσις καὶ ἡ ἀγωγὴ αὐτοῦ οὐκ ἔστιν ἀξία· τὸ δὲ ἑπόμενον ἐκ τοῦ Γνωμικοῦ δοκεῖ παρῳδεῖσθαι. Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν. 401. Εἶτ' οὐκ εἶχον αὖ] Αὖ ἀντὶ τοῦ Ἂν ἔγραψα ἐξ ἑτέρας γραφῆς. 403. Εὖ πρᾶσσε] εὔφημος τοῦτο τροπολογία, ὡς ἡ συνήθεια, ὕπαγε εἰς τὸ καλόν· ὡς ἐπὶ τῶν μὴ κατὰ θυμὸν, εὐφήμει, ἄπαγε· καὶ νῦν παρ' ἡμῖν, μὴ δῴη κύριος. 407. Ὡς ἐστὶ φίλον] τὸ Ὡς ἀντὶ τοῦ Ὅσον· 409. Χρησμοι] ἔστι δ' ὁ χρησμὸς ὅδε.

ΙΟ. Πῶς λέγεις τοῦτο; καὶ τί ἂν ἐντεῦθεν τοῖς φυγάσι συμβαίνῃ;

ΠΟ. Τὸ μέγιςον πάντων μὴ ἔχειν παῤῥησίαν.

ΙΟ. Φεῦ, δούλου τοῦτ' εἶπας μὴ λέγειν, ἅ τις φρονεῖ.

ΠΟ. Ἀνάγκη γὰρ φέρειν τὰς τῶν κρατούντων ἀμαθίας.

ΙΟ. Καὶ τοῦτ' οὐ σμικρὸν δυςύχημα τὴν τῶν μωρῶν προσποιεῖσθαι μωρίαν.

ΠΟ. Ἀλλ' ἐφ' ᾧ τυχεῖν, ὧν ἐφίεταί τις, καὶ παρ' ὃ πέφυκε, δουλευτέον.

ΙΟ. Αἱ δ' ἐλπίδες, φασὶ, βόσκουσι τοὺς φυγάδας.

ΠΟ. Ὑπισχνοῦνται μὲν αὗταί γε, μέλλουσι δέ.

ΙΟ. Ὁ δὲ χρόνος οὐκ ἐδίδαξέ σοι κενὰς αὐτὰς ὑπάρχειν;

ΠΟ. Ἀλλὰ πολλὴν ἡδονὴν ἐνςάζουσι τοῖς κακῶς πράσσουσι.

ΙΟ. Πόρος δὲ τοῦ ζῆν πρὶν γαμεῖν πόθεν ἦν σοι;

ΠΟ. Ἔσθ' ὅτε μὲν εἶχόν τι, ἔσθ' ὅτε δ' οὐδὲν πάλιν.

ΙΟ. Παρὰ πατρῴων ξένων οὐδέν σοι εὕρημ' ὑπῆρξε;

ΠΟ. Εὖ πρᾶσσε· τὰ γὰρ τῶν φίλων συναπέπτη τῇ τύχῃ.

ΙΟ. Ἐκ γοῦν τῆς εὐγενείας οὐδέν σοι παρ' ἐκείνων ὄφελος;

ΠΟ. Κακὸν τὸ μὴ ἔχειν· τὸ γὰρ γένος οὐ τρέφει.

ΙΟ. Φίλτατον ἄρα πάντων παντὶ ἐςὶν ἡ πατρίς.

ΠΟ. Καὶ μεῖζον, ἢ ὥςε δύνασθαι φράζειν.

ΙΟ. Τίς δ' ὁ λόγος, δι' ὃν εἰς Ἄργος ἦλθες;

ΠΟ. Χρησμὸς ἦν Ἀδράςῳ παρ' Ἀπόλλωνος πρῴην.

ΙΟ. Ποῖον φῂς τοῦτον; οὐ γὰρ μανθάνω.

---

» Κούρα μὲν γαμβροῖν ζεῦξαι κάπρῳ, ἡ δὲ λέοντι·
» Οὔςκεν ἴδοις προθύροισιν τοῦ δόμου, ἐξ ἱεροῖο
» Ἡμετέρου στείχων· μηδὲ φρεσὶ σῇσι πλανηθῇς.
φασὶ γενέσθαι τὴν λύσιν τούτου, ᾗ ὁ μὲν εἶχε λέοντος δοράν, ὁ δὲ κάπρου.



ΔΗΜΟ...

ΠΟ. Κάπρῳ λέοντί θ' ἁρμόσαι παίδων γάμους.
ΙΟ. Καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;
ΠΟ. Οὐκ οἶδ'· ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.
ΙΟ. Σοφὸς γὰρ ὁ θεός· τίνι τρόπῳ δ' ἔσχες λέχος;
ΠΟ. Νὺξ ἦν, Ἀδράστου δ' ἦλθον ἐς παραστάδας.
ΙΟ. Κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος.
ΠΟ. Ἦν ταῦτα· κᾆτά γ' ἦλθεν ἄλλος αὖ φυγάς.
ΙΟ. Τίς οὗτος, ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.
ΠΟ. Τυδεύς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.
ΙΟ. Τί θηρσὶν ὑμᾶς δῆτ' Ἄδραστος ἤκασεν;
ΠΟ. Στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.
ΙΟ. Ἐνταῦθα Ταλαοῦ παῖς ξυνῆκε θέσφατα;
ΠΟ. Κᾄδωκεν ἡμῖν δύο δυοῖν νεάνιδας.
ΙΟ. Ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις, ἢ δυστυχεῖς;
ΠΟ. Οὐ μεμπτὸς ἡμῖν ὁ γάμος ἐς τόδ' ἡμέρας.
ΙΟ. Πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;
ΠΟ. Δισσοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς τάδε,
[Τυδεῖ τε κᾀμοί· σύγγαμος γάρ ἐστ' ἐμὸς,]
Ἄμφω κατάξειν ἐς πάτραν, πρόσθεν δ' ἐμέ.
Πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
Πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ' ἐμοὶ
Διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
Πόλιν· θεοὺς δ' ἐπώμοσ', ὡς ἀκουσίως
Τοῖς φιλτάτοις τοκεῦσιν ἠράμην δόρυ.
Ἀλλ' ἐς σὲ τείνει τῶνδε διάλυσις κακῶν,
Μῆτερ, διαλλάξασαν ὁμογενεῖς φίλους.
Παῦσαι πόνων με καὶ σὲ καὶ πᾶσαν πόλιν.
Πάλαι μὲν οὖν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ.
Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,

ΠΟ. Κάπρῳτε καὶ λέοντι τὰς θυγατέρας συζεῦξαι γάμῳ.
ΙΟ. Τί δέ σοι καὶ θηρίοις κοινὸν ὑπάρχει, τέκνον;
ΠΟ. Ἐγὼ μὲν οὐκ οἶδα, θεὸς δὲ ἡγήσατό μοι.
ΙΟ. Σοφὸς γὰρ ἐκεῖνος· σὺ δὲ λέγε μοι, ὅπως.
ΠΟ. Νυκτὸς ἦλθον εἰς τὸν Ἀδράστου οἶκον.
ΙΟ. Κατάλυμα ζητῶν, ὥσπερ φυγὰς πλανήτης;
ΠΟ. Ἔοικα· ἀλλ' ἔπειτ' ἦλθε καὶ ἕτερος τοιοῦτος.
ΙΟ. Τίς; τῶν γὰρ δυςυχῶν ἦν, ὡς ἔοικε, κἀκεῖνος.
ΠΟ. Τυδεὺς δ' ἔσθ' οὗτος ὁ τοῦ Οἰνέως παῖς.
ΙΟ. Πῶς οὖν τοῖς θηρσὶν ὑμᾶς ὁ Ἄδραςος εἰκάζει;
ΠΟ. Περὶ γὰρ τῆς κλίνης ἤλθομεν εἰς χεῖρας.
ΙΟ. Τίς δὲ τὸν χρησμὸν, ἢ Ἄδραςος συνῆκε;
ΠΟ. Οὗτος, καὶ ἥρμοσέν γ' ἡμῖν τὰς δύο θυγατέρας.
ΙΟ. Ἆρ' εὐτυχὴς ὑμῖν, ἢ δυςυχὴς ὁ γάμος;
ΠΟ. Οὐδὲν ἡμῖν κακὸν ἐπήνεγκεν ἐς δεῦρο.
ΙΟ. Πῶς δ' ἔπεισας τοσούτους ἕπεσθαί σοι;
ΠΟ. Ἄδραςος γὰρ ὤμοσεν ἐμοί τε καὶ Τυδεῖ γαμβροῖς αὐτῷ γεγενημένοις, ἦ μὴν κατάξειν ἀμφοτέρους, ἀρξάμενος ἀπ' ἐμοῦ· διὸ πολλοὶ μὲν τῶν Δαναῶν, πολλοὶ δὲ καὶ Μυκηναίων προὔχοντες ἐπεςράτευσαν, χάριν ἄχαριν μὲν, ἀναγκαίαν δ' ἔμοιγε φέροντες, εἴγ' ἐπὶ τὴν ἐμαυτοῦ δοκῶ ἐπιέναι πατρίδα· μαρτύρομαι μέντοι θεοὺς, ὡς οὐχ ἑκὼν ἐπὶ τοὺς φιλτάτους τοκέας ἀνταίρω χεῖρα. Οὐκοῦν σόν ἐςιν, ὦ μῆτερ, εἰς ἓν συναγαγοῦσα φίλους ἀδελφοὺς, ἐμέ τε καὶ σεαυτὴν καὶ σύμπασαν τὴν πόλιν πολλῶν ἀπαλλάξαι πόνων· ὃ δ' οὖν μέλλω λέγειν, εἴρηται μὲν πάλαι, ἀλλ' εἰρήσεταί γε κἀμοὶ ἐν καιρῷ· Ἴσθ', ὦ μῆτερ,

Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
Ἃ 'γὼ μεθήκω, δεῦρο μυρίαν ἄγων
Λόγχην· πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.

ΧΟ. Καὶ μὴν Ἐτεοκλῆς ἐς διαλλαγὰς ὅδε
Χωρεῖ· σὸν ἔργον, μῆτερ Ἰοκάστη, λέγειν
Τοιούσδε μύθους, οἷς διαλλάξεις τέκνα.

ΕΤ. Μῆτερ, πάρειμι· τὴν χάριν δὲ σοὶ διδοὺς,
Ἦλθον· τί χρὴ δρᾷν; ἀρχέτω δή τις λόγου.
Ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
Τάσσων, ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
Κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
Τόνδ' εἰσεδέξω τειχέων, πείσασά με.

ΙΟ. Ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει.
Βραδεῖς δὲ μῦθοι πλεῖστον ἀνύτουσιν σοφόν.
Σχάσον δὲ δεινὸν ὄμμα καὶ θυμοῦ πνοάς.
Οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
Σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· ἐς γὰρ ταὐτὸν ὄμμασι βλέπων,
Λέξεις τ' ἄμεινον, τοῦδέ τ' ἐνδέξῃ λόγους.
Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν.
Ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
Ἐς ἓν ξυνελθὼν, ὄμματ' ὄμμασιν διδῷ,

441. Ἃ 'γὼ μεθήκω] ἐφ' ἃ ἐγὼ ἥκω. 447. Ἀρχέτω δέ τις λόγου] περιφρονῶν, τὸν ἀδελφὸν ἐννοεῖ. 448. Ὡς ἀμφὶ τείχη] εὐοδοῖτ' ἂν μᾶλλον, εἰ συνταχθείη ὡδί· ὡς τάσσων τὰς ξυνωρίδας τῶν λόχων ἀμφὶ τὰ τείχη κατὰ τὴν πόλιν, ἐπέσχον (ἐμαυτὸν)· τὸ δὲ Κοινὰς βραβείας, τοὺς λόγους τῆς διαιτούσης αὐτοῖς μητρὸς δηλοῖ· οὓς ἤμελλε βραβεῦσαι αὐτοῖς πρὸς διαλλαγήν·

τήν τε τιμὴν, τήν τε δύναμιν, ταῦτα τὰ μέγιςα καὶ περιμάχητα παρ' ἀνθρώποις, μηδὲν ἄλλο ἢ τὰ χρήματα φέροντα· ἐφ' ἃ ἐγὼ νῦν ἀφῖγμαι, μυρίαν χεῖρα ἔνοπλον ἐπαγόμενον· ἄνευ γὰρ τύχης μάταιον ἡ εὐγένεια.

ΧΟ. Καὶ μὴν ἴδε, Ἐτεοκλῆς ἐκεῖνος ἥκει πρὸς διαλλαγάς· σὸν τοίνυν, ὦ μῆτερ Ἰοκάςη, διαλλάξαι τοὺς παῖδας, πρὸς ἀλλήλους λόγοις χρησαμένην σοφοῖς.

ΕΤ. Μῆτερ, πάρειμι, ἀξιούσῃ σοι χαρισάμενος τοῦτο· τί οὖν χρὴ δρᾷν; λεγέτω τις πρῶτος· ἤδη γὰρ τὰ τῶν λόχων συντάττων τάγματα περὶ τὰ τείχη καὶ τὴν πόλιν, ἐπέσχον, ὅπως ἂν ἀκούσαιμι πρῶτον, ὧν ἀξιοῖς ἐφ' οἷς πείσασά με, μετεπέμψω ὑπόσπονδον τόνδε.

ΙΟ. Ἐπίσχες μικρόν· οὐ γὰρ ἐν τῷ τάχει τὰ δίκαια κρίνεται, ἀλλ' ἐν τῷ βραδέως βουλεύεσθαι τὰ σοφὰ διαπράττεται· σὺ δὲ σχάσον μοι τὸ ὄμμα, ἀποβαλὼν τὸ δριμὺ τοῦ θυμοῦ. οὐ γὰρ τὴν Γοργόνα, ἀλλὰ τὸν σαυτοῦ ὁρᾷς ἀδελφὸν, ἥκοντά σοι. Ὁμοίως δὲ καὶ αὐτὸς, ὦ Πολύνεικες, ςρέψον πρὸς ἐκεῖνον τὸ ὄμμα· εἰς γὰρ ταὐτὸν βλέπων, αὐτός τε ἄμεινον ἐρεῖς, κἀκείνου ἐν μέρει ἀκούσεις· νῦν δ' ἀξιῶ ἄμφω ὑμᾶς ἀκοῦσαι, ὧν μέλλω νουθετήσειν ὑμᾶς ἐν προοιμίοις. Ἡνίκα ἂν, ὦ φίλοι παῖδες, φίλοι πρὸς φίλους διενεχθέντες,

---

464. Εἰσεδέξω τειχέων] εἴσω τῶν τειχῶν ἐδέξω· βεβιασμένον δὲ δοκεῖ. 445. Τὸ λαιμότμητον] θεὰ ἦν ἡ Γοργὼ, ἀπολιθοῦσα τοὺς ὁρῶντας αὐτήν· ὁ δὲ Περσεὺς διὰ κατόπτρου ἐκαρατόμησεν αὐτὴν, ςαλεὶς παρὰ τοῦ Ἑρμοῦ· ἀλλὰ καὶ οὕτω τὴν αὐτὴν αὖθις ἐνέργειαν εἶχεν, ἀπολιθοῦν τοὺς ὁρῶντας. 459. Ἐνδέξῃ] ἐν ἄλλοις ἐκδέξῃ· ὃ καὶ ἄμεινον τάχα, ἵνα ᾖ ἡ Ἐκ σημαίνουσα διαδοχήν· 460. Σφῶν] δεύτερον τοῦτο πρόσωπον δυϊκοῦ ἀριθμοῦ· σφῶν δὲ (ἀνυπόγραφ-

Ἐφ' οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν,
Κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.
Λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες τέκνον.
Σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
Ἄδικα πεπονθὼς, ὡς σὺ φής· κριτὴς δέ τις
Θεῶν γένοιτο καὶ διαλλακτὴς κακῶν.

ΠΟ. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
Κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων.
Ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν.
Ἐγὼ δὲ πατρὸς δωμάτων προὐσκεψάμην
Τοὐμόν τε καὶ τοῦδ', ἐκφυγεῖν χρῄζων δ' ἀρὰς,
Ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
Ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονὸς,
Δοὺς τῷδ' ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
Ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν,
Καὶ μὴ δι' ἔχθρας τῷδε καὶ φόνου μολὼν,
Κακόν τι δρᾶσαι καὶ παθεῖν, ἃ γίγνεται.
Ὁ δ' αἰνέσας ταῦθ', ὁρκίους τε δοὺς θεοὺς,
Ἔδρασεν οὐδὲν, ὧν ὑπέσχετ', ἀλλ' ἔχει
Τυραννίδ' αὐτὸς καὶ δόμων ἐμὸν μέρος.
Καὶ νῦν ἕτοιμός εἰμι, τἀμαυτοῦ λαβὼν,
Στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονὸς,

---

φον) τρίτον, πληθυντικοῦ. 466. Δαναϊδῶν] ἀπογόνων Δαναοῦ Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ἦσαν, ὁ μὲν πεντήκοντα ἄῤῥενας ἔχων παῖδας, ὁ δὲ Δαναὸς πεντήκοντα θυγατέρας· οἱ δὲ ἄῤῥενας λαβόντες βίᾳ τὰς τοῦ Δαναοῦ θυγατέρας εἰς γάμον, ἐσφάγησαν τῇ πρώτῃ νυκτὶ ὑπ' αὐτῶν (πλὴν ἑνὸς) συμβουλῇ

εἰς λόγους ποτ' ἔλθωσι, μηδὲν χρὴ σκοπεῖν, ἢ περὶ ὧν συνέρχονται μόνον, μηδεμίαν τῶν πρόσθεν κακῶν ποιουμένους ἀνάμνησιν· Οὐκοῦν ἄρχε λόγου πρῶτος αὐτὸς, ὦ Πολύνεικες τέκνον· σὺ γὰρ ἀδικηθεὶς, ὡς φὴς, ἥκες ἄγων τὸν ϛρατὸν τῶν Ἑλλήνων· κριτὴς δὲ τοῦ πράγματος καὶ διαλλακτὴς τῶν κακῶν γένοιθ' ὑμῖν ὁ θεός.

ΠΟ. Ἁπλῆ μὲν πανταχοῦ ἡ ἀλήθεια, ὦ μῆτερ, καὶ τὸ δίκαιον σοφῶν καὶ ποικίλων οὐ δεῖται λόγων, αὐτὸ καθ' ἑαυτὸ ἰσχυρὸν πεφυκός· τὸ δὲ ἄδικον αὐτόθεν νοσοῦν, πολλῶν λόγων ἔξωθεν, ὥσπερ φαρμάκων, δεῖται. Ἔγωγ' οὖν τό,τ' ἐμὸν καὶ τὸ τούτου οἴκοι προβλέπων, ἐφ' ᾧ ἐκφυγεῖν τὰς ἀρὰς, ἃς ποθ' ἡμῖν Οἰδίπους ἠράσατο, ἐξῆλθον ἑκὼν τῆς πόλεως ταύτης, ἐκϛὰς αὐτῷ τῆς ἀρχῆς τὸν ἱκνούμενον χρόνον, ἵνα διελθόντος τοῦ ἐνιαυτοῦ, αὐτὸς ἐν μέρει γένωμαι ἐγκρατὴς τῆς ἀρχῆς, ὡς καλῶς ἡμῖν ἀμφοῖν ὡμολόγητο ταῦτα, καὶ μηδὲν ἔθ' ἡμῖν ἢ πρὸς ἀλλήλους διαπληκτίζεσθαι περὶ μηδενὸς, κακόν τι δρῶντας καὶ πάσχοντας, ὃ νῦν συμβαίνει· ὁ δὲ ταῦτ' αἰνέσας, καὶ θεοὺς ὀμοσάμενος, ἐφύλαξε τῶν ὡμολογημένων οὐδὲν, ἀλλ' ἔχει προκαταλαβὼν τήν τ' ἀρχὴν αὐτὴν καὶ τὸ ἐπιβάλον ἐμοὶ τῆς οὐσίας· καίτοι ἔγωγ' ἔτι καὶ νῦν ἕτοιμος τῶν ἐμαυτοῦ γενόμενος κύριος, τὸν ϛρατὸν ἀποπέμψαι

---

τοῦ πατρός. 470. Τἄνδιχ'.] τὰ ἔνδικα τῶν λόγων· εἰσὶν αὐτεξήγητα, τὰ δὲ ποικίλα ἔχει καιρὸν ἐν ἄλλοις· εἰ δὲ μὴ, ἕπου τῇ μεταφράσει. 473. Ἐγὼ δὲ . . . προὐσκεψάμην.] ἡ συνθήκη ἐξ ἀναλύσεως ἔχοι ἂν ὧδε· ἐγὼ δὲ πρὸ τῶν δωμάτων τοῦ πατρὸς ἐσκεψάμην· ὅ ἐστιν ἀντὶ τοῦ φροντίζειν, ὅπως γενοίμην κύριος τῆς πατρῴας οἰκίας, ἐφρόντισα μᾶλλον τοῦ συμφέροντος ἀμφοτέροις

Οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν,
Καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις αὖ χρόνον,
Καὶ μήτε πορθεῖν πατρίδα, μήτε προσφέρειν
Πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις.
Ἃ, μὴ κυρήσας τῆς δίκης, πειράσομαι
Δρᾶν· μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
Ὡς, πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
Ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
Ταῦτ' αὔθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς
Λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
Καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.

ΧΟ. Ἐμοὶ μὲν, εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα
Τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν.

ΕΤ. Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ σοφόν θ' ἅμα,
Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
Νῦν δ' οὔθ' ὅμοιον οὐδὲν, οὔτ' ἴσον βροτοῖς,
Πλὴν ὀνομάσαι, τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.
Ἐγὼ γὰρ οὐδὲν, μῆτερ ἀποκρύψας ἐρῶ.
Ἄστρων ἂν ἔλθοιμ' αἰθέρος πρὸς ἀντολὰς
Καὶ γῆς ἔνερθε, δυνατὸς ὢν δρᾶσαι τάδε,
Τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.
Τοῦτ' οὖν τὸ χρηστὸν, μῆτερ, οὐχὶ βούλομαι
Ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί.
Ἀνανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας,
Τοὔλασσον ἔλαβε· πρὸς δὲ τοῖσδ' αἰσχρὸν,

---

ὃ ἐστιν τῆς ἐνιαυσίου φυγῆς· ἐκφυγεῖν γὰρ χρήζων ἀρὰς κ.τ.λ. 497. Ἐμοὶ μὲν] οὐ περιττὸς ὁ Μὲν, ὡς συνυπακούων τὸν Δέ· τὸ γὰρ πλῆρες, ἐμοὶ μὲν ταῦτα.

πάλιν, εἰς τὴν ἑαυτοῦ ἕκαστον ἀπελθεῖν· καὶ αὖ πάλιν τὸ μέρος τῆς οὐσίας λαβὼν, παραχωρῆσαι τούτῳ ἐν καιρῷ τῶν πραγμάτων, καὶ μήτε πατρίδα πορθῆσαι, μήτε τὰ τείχη πειρᾶσθαι ὑπερβαλεῖν· ὅπερ ἀναγκαῖον γίγνεται, μὴ τυχόντος μου τῶν δικαίων. μαρτύρομαι μέντοι θεοὺς ἅπαντας, ὡς ἐξ ὧν ἔπραξα δικαίως, ἀδίκως τῆς πατρίδος ἐκπίπτω. Ταῦτ', ὦ μῆτερ, τὰ παρ' ἐμοῦ, ἁπλᾶ ὅλως καὶ ἄνευ λόγων περιπλοκῆς· ἀλλ' οἷα αὐτόθεν σοφοῖς τε καὶ ἀσόφοις, ὡς ἂν ἔγωγε φαίην, ἀπὸ τοῦ ἴσου φαίνεσθαι δίκαια.

**ΧΟ.** Ἔμοιγε μὲν, καίτοι ἀλλοδαπῷ ὄντι, καὶ τῶν τῆς Ἑλλάδος ἠθῶν ἀδαεῖ, ἀλλ' οὖν συνετὰ καὶ φρόνιμα δοκεῖς μοι προτείνειν.

**ΕΤ.** Εἰ ταὐτὸν ἦν καλόν τε καὶ τίμιον παρὰ πᾶσιν ἀνθρώποις οὐκ ἂν ἦν ἔρις ποτὲ καὶ διαφορὰ αὐτοῖς πρὸς ἀλλήλους νῦν δ' οὐκ ἂν εἴη οὔθ' ὅμοιον τὸ αὐτὸ, οὔτε ἴσον, πλὴν εἰ μὴ λέγειν μόνον, τῷ δ' ἔργῳ οὐδεὶς ἔχει δεῖξαι· αὐτίκα γὰρ ἐγὼ ὅδ' αὐτὸς, καί μοι πρόσχες, ὦ μῆτερ, τοῖς λόγοις, εἰ ἐξῆν μοι τὴν τῶν θεῶν μεγίστην κτήσασθαι δυναστείαν, διέπτην μὲν ἂν, διὰ τοῦ αἰθέρος ἔστ' ἐπὶ τὰς ἀνατολὰς τῶν ἀστέρων, κατέδυν δὲ καὶ εἰς τὰ μυχαίτατα τῆς γῆς· Οὐδεὶς οὖν φθόνος, ὦ μῆτερ, τοιοῦτον περιμάχητον χρῆμα ἐμαυτῷ μόνῳ βούλεσθαι σώζειν· τὸ γὰρ τοῦ μείζονος ἀποστάντα, τῷ ἐλάσσονι ἀγαπᾷν δειλίας ὑπόνοιαν ἔχει· εἶτα πῶς οὐκ ἂν εἴη μοι αἰσχρὸν σὺν ὅπλοις

---

δοκεῖ· ἑτέρῳ δ' οὐκ οἶδα ὅ,τι. 502. Πλὴν ὀνομάσαι] ἐν ἄλλοις δὲ, πλὴν ὀνόμασαι. 504. Αἰθέρος πρὸς ἀντολάς.] ἐν ἄλλοις, ἡλίου πρὸς ἀνατολάς. 505. Δρᾶσαι τάδε] πότερα, ἀνελθεῖν εἰς αἰθέρα, ἢ τὴν δυναστείαν ἔχειν; ὁπότερον

Ἐλθόντα σὺν ὅπλοις τόνδε καὶ πορθοῦντα γῆν,
Τυχεῖν, ἃ χρήζει· ταῖς γὰρ ἂν Θήβαις τόδε
Γένοιτ' ὄνειδος, εἰ Μυκηναίου δορὸς
Φόβῳ παρείην σκῆπτρα τἀμὰ τῷδ' ἔχειν.
Χρῆν δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς,
Μῆτερ, ποιεῖσθαι· πᾶν γὰρ ἐξαιρεῖ λόγος,
Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
Ἀλλ' εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
Ἔξεςʼ· ἐκείνου δ' οὐχ ἑκὼν μεθήσομαι.
Ἄρχειν παρόν μοι, τῷδε δουλεῦσαι ποτέ.
Πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα,
Ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων,
Ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα.
Εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
Κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

ΧΟ. Οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς,
Οὐ γὰρ καλὸν τόδ', ἀλλὰ τῇ δίκῃ πικρόν.

ΙΟ. Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ' ἡ 'μπειρία
Ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον·
Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
Φιλοτιμίας, παῖ; μὴ σύγ', ἄδικος ἡ θεός.
Πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
Ἐσῆλθε κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων.
Ἐφ' ᾗ σὺ μαίνῃ· κεῖνο κάλλιον, τέκνον,
Ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις

βούλει. 516. Ἐξαιρεῖ] οὕτω καὶ παρὰ Πλουτάρχῳ. Πύῤῥῳ. ιδ'. ἀντὶ τοῦ ἐκξαίρει· ἢ ἀντὶ τοῦ ἁπλῶς αἱρεῖ, ὅ ἐστι κρατεῖ, νικᾷ. 526. Οὐκ εὖ λέγειν] οὐ καλὸν εὖ περὶ φαύλων λέγειν. αἰσχρὸν δὲ καὶ τῷ δικαίῳ ἐναντίον· τὰ δ' ἑξῆς

ἐλθόντα τοῦτον, καὶ τὴν γῆν πορθοῦντα, τυχεῖν, ὧν τυγχάνει ἀμφισβητῶν; ἥπού γε μέγ' ὄνειδος Θήβαις ἂν εἴη, φόβῳ Μυκηναίων ἐμοῦ παραχωρήσαντος τῷδε τἀμαυτοῦ σκῆπτρα ἔχειν· ἐχρῆν γὰρ αὐτὸν, πρὸς διαλλαγὰς ὁρμῶντα, μὴ τὰ ὅπλα τῶν λόγων προτάττειν, ἀλλ' ἀπὸ τῶν λόγων μάλιςα ἄρξασθαι, ταὐτὸ ἂν δυναμένων καὶ τούτων πολλάκις, ὃ καὶ σίδηρος πολεμίων. Τέως δ' οὖν εἰ μὲν ἄλλως ἐθέλοι οἰκεῖν παρ' ἡμῖν, οἰκείτω, κοὐδεὶς ἂν κωλύοι· τῶν δὲ πραγμάτων αὐτῷ οὐ παραχωρήσω· πῶς γὰρ ἂν, παρὸν ἄρχειν, ἑτέρῳ δουλεύσαιμι; Πρὸς ταῦτα τοίνυν ἐλθέτω πῦρ καὶ σίδηρος διὰ πάντων· πληρωθήτω δὲ τὸ πεδίον ἁρμάτων καὶ ἵππων· οὐ γὰρ μεθήσω τὸν ἐμαυτοῦ θρόνον τῷδε· εἰ γαρ ἀναγκαῖον εἴη καί ποτ' ἀδικεῖν, οὐκ ἂν ἐν ἄλλῳ τῳ, ἢ περὶ τυραννίδος ἀμφισβητῶν, εὐπρεπέςερον ἄν τις δράσειε τοῦτο· τὰ δ' ἄλλα εὐσεβεῖν δεῖ.

ΧΟ. Εὖ λέγειν τὰ φαῦλα οὐ μόνον αἰσχρὸν, ἀλλὰ καὶ τῷ δικαίῳ καὶ τιμίῳ ἐναντιώτατον.

ΙΟ. Τέκνον Ἐτέοκλες, ἴσθι, ὡς οὐ πάντα τὰ κακὰ τῷ γήρᾳ συῤῥεῖ, ὡς ἐν τούτῳ τῷ χρόνῳ μάλιςα τῆς φρονήσεως ἀκμαζούσης· ἡ γὰρ πεῖρα ἔχει πολλὰ τῶν νέων σοφώτερα· Τί ποτ' οὖν, ὦ τέκνον, τῆς κακίστης δαιμόνων Φιλοτιμίας τοσοῦτον ἐφίεσαι; μὴ σύ γε· ἄδικος ἡ θεός· εἰς πολλοὺς γὰρ οἴκους καὶ πόλεις εἰσελθοῦσα, οὐ πρότερον ἐξῆλθε, πρὶν ἢ τοὺς χρησαμένους ἀπώλεσεν, ἧς καὶ αὐτὸς ῥαγδαιοτάτῳ κατέχῃ ἔρωτι· ἐκεῖνο δὲ, ὦ παῖ, πολλῷ ἐστι

---

τῆς Ἰοκάστης χρυσᾶ ὅλως ἐστὶν ἔπη, καὶ ἄξια οὐ μόνον νήφοντας, ἀλλὰ κἂν

Πόλεις τε, πόλεσι συμμάχους τε συμμάχοις,
Ξυνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,
Τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται
Τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
Ἰσότης ἔταξε κἀριθμὸν διώρισε,
Νυκτός τ' ἀφεγγὲς βλέφαρον ἡλίου τε φῶς
Ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,
Κοὐδέτερον αὐτοῖν φθόνον ἔχει, νικώμενον.
Εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
Σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον,
Καὶ τῷδ' ἀπονεμεῖς; κᾆτα ποῦ 'στὶν ἡ δίκη;
Τί τὴν τυραννίδ' ἀδικίαν εὐδαίμονα,
Τιμᾷς ὑπέρφευ, καὶ μέγ' ἥγησαι; τὸ δὲ
Περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
Ἦ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασι,
Βούλει; τί δ' ἔστι πλέον; ὄνομ' ἔχει μόνον.
Ἐπεὶ τάγ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.
Οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοὶ,
Τὰ τῶν θεῶν δ' ἔχοντες, ἐπιμελούμεθα·
Ὅταν δὲ χρῄζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.

---

ὕπνοις, μνημονεύειν τούς γε φρονοῦντας. 540. Κατάρχεται] ἀπὸ τῶν ἱερείων ἡ μεταφορά· λέγεται καὶ κατάρχειν, ἢ μᾶλλον ὑπάρχειν κατὰ τὸ Θουκυδίδου, αὕτη ἡ ἡμέρα πολλῶν κακῶν ὑπάρξει τοῖς Ἕλλησι. 541. Μέτρα] μέτρα μὲν, οἷον μέδιμνος, μόδιον, χοῖνιξ· μέρη δὲ σταθμῶν, τὰς πλάστιγκας τοῦ ζυγοῦ. καὶ ἀριθμούς· διὰ γὰρ τούτων ἰσότης ὁρίζεται. 544. Ἴσον βαδίζει] ὅ ἐστιν, ἀπὸ τοῦ ἴσου μερίζονται τὸν νυχθήμερον χρόνον· αἰνίττεται δὲ τὴν βασιλείαν πρὸς αὐτοὺς, ἣν ἐκ διαδοχῆς κατ' ἐνιαυτὸν δεῖ ἑκάτερον ἔχειν. Μέμφονται δέ τινες Εὐριπίδην, δουλεύειν ταῦτα ἐκ διαδοχῆς τοῖς ἀνθρώποις εἰπόντα, ὡς εἰ

κάλλιον, ἰσότητα τιμᾶν, τὴν φίλους φίλοις, πόλεις τε πόλεσι, καὶ συμμάχους συμμάχοις συνδέουσαν· τὸ μὲν γὰρ ἴσον νόμιμον τοῖς ἀνθρώποις· τὸ δὲ ἐλαττούμενον ἀεὶ πολέμιον καθεστηκὸς τῷ πλεονεκτοῦντι, ἔχθρας κατάρχει· ἰσότης γὰρ μέτρα καὶ σταθμοὺς ἔταξε, καὶ ἀριθμὸν ἀνθρώποις διώρισεν· ἥτε νὺξ καὶ ἡμέρα ἀπὸ τοῦ ἴσου τὴν τοῦ ἡλίου περίοδον μεριζόμενα, θάτερον θατέρῳ καθ' ἑκάστην προχωροῦντα, οὐ φθονοῦσιν ἀλλήλοις, ὑπ' ἀλλήλων νικώμενα· ἔπειτ' ἐκεῖνα μὲν οἶδε δουλεύειν ἀνθρώποις· σὺ δὲ οὐκ ἀνέξῃ κατὰ τὸ ἴσον τὰ πατρῷα πρὸς τὸν σαυτοῦ μερίσασθαι ἀδελφόν; καὶ ποῦ ἐστιν ἡ δίκη; τί δήποτε τιμᾷς τὴν βασιλείαν ὑπεράγαν, αὐτὴν, φημὶ, τὴν εὐδαίμονα ἀδικίαν, καὶ μέγα τοῦτο νομίζεις εἶναι; ὅτι τὸ παρὰ πάντων περιβλέπεσθαι τίμιον; ἀλλὰ κενὸν καὶ ὑπόκωφον· ἢ βούλει ἐν τῷ πολλὰ ἔχειν οἴκοι πολλὰ ἔχειν πράγματα; τί γάρ ἐστι τὸ πλέον ἔχειν, ἢ μόνον ὄνομα, ὁπότε τὸ ἀρκοῦν ἱκανὸν τοῖσγε σώφροσιν; τὰ γὰρ χρήματ' οὐκ ἔστιν ἴδια τῶν ἀνθρώπων· ἀλλὰ τῶν θεῶν ὄντα, ἔχοντες ἡμεῖς ἐπιμελούμεθα τούτων· διὸ ἐπειδὰν βούλωνται ἐκεῖνοι, ἀφαιροῦνται ἡμᾶς πάλιν ταῦτα· καὶ διὰ

μετῆν αὐτοῖς προαιρέσεως, καὶ τί μᾶλλον, φασὶν, ἡμῖν, ἢ τοῖς μύρμηξι καὶ ταῖς μυίαις δουλεύει ἐκεῖνα· καὶ ἐκείνοις γὰρ ἡ μὲν νὺξ γίνεται πρὸς ἀνάπαυσιν, ἡ δὲ ἡμέρα πρὸς τὸ ὁρᾶν τε καὶ ἐνεργεῖν· ταῦτα μὲν ἐκεῖνοι· ἀλλὰ τί κωλύει κἀκ τῶν ἀψύχων θηρᾶσθαι τοῖς ἀνθρώποις τὴν τοῦ ἤθους ὠφέλειαν; ὥσπερ γὰρ ἐκείνοις ἐνέσπειρεν ἡ φύσις ὅρους τῶν ἐνεργειῶν, οὕτω καὶ ἡμῖν ἔστω ὅρος τὸ ἴσον, μηδὲν ἐκτρεπομένοις πρὸς πλεονεξίαν. 548. Καὶ τῷδ' ἀπονεμεῖς;] ἐν ἄλλοις ἀπονέμων, οὐ καλῶς· τὸ δὲ ὑπέρφευ ὑπερβολὴν ἔχει ταλαισμοῦ. 557. Αὔτ'] αὐτά· ἢ μᾶλλον, αὐτοὶ, οἱ θεοί. 567. Φιλότιμος δέ σῦ

Ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.
Ἄγ', ἢν σ' ἔρωμαι, δύο λόγω προθεῖσ' ἅμα,
Πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
Ἐρεῖς τυραννεῖν, ἢν δὲ νικήσῃ σ' ὅδε,
Ἀργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
Ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε,
Ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας
Βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
Ὀδυνηρὸς ἄρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
Γενήσεται Θήβαισι, φιλότιμος δὲ σύ.
Σοὶ μὲν τάδ' αὐδῶ· σοὶ δὲ, Πολύνεικες, λέγω.
Ἀμαθεῖς Ἄδραστος χάριτας ἐς σ' ἀνήψατο.
Ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
Φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτὲ,
Πρὸς θεῶν, τρόπαια πῶς ἄρα στήσεις δορός;
Πῶς δ' αὖ κατάρξῃ θυμάτων, ἑλὼν πάτραν,
Κεἰς σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς,
» Θήβας πυρώσας, τάσδε Πολυνείκης θεοῖς
Ἀσπίδας ἔθηκε; « Μή ποτ', ὦ τέκνον, κλέος
Τοιόνδε σοὶ γένεθ' ὑφ' Ἑλλήνων λαβεῖν.
Ἢν δ' αὖ κρατηθῇς, καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
Πῶς Ἄργος ἥξεις μυρίους λιπὼν νεκρούς;
Ἐρεῖ δὲ δή τις, ὦ κακὰ μνηστεύματα,
Ἄδραστε, προσθεὶς, διὰ μιᾶς νύμφης γάμον
Ἀπωλόμεσθα· δύο κακὼ σπεύδεις, τέκνον,

---

πάντες φιλοδοξίαν καὶ πλεονεξίαν σοῦ καταγνώσονται. 569. Ἀνήψατο]

τοῦθ' ὁ πλοῦτος οὐκ ἔςι βέβαιος τοῖς ἀνθρώποις, ἀλλ' ἐφήμερος. Ἄγε τοίνυν εἰπέ μοι τελευτῶν, πότερον τυραννεῖν ἐθέλεις, ἢ σώζειν τὴν πόλιν; τυραννεῖν τάχ' ἂν εἴποις· ἀλλ' ἢν ἡττηθῇς τούτου, καὶ οἱ Ἀργεῖοι τὴν τῶν Καδμείων ἐξέλωσι δύναμιν, τότε τί ὄψει; Θήβας καθαιρουμένας, παρθένους βίᾳ πρὸς δουλείαν ἀπαγομένας· ὥσθ' ἡ τοῦ πλούτου ἐπιθυμία, ὑφ' ἧς τυγχάνεις κατεσχημένος, τοῖς τε Θηβαίοις ὀδυνηρὰ ἔςαι, καὶ σοῦ πολλὴν κατηγορήσει φιλοδοξίαν. Ταῦτα μὲν πρὸς σέ. Σὺ δ' αὖ, ὦ Πολύνεικες, ἴσθι, ὡς λίαν ἄχαριν χάριν ταύτην Ἄδραστος ἠβουλήθη χαρίσασθαί σοι· οὐκ ὀρθῶς δὲ καὶ σὺ ἐποίησας, ἐπελθὼν μεθ' ὅπλων πορθήσων τὴν πόλιν· φέρε γὰρ, ἢν νικήσῃς, ὃ μὴ γένοιτο, πρὸς θεῶν πῶς ςήσεις τρόπαιον νίκης; πῶς δὲ καὶ κατάρξῃ τῶν ἱερείων, ἐξελὼν τὴν πατρίδα; πῶς δ' ἀναθήσῃ τοῖς θεοῖς ἐκ τῶν σκύλων ἐπὶ τῶν ὄχθῶν τοῦ Ἰνάχου, ἐπιγράψας ἐκεῖνα,» Θήβας πυρώσας, τάςδε Πολυνείκης θεοῖς ἀσπίδας ἔθηκε·« μὴ γένοιτό σοι, ὦ τέκνον, τοιοῦτον κλέος ἄρασθαι παρὰ τῶν Ἑλλήνων· ἢν δ' αὖ ἡττηθῇς τούτου, πῶς ὄψει Ἄργος, μυρίους ὀπίσω νεκροὺς λιπών; ἐρεῖ γάρ δή τις, ὦ κακὰ μνηστεύματα συναρμόσας, Ἄδραςε, ὁ γάμος τῆς σῆς θυγατρὸς μέγαν ἡμῖν ἐπήνεγκεν ὄλεθρον· Ἑκατέρωθεν οὖν προὖπτός σοι κίνδυνος ἔςαι, ἤτοι ἐκείνων ἀποςερηθῆναι, ἢ ἐνταῦθα πεσεῖν. Ἀλλ' ὦ φίλτατοι παῖδες, μάθετε τὸ

---

ἀνήρτησεν, ἔδωκεν· εὕρηται δὲ, φασὶ, ἐν χειρογράφοις, ἠμήψατο

Κείνων στέρεσθαι, τῶνδε τ' ἐν μέσῳ πεσεῖν.
Μέθετον τὸ λίαν, μέθετον· ἀμαθίαι δυοῖν,
Ἐς ταὔθ' ὅταν μόλητον, αἴσχιστον κακόν. 585
ΧΟ. Ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν,
Καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.
ΕΤ. Μῆτερ οὐ λόγων ἀγών ἐστ', ἀλλ' ἀνάλωται χρόνος
Οὑν μέσῳ μάτην, περαίνει δ' οὐδὲν ἡ προθυμία. 589
Οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως, ἢ 'πὶ τοῖς εἰρημένοις,
Ὥστ' ἐμὲ σκῆπτρα κρατοῦντα τῆσδ' ἄνακτ' εἶναι χθονός.
Τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων, μ' ἔα.
Καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθανῇ.
ΠΟ. Πρὸς τίνος; τίς ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
Φόνιον ἐμβαλὼν, τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον,
ΕΤ. Ἐγγύς· οὐ πρόσω βέβηκας; ἐς χέρας λεύσσεις ἐμάς;
ΠΟ. Εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.
ΕΤ. Κᾆτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;
ΠΟ. Ἀσφαλὴς γὰρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.
ΕΤ. Κομπὸς εἶ, σπονδαῖς πεποιθὼς, αἵ σε σώζουσιν θανεῖν.
ΠΟ. Καὶ σὲ δεύτερόν γ' ἀπαιτῶ σκῆπτρα καὶ μέρη χθονός.
ΕΤ. Οὐκ ἀπαιτούμεσθ'· ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.
ΠΟ. Τοῦ μέρους ἔχων τὸ πλεῖον; 603
ΕΤ. Φήμ'. ἀπαλλάσσου δὲ γῆς.
ΠΟ. Ὦ θεῶν βωμοὶ πατρῴων —
ΕΤ. Οὓς σὺ πορθήσων πάρει.

---

καὶ ἀμείψατο. 585. Εἰς ταὔθ' ὅταν] εἰ τὸ αὐτό. διὸ γραπτέον ἂν εἴη, εἰς

λίαν φιλότιμον, ἀπώσασθε τὸ φίλαρχον τοῦτο πάθος· δύο γὰρ τινῶν γνῶμαι φαῦλαι εἰς ταὐτὸ συμπεσοῦσαι, μεγίςων κακῶν αἴτιοι γίγνονται.

ΧΟ. Ἀποπέμψατ', ὦ θεοὶ, ἀποπέμψατε τάδε τὰ κακὰ, τοὺς τοῦ Οἰδίποδος διαλλάξαντες παῖδας.

ΕΤ. Μῆτερ, οὐκ ἀκμὴ, οὐδ' ἐπίδειξίς ἐςι τάδε λόγων· ὁ γὰρ χρόνος ἐῤῥύη μεταξὺ μάτην, καὶ τῆς σῆς προθυμίας οὐδέν ἐςιν ὄφελος· ἴσθι γὰρ ὡς οὐκ ἂν ἄλλως συμβαίημεν, εἰ μὴ ἐπὶ τοῖς εἰρημένοις, ἐμὲ τὴν ἀρχὴν μόνον ἔχειν· οὐκοῦν ἐῶσα χαίρειν τοὺς μακροὺς τούτους λόγους, μηκέτ' ἐνόχλει. σὺ δὲ τὴν ταχίςην γενοῦ ἡμῖν ἐκποδὼν, εἰ ζωὸς εἶναι βούλοι.

ΠΟ. Πρὸς τίνος ἂν τεθναίην; καὶ τίς οὗτος ἄτρωτος, ὃς ξίφος ἐπενεγκὼν ἐφ' ἡμᾶς, οὐ τὴν αὐτὴν δώσει δίκην;

ΕΤ. Ἐγγὺς οὗτος· ἢ οὐχ ὁρᾷς τὸν βραχίονα τοῦτον;

ΠΟ. Ὁρῶ· ἀλλ' ὁ πλοῦτος δειλὸν καὶ λίαν φιλόψυχον.

ΕΤ. Τί ποτ' οὖν σὺν πλήθει ἐπῆλθες ἐφ' ἡμᾶς τοὺς δειλούς;

ΠΟ. Ἀσφάλεια γὰρ κρεῖττον, ἢ θρασύτης ἐςὶ ςρατάρχῃ.

ΕΤ. Κομπάζεις, οἶδα, τὴν τῶν σπονδῶν ἀσφάλειαν ἔχων.

ΠΟ. Καὶ δὴ δεύτερον ἤδη λέγω, ἀπόδος τὸ σκῆπτρον καὶ τὴν οὐσίαν.

ΕΤ. Οὐκ ἂν λάβοις· μόνος γὰρ τῶν ἐμαυτοῦ κύριος ἔσομαι.

ΠΟ. Πλέον τοῦ ἡμίσεος ἔχειν ἐν πᾶσι θέλεις;

ΕΤ. Τὸ ὅλον· ἀλλ' ἀπαλλάττου ὡς τάχος τῶν τῆδε.

ΠΟ. Ὦ βωμοὶ τῶν θεῶν!

ΕΤ. Τούτους δὴ φὴς, οὓς ἧκες πορθήσων;

---

ταῦθ' ὅταν. 601. Καὶ σὲ δεύτερον] ἔφθη γὰρ καὶ πρῶτον ζητήσας. στίχ. 483.

ΠΟ. Κλύετέ μου;

ΕΤ. Τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;

ΠΟ. Καὶ θεῶν τῶν λευκοπώλων δώμαθ' —

ΕΤ. Οἵ στυγοῦσί σε.

ΠΟ. Ἐξελαυνόμεσθα πατρίδος —

ΕΤ. Καὶ γὰρ ἦλθες ἐξελῶν.

ΠΟ. Ἀδικίᾳ γ', ὦ θεοί.

ΕΤ. Μυκήναις, μὴ 'νθάδ' ἀνακάλει θεούς.

ΠΟ. Ἀνόσιος πέφυκας —

ΕΤ. Ἀλλ' οὐ πατρίδος, ὡς σὺ, πολέμιος.

ΠΟ. Ὅς μ' ἄμοιρον ἐξελαύνεις.

ΕΤ. Καὶ κατακτενῶ γε πρός.

ΠΟ. Ὦ πάτερ κλύεις, ἃ πάσχω;

ΕΤ. Καὶ γὰρ, οἷα δρᾷς, κλύει.

ΠΟ. Καὶ σὺ μῆτερ;

ΕΤ. Οὔ σε θεμιτὸν μητρὸς ὀνομάζειν κάρα.

ΠΟ. Ὦ πόλις.

ΕΤ. Μολὼν ἐς Ἄργος, ἀνακάλει Λέρνης ὕδωρ.

ΠΟ. Εἶμι μὴ πόνει· σὲ δ' αἰνῶ, μῆτερ.

ΕΤ. Ἔξιθι χθονός.

ΠΟ. Ἔξιμεν· πατέρα δέ γέ μοι δὸς εἰσειδεῖν.

ΕΤ. Οὐκ ἂν τύχοις.

ΠΟ. Ἀλλὰ παρθένους ἀδελφάς.

ΕΤ. Οὐδὲ τάσδ' ὄψει ποτέ.

ΠΟ. Ὦ κασίγνηται.

---

606. Καὶ θεῶν λευκοπώλων] Ἀμφίονα καὶ Ζῆθον ἐννοητέον, εἰ καὶ λευκοπῶ

ΠΟ. Ἀκούετέ μου;

ΕΤ. Τίς ἂν ἀκούσειε τοῦ ἐπιόντος ἐπὶ τὴν πατρίδα;

ΠΟ. Ὦ θεῶν λευκοπώλων ἀνάκτορα.

ΕΤ. Παρ' οἷς αὐτὸς ἀποτρόπαιος ὢν τυγχάνεις;

ΠΟ. Ὁρᾷθ' ὅπως ἐξελαυνόμεθα τῆς πατρίδος.

ΕΤ. Καὶ γὰρ ἐςράτευσας ἐπ' αὐτὴν ὡς πορθήσων.

ΠΟ. Ἀδίκως γε, ὦ θεοί.

ΕΤ. Ἐν Μυκήναις δεῖ σε θεοὺς ἐπικαλεῖσθαι.

ΠΟ. Ἀνόσιος εἶ.

ΕΤ. Ἀλλ' οὐ πατρίδος πολέμιος.

ΠΟ. Ὃς ἀποςερῶν με τῶν ἐμῶν, ἐξελαύνεις.

ΕΤ. Ἀλλὰ καὶ ἀποκτενῶ σε πρὸς τούτῳ.

ΠΟ. Ὦ πάτερ, ἀκούεις, ἃ πάσχω;

ΕΤ. Ἀκούει πάντως, οἷα δρᾷς τὴν πατρίδα.

ΠΟ. Καὶ σὺ, ὦ μῆτερ;

ΕΤ. Μητρός σε μεμνῆσθαι ἀνοσίως νῦν γ' ἔχει.

ΠΟ. Ὦ πόλις.

ΕΤ. Ἀπελθὼν εἰς Ἄργος, ἐπικαλοῦ τὴν Λέρνην.

ΠΟ. Εἶμι γάρ· σὺ δ' ἔχ' ἀτρέμας· σὲ δ' ὦ μῆτερ, ἐπαινῶ λίαν.

ΕΤ. Ἔξελθε τῆς γῆς.

ΠΟ. Αὐτίκα μάλα· ἀλλὰ δὸς πρῶτον ἰδεῖν τὸν πατέρα.

ΕΤ. Οὐκ ἂν τύχοις.

ΠΟ. Ἀλλὰ τάς γε ἀδελφάς.

ΕΤ. Οὐδὲ τούτων.

ΠΟ. Ὦ ἀδελφαί.

---

λοι καὶ Διόσκουροι, ὡς παρὰ τοῦ Διὸς ἐξ Ἀντιόπης γεννηθέντες, προσαγορ

ΕΤ. Τί ταύτας ἀνακαλεῖς, ἔχθιςος ὤν;
ΠΟ. Μῆτερ ἀλλά μοι σὺ χαῖρε.
ΙΟ. Χαρτὰ γοῦν πάσχω, τέκνον;
ΠΟ. Οὐκέτ' εἰμὶ παῖς σός.
ΙΟ. Ἐς πόλλ' ἀθλία πέφυκ' ἐγώ.
ΠΟ. Ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει.
ΕΤ. Καὶ γὰρ ἀνθυβρίζομαι.
ΠΟ. Ποῦ ποτε στήσῃ πρὸ πύργων;
ΕΤ. Ὡς τί μ' ἱςορεῖς τόδε;
ΠΟ· Ἀντιτάξομαι κτενῶν σε.
ΕΤ. Κἀμὲ τοῦδ' ἔρως ἔχει.
ΙΟ. Ὢ τάλαιν' ἐγώ! τί δράσετ', ὦ τέκν';
ΠΟ. Αὐτὸ σημανεῖ.
ΙΟ. Πατρὸς οὐ φεύξεσθ' Ἐριννῦς;
ΕΤ. Ἐῤῥέτω πρόπας δόμος.
ΠΟ. Ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
Τὴν δὲ θρέψασάν με γαῖαν καὶ θεοὺς μαρτύρομαι,
Ὡς ἄτιμος, οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονός,
Δοῦλος ὡς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
Κἄν τί σοι, πόλις, γένηται, μὴ 'μέ, τόνδε δ' αἰτιῶ·
Οὐχ' ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
Καὶ σύ, Φοῖβ' ἄναξ Ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
Ἥλικές θ' οἵ 'μοι, θεῶν τε δεξίμηλ' ἀγάλματα.
Οὐ γὰρ οἶδ', εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε·
Ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς,
Τόνδ' ἀποκτείνας, κρατήσειν τῆσδε Θηβαίας χθονός.

---

ῥεύονται. 632. Δεξίμηλα] τὰ δεχόμενα τὰ μῆλα, ἱερεῖα, θυσίαν. τὸ δὲ κα

ΕΤ. Τί καλεῖς ταύτας, πολέμιος ὤν;
ΠΟ. Ἀλλὰ σύγ', ὦ μῆτερ, χαῖρε.
ΙΟ. Τίς χαρὰ ἔμοιγ', ὦ τέκνον, ἔςαι;
ΕΤ. Οὐκέτι σοι παῖς ἐγώ.
ΙΟ. Ἴσθι με πάντων ἀθλιωτάτην.
ΠΟ. Οὗτος γὰρ ὑβρίζων, ἡμᾶς ἀποπέμπεται.
ΕΤ. Οὐχ ἧττον κἀυτὸς παρὰ σοῦ τοῦτο πάσχω.
ΠΟ. Σύ δε ποῦ ταχθήσῃ ἐπὶ τῶν πύργων;
ΕΤ. Πρὸς τί πολυπραγμονεῖς;
ΠΟ. Ὅπως ἀντιταξάμενος, ἀποκτανῶ σε.
ΕΤ. Κἀμὲ εἰς τοῦτο τὸ πάθος φέρει.
ΙΟ. Ὦ δειλαία ἐγὼ, τίποτε δράσετ', ὦ παῖδες;
ΕΤ. Αὐτὸ τὸ πρᾶγμα τὸν ἔλεγχον δώσει.
ΙΟ. Οὐκ ἐκφευξεῖσθ' ἑκόντες τὰς πατρῴας ἀράς;
ΕΤ. Ἐῤῥέτω ῥιζηδὸν ἅπας ὁ οἶκος οὗτος.
ΠΟ. Οὕτως ἄρ' ἐνεργὸν αὐτίκα μάλα τοὐμὸν ξίφος ἔςαι· μαρτύρομαι δὲ γῆν τήνδε τὴν θρέψασαν, καὶ θεοὺς πάντας, ὡς ἄτιμος καὶ οἰκτρὰ πάσχων, τῆς γῆς ἐξελαύνομαι ταύτης, ὥσπερ εἰ δοῦλος ἦν, ἀλλ' οὐ τοῦ αὐτοῦ Οἰδίποδος γεγονώς. Οὐκοῦν εἴτι σοι, ὦ πατρὶς, συμβαίη τῶν ἀνηκέςων, μὴ ἐμὲ τούτων μέμφου, ἀλλὰ τοῦτον αἰτιῶ· ἐγὼ γὰρ, ὥσπερ ἄκων ἦλθον, οὕτω καὶ ἄκων τῆς γῆς ἐξελαύνομαι· καὶ σύγ', ὦ Φοῖβε ἄναξ, Ἀγυιεῦ, καὶ τὰ ἀνακτόρια ταῦτα χαίρετε· ὁμίληκές τε πάντες, καὶ θεῶν ἀγάλματα, τὰ τὰς παρ' ἡμῶν προσαγομένας θυσίας δεχόμενα, χαίρετε καὶ ὑμεῖς· ἄδηλον γὰρ, εἴ μοι γένοιτο ὑμᾶς ἔτι ποτὲ προσειπεῖν· ἀλλ' αἵγ' ἐλπίδες κρατοῦσιν, αἷς πέποιθα, τόνδ' ἀνελὼν, κύριος τῆς Θηβαίων γενήσεσθαι·

ΕΤ. Ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκην πατὴρ
Ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον.

ΧΟ. Κάδμος ἔμολε τάνδε γᾶν (Στρ.)
Τύριος, ᾧ τετρασκελὴς
Μόσχος ἀδάμαστον πέσημα
Δίκε, τελεσφόρον διδοῦσα
Χρησμὸν, οὗ κατοικίσαι
Πεδία μιν τὸ θέσφατον
Χρῆσε πυροφόρ' Ἀόνων,
Καλλιπόταμος ὕδατος ἵνα τε
Νοτὶς ἐπέρχεται γύας
Δίρκας χλοηφόρους
Καὶ βαθυσπόρους·
Βρόμιον ἔνθα τέκετο μάτηρ
* * * Διὸς γάμοις,
Κισσὸς ὃν περιστεφὴς
Ἑλικτὸς εὐθὺς ἔτι βρέφος
Χλοηφόροισιν ἔρνεσιν
Κατασκίοισιν ὀλβίσας ἐνώτισεν.
Βάκχιον χόρευμα παρθένοισι Θηβαί-
αισι καὶ γυναιξὶν Εὐΐοις.
Ἔνθα φόνιος ἦν δράκων (Ἀντ.)
Ἄρεως ὠμόφρων φύλαξ,
Νάματ' ἔνυδρα καὶ ῥέεθρα
Χλοερὰ δεργμάτων κόραισι
Πολυπλάνοις ἐπισκοπῶν·
Ὃν ἐπὶ χέρνιβας μολὼν

εὕδουσι κατωτέρω, οὔπω σβέννυται, οὔπω παύονται δηλοῖ. 640. Ἀδάμαστον

ΚΤ. Οὗτος· ἔξελθ' ὡς τάχος τῆς χώρας· φερωνύμως ἄρ' ὁ πατὴρ καὶ οὐκ ἄνευ τῆς θεῶν ἐπιπνοίας Πολυνείκην σοι ἔθετο ὄνομα.

ΧΟ. Κάδμῳ ἐς τήνδε τὴν γῆν ἐλθόντι ποτὲ ἐκ τῆς Τύρου, δάμαλις ἀδάμαςος ἡγεμὼν αὐτῷ γίγνεται τῆς ὁδοῦ ἣ κατακλιθεῖσα ἔδειξεν αὐτῷ, οὗ κατά γε τὸν χρησμὸν ἔδει κατοικίσαι τὰ καρποφόρα τῶν Ἀόνων πεδία· ἔνθα τὸ τῆς Δίρκης καλλιπόταμον ὕδωρ τὰς χλοηφόρους καὶ καρποφόρους ἀρδεύει χώρας· ὅπου Σεμέλη ἐκ τῆς τοῦ Διὸς ὁμιλίας ἐγένετο παῖς Διόνυσος· ὃν κισσὸς εὐθὺς βρέφος ὄντα, ἑλικτοῖς κλάδοις κατασκιάσας, τὴν αὐτοῦ εὐδαίμονα ἀνεκήρυξεν γέννησιν· αἱ δὲ τῶν Θηβῶν παρθένοι καὶ Βάκχαι χοροῖς αὐτὸν τιμῶσι.

Ἔνθα δράκων ὠμός τε καὶ ὠμοβόρος τοῦ Ἄρεως, ἄυπνον δίαιταν ἔχων, ἐπεσκόπει τῶν ὑδάτων τὰ ῥεῖθρα· ὃν Κάδμος ἐλθὼν ἐπὶ χέρνιβας, ἀνεῖλε μαρμάρῳ, ἀθρόῳ

---

πέσημα] ἤτοι μέγα πέσημα, ἢ πέσημα ἀδαμάστου βοΐδος· τὸ δὲ Δίκε, κατέβαλε, Δίκω βάλλω. 642. Κατοικίσαι] οὕτως ἄμεινον ἀντὶ τοῦ, κατῴκησε. 644. Ἀόνων] ἀρχαῖον ἔθνος τοῦτο λέγεται κατοικῆσαι ἐνταῦθα· ἐν ἄλλοις δὲ γράφεται δόμων. 649. Μάτηρ] ἡ Σεμέλη, ἡ ἐκ Διὸς γεννήσασα τὸν ἠχητικὸν Διόνυσον· ὃν τεχθέντα κισσὸς ἑλικτὸς ἐνώτισεν (ἐπεσκίασε) τοῖς ἑαυτοῦ βλαστοῖς, ὀλβίσας αὐτὸν, (εὐδαίμονα ποιήσας) πρὸς βάκχιον χόρευμα γυναιξὶν Εὐΐαις· ὅ ἐστι Βάκχαις, ἐκ τοῦ Εὐοῖ· τὸ δὲ, βάκχιον χόρευμα, ὥσπερ ἐπεξηγηματικόν ἐστι τῆς ὅλης φράσεως ἀνωτέρω· καθάπερ καὶ τὸ, ἐν οὐρανῷ κάλλιστον κελάδημα ἀνωτέρω ςίχ. 222. 659. Ῥέεθρα χλοερὰ] τῆς Ἀρείας οὕτω καλουμένης πηγῆς· ἢ μᾶλλον τῆς Δίρκης αὐτῆς ὡς κατωτέρω. ςίχ. 648. χλοερὰ δὲ τὰ βοτανώδη. 662. Χέρνιβας] ἔστι δὲ ἡ Χέρνιψ ὕδωρ καθαρτήριον, ἐν ᾧ

Κάδμος ὤλεσε μαρμάρῳ,
Κρᾶτα φόνιον ὀλεσίθηρος
Ὠλένας δικὼν βολαῖς,
Δίας δ' ἀμάτορος
Παλλάδος φραδαῖς
Γαπετεῖς δικὼν ὀδόντας
Ἐς βαθυσπόρους γύας·
Ἔνθεν ἐξανῆκε γᾶ
Πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
Ὅρων χθονός· σιδαρόφρων
Δέ νιν φόνος πάλιν ξυνῆψε γᾷ φίλᾳ,
Αἵματος δ' ἔδευσε γαῖαν, ἅ νιν εὐεί-
λοισι δεῖξεν αἰθέρος πνοαῖς·
Καὶ σὲ, τὸν προμάτορος (Ἐπῳδ.)
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
Ἐκάλεσ' ἐκάλεσα βαρβάρῳ βοᾷ,
Ἰὼ βαρβάροις λιταῖς,
Βᾶθι βᾶθι τάνδε γᾶν·
Σοί νιν ἔκγονοι κτίσαν,
Ἃ διώνυμοι θεαὶ,
Περσέφασσα καὶ φίλα
Δαμάτηρ θεὰ,
Πάντων ἄνασσα, πάντων δὲ Γᾶ τροφὸς
Ἐκτήσαντο· πέμπε πυρφόρους
Θεὰς ἀμῦναι τᾷδε γᾷ·
Πάντα δὲ εὐπετῆ θεοῖς.

ἐπιπεσὼν τῷ βραχίονι· τοὺς δὲ ὀδόντας αὐτοῦ, Παλλάδος τῆς ἀμήτορος παραινούσης, ἐνέσπειρεν εἰς γῆν ἐριβώλακα· ἐξ ἧς πολύ τι χρῆμα ἀνεφύη ἀνθρώπων παντοίως ἐξωπλισμένων· οὓς ὁ σίδηρος κατέβαλε πάλιν ἐπὶ τῆς γῆς· ἐξ ἧς προελθόντες, εἶδον μὲν τὸ φῶς, καὶ τὸν κοινὸν ἀέρα ἀνέπνευσαν, ἔπειτα δὲ τῷ οἰκείῳ αὐτὴν κατήρδευσαν αἵματι.

Ὦ Ἔπαφε, ὁ ἐκ τῆς Ἰοῦς παῖς γενόμενος τῷ Διΐ, σὲ καλῶ, βαρβάρῳ φωνῇ, σὲ φωνῷ τρόπῳ πατρίῳ, πεῦσσον, σπεῦσον πρὸς τήνδε τὴν πόλιν, ἣν οἱ σοὶ ἀπόγονοι ἔκτισαν· ἔνθα αἱ διώνυμοι θεαὶ, ἥτε θεία Περσεφόνη, καὶ φίλη Δημήτηρ ἡ πάντων ἀνάσσουσα, αὕτη δὴ ἡ πολυτρόφος γῆ, διαιτῶνται· ταύτας δὴ τὰς πυρφόρους πέμπε θεὰς ἐπαμυνούσας τῇ πόλει τῇδε· πάντα γὰρ τοῖς θεοῖς δυνατά.

δαλὸν, ἀπὸ βωμοῦ λαβόντες, βάπτοντες, ἡγνίζοντο. 666. Δίας δ' ἀμάτορος] προσέθηκα τὸν Δὲ ἐξ ἑτέρας ἐκδόσεως· τὸ δὲ Γαπετεῖς παρὰ τὸ πεσεῖν εἰς τὴν γῆν. Τὸ δ' αὖ Δικὼν ἐκληπτέον ἀντὶ τοῦ Ἔδικε 671. Πάνοπλον ὄψιν] θέαμα ἔνοπλον ἐκτὸς τῆς ἐπιφανείας τῆς γῆς· ὁ δὲ μῦθος γνωστός. 674. Αἵματος δ' ἔδευσε γαῖαν] δι' αἵματος· καί τοι ἔν τινι ἐκδόσει κεῖται, αἵματος δ' ἔδευσε· τὸ δὲ Εὐείλοισιν, ἐκ τοῦ ἕλη εἵλη ἡ θέρμη τοῦ ἡλίου· ταὐτὸν δὲ τῷ εὐηλίοις. 683. Ἃ διώνυμοι] τὸ ᾇ δωρικῶς ἀντὶ τοῦ ᾗ, ἔνθα, ὅπου· ἄμεινον δὲ ἦν γράφειν Ἣν ἀντὶ τοῦ ᾇ, συντάττοντας πρὸς τὸ ἐκτήσαντο· διώνυμοι δὲ, ὅτι δύο εἰσὶν ἑκατέρᾳ ὀνόματα· τῇ μὲν, Κόρη καὶ Περσεφόνη· τῇ δὲ, Δημήτηρ καὶ Γῆ· τὸ δὲ Κτήσαντο, Κτίσαντο ἐν ἄλλοις κεῖται· τὸ δὲ πυρφόρους, ὅτι οἱ μυούμενοι ἐν τοῖς μυστηρίοις ἔφερον πῦρ, ὅθεν καὶ ταύτας πυρφόρους εἰκόνιζον· εἰ μήτε

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΕΤΕΟΚΛΗΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΜΕΝΟΙΚΕΥΣ.

ΕΤ. Χώρει σὺ καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
Λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
Θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
Πρὶν ἐς μάχην τε καὶ δορὸς τάξιν μολεῖν·
Καί τοι ποδῶν σῶν μόχθον ἐκλύει παρών·
Ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στίχοντ' ἐμούς.
ΚΡ. Ἦ πολλ' ἐπῆλθον, εἰσιδεῖν χρῄζων σ', ἄναξ
Ἐτεόκλεες, πέριξ δὲ Καδμείων πύλας
Φύλακας τ' ἐπῆλθον, σὸν δέμας θηρώμενος.
ΕΤ. Καὶ μὴν ἐγὼ σ' ἔχρῃζον εἰσιδεῖν, Κρέον·
Πολλῷ γὰρ εὗρον ἐνδεεῖς διαλλαγάς,
Ὡς ἐς λόγους ξυνῆψα Πολυνείκει μολών·
ΚΡ. Ἤκουσα μεῖζον αὐτὸν, ἢ Θήβας φρονεῖν,
Κήδει τ' Ἀδράστου καὶ ϛρατῷ πεποιθότα (Στρ.)
Ἀλλ' ἐς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.
Ἃ δ' ἐμποδὼν μάλιστα, τοῦθ' ἥκω φράσων.
ΕΤ. Τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.
ΚΡ. Ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.
ΕΤ. Λέγει δὲ δὴ τί τῶν ἐκεῖ νεώτερον;
ΚΡ. Μέλλειν πέριξ πυκνοῖσι Καδμείων πόλιν
Ὅπλοις ἑλίξειν αὐτίκ' Ἀργείων στρατόν.
ΕΤ. Ἐξοιστέον τἄρ' ὅπλα Καδμείων πόλει.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΕΤΕΟΚΛΗΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΜΕΝΟΙΚΕΥΣ.

ΕΤ. Ἴθι σύγε, μέτελθε δεῦρο ἐν τάχει Κρέοντα τὸν Μενοικέως τὸν τῆς ἐμῆς μητρὸς Ἰοκάστης ἀδελφόν· βούλομαι γὰρ αὐτῷ συμβουλεύσασθαι περὶ τῶν κοινῶν πρὶν ἐς χεῖρας ἐλθεῖν τοῖς ἐχθροῖς. Ἀλλ' ἐπίσχες· ὁρῶ γὰρ αὐτὸν ἀφ' ἑαυτοῦ κατατείνοντα δεῦρο.

ΚΡ. Ὡς πολλὰ, ὦ ἄναξ, ἐπῆλθον τῆς πόλεως, ἐντυχεῖν σοί πῃ τὰ μάλιστα ἔχων χρείαν.

ΕΤ. Κἀμοὶ, ὦ Κρέον, τῶν ἀναγκαιοτάτων τοῦτ' ἦν· ἐς λόγους γὰρ ἐλθὼν Πολυνείκει πρὸς διαλλαγὰς, ἔπραξ' οὐδέν.

ΚΡ. Φασὶ γὰρ αὐτὸν, τῇ τοῦ Ἀδράστου συγγενείᾳ καὶ τῷ στρατῷ πεποιθότα, μείζω, ἢ Θήβας αὐτὰς, φρονεῖν. ἀλλ' ἐκεῖνα μὲν ἐν γούνασι κείσθω θεῶν. ἐγὼ δ' ἃ δοκῶ μοι συνορᾶν ὡς βέλτιστα πρὸ ποδῶν, ταῦτά σοι ἐρῶ.

ΕΤ. Τὰ ποῖα φῄς; οὐ γὰρ ἔχω καταμαθεῖν.

ΚΡ. Αἰχμάλωτος ἐκ τοῦ στρατοπέδου ἦλθε τῶν πολεμίων.

ΕΤ. Λέγει δὲ τὶ νεώτερον τῶν ἐκεῖθεν;

ΚΡ. Μέλλειν τοὺς πολεμίους πολιορκήσειν τὴν πόλιν.

ΕΤ. Ἐξακτέον ἄρα καὶ ἡμῖν τὸν στρατὸν ἐπ' ἐκείνους.

---

κατὰ συγκοπὴν τοῦ πυροφόρους· ὡς ἀνωτέρω. στίχ. 644. 690 Χώρει σὺ πρὸς οἰκέτην τινὰ ἀποτείνεται. 705. Ἀναρτήσαντ' ἔχειν] φράσις συνήθης αὕτη· ἀν-

ΚΡ. Ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς, ἃ χρή σ' ὁρᾶν;
ΕΤ. Ἐκτὸς τάφρων τῶνδ', ὡς μαχουμένους τάχα.
ΚΡ. Σμικρὸν τὸ πλῆθος τῆσδε γῆς, οἱ δ' ἄφθονοι.
ΕΤ. Ἐγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
ΚΡ Ἔχει τίν' ὄγκον Ἄργος Ἑλλήνων πάρα·
ΕΤ. Θάρσει· τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου.
ΚΡ. Θέλοιμ' ἄν· ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.
ΕΤ. Ὡς οὐ καθέξω τειχέων ἔσω στρατόν.
ΚΡ. Καὶ μὴν τὸ νικᾶν ἐστὶν πᾶν εὐβουλία.
ΕΤ. Βούλει τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς;
ΚΡ. Πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
ΕΤ· Ἢ νυκτὸς αὐτοῖς προσβάλοιμ' ἂν ἐκ λόχου;
ΚΡ. Εἴπερ σφαλείς γε, δεῦρο σωθήσῃ πάλιν.
ΕΤ. Ἴσον φέρει νύξ, τοῖς δὲ τολμῶσιν πλέον.
ΚΡ. Ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
ΕΤ. Ἀλλ' ἀμφὶ δεῖπνον οὖσι προσβάλω δόρυ;
ΚΡ. Ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
ΕΤ. Βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν πόρος.
ΚΡ. Ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
ΕΤ. Τί δ', εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
ΚΡ. Κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
ΕΤ· Τί δῆτα δράσω; πολεμίοισι δῶ πόλιν;
ΚΡ· Μὴ δῆτα· βουλεύου δ', ἐπείπερ εἶ σοφός.
ΕΤ. Τίς οὖν πρόνοια γίγνεται σοφωτέρα;

---

τὶ τοῦ ἀναρτῆσαι· οὕτω καὶ γράψας ἔχω· καὶ θαυμάσας ἔχω, καὶ ἄλλα. 713. Μῶν νεάζων μήπως ἐκ νεότητος οὐ τἄριστα φρονεῖς;] 731. Ἅπαν κάκιον δ' ἐστι τὸ φυλάττεσθαι καλῶς] κρεῖττόν ἐστι τοῦ μὴ φυλάττεσθαι· τὸ δὲ καθιπ-

ΚΡ. Ποῖ; νέος γὰρ ὢν, οὔπω συνορᾷς τὰ συνοίσοντα.

ΕΤ. Ἐκτὸς τῶν τάφρων, ὡς συνάψοντας ἐκείνοις μάχην.

ΚΡ. Ἀλλ᾽ ἐσμὲν πολλῷ ἐλάττους ἐκείνων.

ΕΤ. Κόμπος λόγων ἐςὶ παρ᾽ ἐκείνοις μᾶλλον τὸ θράσος.

ΚΡ. Μέγα παρὰ πᾶσι τὸ τοῦ Ἄργους ἀξίωμα.

ΕΤ. Θάῤῥει· αὐτίκα γὰρ ὄψει πᾶν τὸ πεδίον τῷ ἐκείνων κλυζόμενον αἵματι.

ΚΡ. Εἴη ταῦτα· ἀλλ᾽ ἔμοιγε τοὐπιχείρημα δοκεῖ ἐπικίνδυνον.

ΕΤ. Ἀλλ᾽ ὡς οὐ καθέξοντος ἐμοῦ ἐντὸς τὸν ςρατὸν, οὕτως ἴσθι.

ΚΡ. Οὐκ οἶσθ᾽ ὡς τὸ νικᾷν ἐςὶ πανταχοῦ εὐβουλία;

ΕΤ. Οὐκοῦν τί με δεῖ ποιεῖν ἄλλο;

ΚΡ. Πάντα, πρὶν ἐς χεῖρας ἐλθεῖν.

ΕΤ. Ἀπροσδοκήτοις αὐτοῖς ἐπιθήσομαι νύκτωρ.

ΚΡ. Εἴγε σφαλεὶς, ἐλπίζεις ἐπανήξειν ῥᾳδίως, ποίει οὕτω.

ΕΤ. Τὸ μὲν ἀπὸ τῆς νυκτὸς κοινόν· ἡ δὲ τόλμη βραβεύσει τὴν νίκην.

ΚΡ. Σκότος γὰρ πολλοῖς πολλῶν κακῶν ἐστιν αἰτία.

ΕΤ. Οὐκοῦν δειπνοποιουμένοις αὐτοῖς ἐπιπεσοῦμαι.

ΚΡ. Πλὴν τοῦ θορύβου οὐδὲν ἔςαι πλέον· νικᾷν δὲ δεῖ.

ΕΤ. Ἔοικε· καὶ γὰρ καὶ ὁ πόρος τῆς Δίρκης βαθὺς ἀναχωρῆσαι.

ΚΡ. Οὐδὲν ἀσφαλείας ἂν εἴη κρεῖττον.

ΕΤ. Τί δὲ, εἰ τῇ ἵππῳ αὐτοῖς ἐπιθοίμεθα;

ΚΡ. Τί δοκεῖς; οὐ κᾀκεῖνοι ἅρμασιν εἰσὶ πεφραγμένοι;

ΕΤ. Τί οὖν; μῶν δοτέον τοῖς πολεμίοις τὴν πόλιν;

ΚΡ. Οὔ φημι· ἀλλὰ βουλευτέον σοι, εὖ φρονοῦντι.

ΕΤ. Τί ἂν εἴη σοφώτερον τούτων βουλεύσασθαι;

ΚΡ. Ἕπτ' ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ —
ΕΤ. Τί προστετάχθαι δρᾷν; τὸ γὰρ σθένος βραχύ.
ΚΡ. Λόχων ἄνακτας, ἑπτὰ προσκεῖσθαι πύλαις.
ΕΤ. Τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
ΚΡ. Ἕπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ·
ΕΤ. Λόχων ἀνάσσειν, ἢ μονοςόλου δορός;
ΚΡ. Λόχων, προκρίνας, οἵπερ ἀλκιμώτατοι.
ΕΤ. Ξυνῆκ', ἀμύνειν τειχέων προσαμβάσεις.
ΚΡ. Καὶ ξυςρατήγους· εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.
ΕΤ. Θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
ΚΡ. Ἀμφότερον· ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
ΕΤ. Ἔςαι τάδ', ἑπτάπυργον εἰς πόλιν μολὼν,
Τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
Ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
Ὄνομα δ' ἑκάςου διατριβὴ πολλὴ λέγειν,
Ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων.
Ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
Καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν,
Καὶ ξυςαθέντα διὰ μάχης ἑλεῖν δορὶ,
[Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.]
Γάμους δ' ἀδελφῆς Ἀντιγόνης παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
Σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν δ' ἐχέγγυον
Τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.

---

πεύσαιμεν, τὸ τῇ ἵππῳ ἐκείνοις ἐπιθέσθαι δηλοῖ. 738. Τί προστετάχθαι δρᾷν;] Φήφασι προστετάχθαι αὐτοῖς δρᾷν ἑπτὰ οὖσι μόνοις, καὶ ὀλίγα δυναμένοις; λόχων ἀνάσσειν, καὶ ταῖς ἑπτὰ πύλαις ἐπικεῖσθαι· τὸ δ' ἀπορίαν οὐ μενῶ,

ΚΡ. Ἑπτὰ ἄνδρας ἑλέσθαι φασὶ τοὺς πολεμίους.

ΕΤ. Εἶτα τί πρὸς ταῦτα, τῶν ἑπτὰ ὀλίγον δυναμένων;

ΚΡ. Τούτους δὲ σὺν λόχοις ταῖς τῆς πόλεως ἐπιθήσεσθαι πύλαις.

ΕΤ. Τί οὖν ποιητέον; πνίγει γάρ με ἡ διατριβή.

ΚΡ. Ἑπτὰ λοχαγοὺς καὶ αὐτὸν πρὸς ταῖς πύλαις ἀντιτάξαι.

ΕΤ. Λόχων ἄρχοντας, ἢ ὥσπερ μονομάχους;

ΚΡ. Λόχων γὰρ, ἑλόμενον ἁπάντων μάλιστα τοὺς ἀρίστους.

ΕΤ. Μανθάνω, ἀπερύκειν φὴς τὰς τῶν ἐχθρῶν προσβάσεις.

ΚΡ. Καὶ συστρατήγους· οἱ πλείους γὰρ ἄμεινον ὁρῶσι.

ΕΤ. Πότερον, ἀνδρείους τούτους, ἢ φρονίμους αἱρετέον;

ΚΡ. Ἀμφότερον· οὐδὲν γὰρ θάτερον παρὰ θάτερον.

ΕΤ. Εὖ ἕξει· εἶμι τοίνυν τούτοις τὴν πρᾶξιν ἐπιθήσων, ἴσους ἴσοις κατὰ τὸ ἑπτάπυλον λόχους ἀντιτάξας τοῖς πολεμίοις· τίνας δὲ τούτων οὐ καιρὸς ὀνομάζειν ἑκάστους, τῶν ἐχθρῶν ἤδη πρὸς τοῖς τείχεσιν ὄντων· ἀλλ᾽ εἶμι, ἵνα μὴ ὁ βραχίων οὑτοσὶ διὰ χρόνου ἄπρακτος μένῃ· καί μοι γένοιτο ἐντυχεῖν τῷ ἀδελφῷ ἀνταραμένῳ χεῖρα, καὶ συμβαλόντα, διελάσαι αὐτὸν τῷ δορὶ, ὡς ἐπὶ τὴν ἐμὴν ἐπελθόντα πατρίδα· Σοὶ δ᾽ οὖν, εἰ τὰ τῆς τύχης ῥέψειεν ἐπὶ θάτερα, μελέτω τῶν τῆς Ἀντιγόνης γάμων Αἵμονι τῷ σαυτοῦ παιδὶ συναρμόσαι· κἀπιβεβαιῶ τὰ πρότερον ὡμολογημένα νῦν τοῖς ἐσχάτοις· περὶ δὲ τῆς

---

τὴν στενοχωρίαν μᾶλλον αὐτοῦ ἐννοητέον, διὰ τὸ τοῦ πράγματος ἀβέβαιον· 741. Ἑπτ᾽ ἄνδρας αὐτοῖς καὶ σὺ] ἐν ἄλλοις, αὐτὸς καὶ σὺ κεῖται. 747. Ἀπολειφθὲν] θάτερον γὰρ ἀπολειφθὲν τοῦ ἑτέρου, οὐδέν ἐστιν. 757. Γάμους σοὶ χρὴ μέλεσθαι] ἐν παθητικῇ συντάξει ἐκληπτέον· ὥστε τὸ γάμους ἀπαρέμφα-

Μητρὸς δ' ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
Τρέφ' ἀξίως νιν σοῦ τε τὴν τ' ἐμὴν χάριν.
Πατὴρ δ' ἐς αὐτὸν ἁμαρτίαν ὀφλισκάνει,
Ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ' ἐπήνεσα·
Ἡμᾶς τ' ἀραῖσιν, ἣν τύχῃ, κατακτενεῖ.
Ἓν δ' ἐςὶν ἡμῖν ἀργὸν, εἴ τι θέσφατον
Οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
Τοῦδ' ἐκπυθέσθαι ταῦτ'· ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,
Ἄξοντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
Σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται·
Ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
Ἤδη πρὸς αὐτὸν, ὥς' ἐμοὶ μομφὰς ἔχειν.
Πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον·
Ἤνπερ κρατήσῃ τἀμὰ, Πολυνείκους νέκυν
Μή ποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί·
Θνήσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
Σοὶ μὲν τάδ' εἶπον· προσπόλοις δ' ἐμοῖς λέγω,
Ἐκφέρετε τεύχη πάνοπλά τ' ἀμφιβλήματα.
Ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορός.
Ὁρμῶμεν ἤδη ξὺν δίκῃ νικηφόρῳ.
Τῇδ' εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
Προσευξόμεσθα τήνδε διασῶσαι πόλιν.

ΧΟ. Ὦ πολύμοχθος Ἄρης, τί ποθ' αἵματι (Στρ.)
Καὶ θανάτῳ κατέχῃ, Βρομίου παράμουσος ἑορταῖς;

---

-τικῶς ἐκ πρώτου εἶναι τοῦ μέλεσθαι. 762. Σοῦτε, τήν τ' ἐμὴν χάριν] χάριν σοῦ τε καὶ ἐμοῦ· ἐξ ἀναλύσεως τῆς πρωτοτύπου ἀντωνυμίας εἰς τὴν κτητικὴν

μητρὸς περίεργον λέγειν· ἀδελφὸς γὰρ ὢν, τρέφε αὐτὴν ἀξίως, σεαυτῷ τε κἀμοὶ χαριζόμενος· ὁ δὲ πατὴρ αὐτὸς ἂν ἑαυτοῦ καταγνοίη μωρίαν, οὐ μόνον τοὺς ὀφθαλμοὺς ἐξορύξας, ἀλλ' ὅτι καὶ ἡμῖν ἐξώλειαν ἠράσατο δεινοτάτην. Ταῦτα μενοῦν ἐκείνου οὐκ οἶδ' ὅπως οὐκ ἂν ἔχοιμι ἐπαινεῖν· ἀλλ' ἓν ἐκεῖνο ἐνδεές μοι δοκεῖ ἔτι εἶναι, Τειρεσίαν ἐρέσθαι, εἴτινα οἰωνὸν ἡμῖν ἔχοι φράσαι· ἀλλ' ἐγὼ πέμψω Μενοικέα τὸν παῖδα τὸν σὸν, τὸν τοῦ πάππου φερώνυμον, ἄξοντά σοι ἐκεῖνον· ἥδιον γάρ σοι διαλέξεται, ὡς ἀπεχθησομένου μου πρὸς αὐτὸν, ὅτι ἐμεμψάμην ποτὲ αὐτῷ τὴν τέχνην. Ἔσχατον δὲ πάντων, σοί τ', ὦ Κρέον, καὶ πάσῃ ἐπισκήπτω τῇ πόλει ἐκεῖνο· ἢν ἡ νίκη ςῇ μεθ' ἡμῶν, τὸν Πολυνείκους νεκρὸν μὴ ταφῆναι ἐν Θήβαις· εἰ δέ τις θάψῃ, ζημιούσθω θανάτῳ, κἂν οὗτος τύχῃ φίλος ὤν· ταῦτα μὲν πρὸς σέ· ὑμεῖς δ', ὦ οἰκέται, ἐκφέρετέ μοι τὴν πανοπλίαν, ἵνα πρὸς τὸν προκείμενον ἡμῖν ἀγῶνα σὺν δίκῃ ἴωμεν νικηφόρῳ, εὐξάμενοι πρῶτον τῇ σεμνοτάτῃ τῶν θεῶν Εὐλαβείᾳ τήνδε τὴν πόλιν σῶσαι.

ΧΟ. Ἄρες, ἄρες, βροτολοιγὲ, ὁ πολλῶν κακῶν ἀνθρώποις γενόμενος αἴτιος, τί ποθ' οὕτως αἵματι καὶ φόνῳ ἐνασ-

κατὰ τὸ, σόν ἐστι καὶ ἐμοῦ ταῦτα πρᾶξαι. 764. Οὐκ ἄγαν σφ' ἐπήνεσα.] μίσος δεικνύει ταῦτα καὶ ἀποστροφὴν πρὸς τὸν πατέρα. 766. Ἀργὸν] ἀτέλεστον ἄπρακτον 781. Ὁρμώμεθ' ἤδη ξὺν δίκῃ] ἐν ἄλλοις, ὁρμῶμεν ξὺν νίκῃ· θεοποιεῖ δὲ καὶ τὴν Εὐλάβειαν, ὡς τὸν Φόβον καὶ Δεῖμον Ὅμηρος. 785. Θανάτῳ κατέχῃ] κάτοχος, ἔνθους εἶ· χαίρεις τῷ αἵματι· τὸ δὲ Παράμουσος ἐναντίως

Οὐκ ἐπὶ καλλιχόροις ϛεφάνοισι νεάνιδος ὥρας
Βόϛρυχον ἀμπετάσας, λωτοῦ κατὰ πνεύματα μέλπῃ
Μοῦσαν. ἐν ᾇ χάριτες χοροποιοὶ,
Ἀλλὰ σὺν ὁπλοφόροις, ϛρατὸν Ἀργείων ἐπιπνεύσας
Αἵματι Θήϐας, κῶμον ἀναυλότατον προχορεύεις·
Οὐ πόδα θυρσομανῆ νεϐρίδων μέτα δινεύεις, ἀλλ'
Ἅρμασι καὶ ψαλίοις τετραϐάμοσι μώνυχα πῶλον,
Ἰσμηνοῦ τ' ἐπὶ χεύμασι βαίνων,
Ἱππείαισι θοάζεις, Ἀργείους ἐπιπνεύσας
Σπαρτῶν γέννᾳ,
Ἀσπιδοφέρμονα θίασον, ἔνοπλον,
Ἀντίπαλον κατὰ λάϊνα τείχεα.
Ἦ δεινά τις Ἔρις θεὸς, ἃ τάδε
Μήσατο πήματα γᾶς βασιλεῦσιν,
Λαϐδακίδαισιν πολυμόχθοις.
Ὦ ζαθέων πετάλων πολυθηρότα- (Ἀντ.)
τον νάπος' Ἀρτέμιδος χιονοτρόφον ὄμμα Κιθαιρὼν,
Μήποτε τὸν θανάτῳ προτεθέντα, λόχευμ' Ἰοκάϛας,
Ὤφελες Οἰδιπόδαν θρέψαι βρέφος ἔκϐολον οἴκων,
Χρυσοδέτοις περόναις ἐπίσαμον·
Μηδὲ τὸ παρθένιον πτερὸν, οὔρειον τέρας, ἐλθεῖν

---

μέλος ταῖς τοῦ Βάκχου ᾄδειν, βούλεται λέγειν. 786. Νεάνιδος ὥρας.] ἀντὶ νέας ὡραιότητος, ὅ ἐστι τῶν νέων καὶ ὡραίων παρθένων· ὧν ὅσαι ἦσαν βάκχαι, ἐν ἦρι γιγνομένων τῶν Διονυσιακῶν, διαλύουσαι τοὺς βοστρύχους, ἐχόρευον ᾄδουσαι πρὸς αὐλὸν (ὃν λωτὸν ἐνταῦθα καλεῖ) κλάδους τε ἐν χερσὶ καὶ κισσοὺς φέρουσαι, καὶ νεϐρίδας, ὅ ἐστι δέρματα δορκάδος κατάστικτα περιϐεϐλημέναι. 787. Λωτοῦ κατὰ πνεύματα] πρὸς τὰ πνεύματα τοῦ λωτοῦ. 789. Ἐπιπνεύσας] ἐξορμήσας. 791. Οὐ πόδα θυρσομανῆ] ἐν ἄλλοις, Οὐδ' ὑπὸ θυρ-

μενίζεις, ἀντίφθογγον μέλος ταῖς τοῦ Βάκχου ἑορταῖς ἀλαλάζων; οὐ γὰρ πρὸς αὐλὸν μέλπεις μοῦσαν, ἐν ᾗ αἱ χάριτες συνιςῶσι χορὸν ἐναρμόνιον, ἐν ἐαρινοῖς νεανίδων ὡραίων ςεφάνοις χαλάσας τὸν βόστρυχον· ἀλλ᾽ ὅλον ςρατὸν Ἀργείων ἐπαγαγὼν ἐπὶ Θήβας πρὸς φόνον, ἐπικωμάζεις αὐταῖς μεθ᾽ ὅπλων ἀμουσότατον κῶμον, οὐδὲ μὴν τὸν θυρσόπληγα πόδα μετὰ νεβρίδων ςρέφεις· ἀλλ᾽ ἅρμασι καὶ ψαλλίοις ἰθύνων τὴν ἵππον παρὰ τὰς ῥοὰς τοῦ Ἰσμηνοῦ, μαίνῃ τῇ ἱππασίᾳ, Ἀργεῖον ςρατὸν, οἷον θίασον ἀσπιδότροφον, ἔνοπλον, ἀντίπαλον ἐπὶ τὰ τείχη τῶν Σπαρτῶν παροξύνας· ὡς δεινή ἐστιν ἡ Ἔρις θεὸς, ὡς σχετλία· ἣ τοιαῦτα δεινὰ Λαβδακίδαις ἐπήνεγκε πολυμόχθοις.

Ὦ εἰνοσίφυλλον νάπος, πολυθηρότατον, χιονότροφον, σὲ τὸν Κιθαιρῶνα καλῶ, τὸ τῆς Ἀρτέμιδος ἐνασμένισμα, ὡς μὴ ὤφειλες διασῶσαί ποτ᾽ Οἰδίποδα, τοῦτον δὴ τὸν παῖδ᾽ Ἰοκάστης, ἐκτεθειμένον θανάτῳ, καὶ ἐπίσημον τοῖς χρυσοδέτοις περόναις γεγενημένον· μήδ᾽ ἡ Σφίγξ, ἡ πτερωτὸς ἐκείνη παρθένος, τὸ ὀρεσίτροφον τέρας, τοσαῦτα δεινὰ σὺν ᾠδαῖς ὀδυνηραῖς τῇ

---

σομανεῖ, οὐ καλῶς· οὐ κινεῖς τὸν θυρσομανῆ πόδα μετὰ νεβρίδων, ἀλλὰ τὸν μώνυχα πῶλον ψαλλίοις καὶ ἅρμασι τετραβάμοσιν, ὅ ἐστιν, ὑπὸ τεσσάρων ἵππων βαινομένοις, καὶ ἑλκομένοις. 794. Ἱππείαισι θοάζεις] μαίνῃ τῇ ἱππασίᾳ ἐπὶ τῶν τοῦ Ἰσμηνοῦ ὀχθῶν, 796. Ἀσπιδοφέρμονα θίασον] ἀσπισοφόρον, ἢ μᾶλλον ἀσπιδοθρέμονα χορὸν τὸν τρεφόμενον ὑπὸ τῶν λαφύρων· ἀνακτέον δὲ τοῦτο πρὸς τοὺς Ἀργείους. 799. Μήσατο] ἐσκέψατο, ἐξειργάσατο. 806. Μηδὲ τὸ παρθένιον πτερὸν τῆς Σφιγγὸς] αὐτὴ ἡ Σφίγξ. ἐκ τοῦ μέρους τὸ ὅλον· σύ-

Πένθεα γαίας, Σφιγγὸς, ἀμουσοτάταισι σὺν ᾠδαῖς,
Ἅ ποτε Καδμογενῆ τετραβάμοσιν ἐν χαλαῖσι,
Τείχεσι χριμπτομένα, φέρεν αἰθέρος εἰς ἄβατον φῶς
Γένναν, τὰν ὁ κατὰ χθονὸς Αΐδας
Καδμείοις ἐπιπέμπει· δυσδαίμων δ᾽ ἔρις ἄλλα
Θάλλει παίδων
Οἰδιπόδα κατὰ δώματα καὶ πόλιν.
Οὐ γὰρ, ὃ μὴ καλὸν, οὔ ποτ᾽ ἔφυ καλὸν,
Οὐδ᾽ οἱ μὴ νόμιμοί τοι παῖδες,
Ματρὶ λόχευμα, μίασμά τε πατρός·
Ἡ δὲ σύναιμον λέχος ἦλθεν.
Ἔτεκες, ὦ γᾶ, ἔτεκές ποτε, (Ἐπῳδός.)
Βάρβαρον ὡς ἀκοὰν ἐδάην, ἐδάην ποτ᾽ ἐν οἴκοις,
Τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
Γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος·
Ἁρμονίας δέ ποτ᾽ εἰς ὑμεναίους
Ἤλυθον Οὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας
Τᾶς Ἀμφιονίας τε λύρας ὕπο πύργοι ἀνέσταν
Διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφον ἃ πεδίον
Πρόπαρ Ἰσμηνοῦ καταδεύει·
Ἰὼ θ᾽, ἁ κερόεσσα προμάτωρ,
Καδμείων βασιλῆας ἐγείνατο·
Μυριάδας δ᾽ ἀγαθῶν
Ἑτέρας ἑτέραις μεταμειβομένα
Πόλις ἅδ᾽ ἐπ᾽ ἄκροις
Ἕστακ᾽ Ἄρεος στεφάνοισιν.

---

νηθες τοῦτο ποιηταῖς τὸ συνεκδοχικόν. 809. Εἰς ἄβατον φῶς] ἀναγαγοῦσα γὰρ τοὺς ἀνθρώπους εἰς ὕψος πολὺ, κατέτρωγεν αὐτοὺς αὐτοῦ· ἢ ἠφίει φέρεσθαι

γῆ τῶν Θηβαίων ἐπενεγκεῖν· ἥδε γάρ, ἣν ὁ Ἅδης αὐτὸς ἐξέπεμψεν ἐπὶ Θήβας, πρὸς τοῖς τείχεσιν αὐτοῖς ἐμφιλοχωροῦσα, ἀνήρπαζεν ἀεὶ ἕνα τινὰ τῶν Καδμείων τοῖς ὄνυξι, καὶ ἀνέφερεν εἰς ἀχανῆ τὸν αἰθέρα. Νῦν δ' αὖ ἄλλ' ἐπ' ἄλλοις τοῖς τε παισὶ τοῦ Οἰδίποδος καὶ τῇ πόλει ἀγρία τρέφει ἔρις· ἔοικε γὰρ τὸ μὴ καλῶς γενόμενον μηδέποτ' εἶναι καλόν· οἱ γὰρ παῖδες οὗτοί γ' ἀνοσίως σπαρέντες, εἰς μίασμα ἐτέχθησαν τῶν τοκέων, ὡς εἰς σύναιμον ὁμιλίαν ἐλθούσης τῆς Ἰοκάστης.

Ὦ γῆ, ἐβλάστησας, καὶ τούτου λόγος διῆξε καὶ ὡς ἡμᾶς εἰς τὴν βάρβαρον, ἐβλάστησάς ποτε σπορὰν ἀνθρώπων ἐκ δρακοντείων ὀδόντων, τὸ κάλλιστον Θήβαις ἀγλάϊσμα, αἵτε θεότητες ἐξ οὐρανοῦ καταβᾶσαι, τοὺς τῆς Ἁρμονίας ἐτίμησαν γάμους· τότε τείχη τῶν Θηβῶν καὶ οἱ πύργοι ὑπὸ τὴν τοῦ Ἀμφίονος ᾠκοδόμηνται λύραν ἐπὶ τῶν δύο ποταμῶν κατὰ μέσον τὸν πόρον τῆς Δίρκης, ὑφ' ἧς τὸ πρὸ τοῦ Ἰσμηνοῦ πᾶν καταρδεύεται χλοηφόρον πεδίον. Ἡ δ' αὖ Ἰώ, ἡ κερασφόρος, φημί, προμήτωρ τοὺς τῶν Καδμείων ἔτεκε βασιλέας· καὶ ἡ πόλις ἥδε μυρί' ὅσ' ἀγαθά, ἀλλ' ἐπ' ἄλλοις ἰδοῦσα, μέγιστον ἐν ὅπλοις ἤρατο κλέος.

---

κατὰ γῆς. 811. Ἄλλα θάλλει] ἄλλα κακὰ νῦν τρέφει τοῖς παισὶ τοῦ Οἰδίποδος. 821. Ὄνειδος] ἐπὶ φήμης ἀγαθῆς ἐκληπτέον οὕτω καὶ στίχ. 1760. 822. Ὑμεναίους] εἰς τοὺς γάμους· κατελθόντες γὰρ οἱ θεοί, ἦσαν ᾄσμα εἰς τιμὴν τῶν νυμφίων 824. Πύργος] ὁ ἰδίᾳ εἰς τιμὴν τῆς Ἁρμονίας οἰκοδομηθείς, θυγατρὸς Ἄρεως καὶ Ἀφροδίτης οὔσης· τὸ δὲ, Διδύμων ποταμῶν ἐλλειπτικῶς δοκεῖ ἔχειν τῆς Ἐπί· διαιροῦνται δ' οὗτοι ἀπὸ τῆς Δίρκης. 832. Ἐπ' ἄκροις ἔσταν' Ἄρεως στεφάνοισιν] τοσούτων ἀγαθῶν ἡ πόλις ἔτυχεν ἥδε, ὥστε ἤρθη

ΤΕ. Ἡγοῦ πάροιθε, θύγατερ, ὡς τυφλῷ ποδὶ
Ὀφθαλμὸς εἶ σὺ, ναυτίλοισιν ἄστρον ὥς·
Δεῦρ' ἐς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ' ἐμὸν
Πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ·
Κλήρους τέ μοι φύλασσε παρθένῳ χερὶ,
Οὓς ἔλαβον, οἰωνίσματ' ὀρνίθων μαθὼν
Θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
Τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι,
Πόση τις ἡ 'πίλοιπος ἄστεος ὁδὸς
Πρὸς πατέρα τὸν σόν; ὡς ἐμὸν κάμνει γόνυ,
Πυκνὴν δὲ βαίνων ἤλυσιν, μόλις περῶ.
ΚΡ. Θάρσει· πέλας γὰρ, Τειρεσία, φίλοισι σοῖς
Ἐξώρμισαι σὸν πόδα· λαβοῦ δ' αὐτοῦ, τέκνον·
Ὡς πᾶσ' ἀπήνη πούς τε πρεσβύτου φιλεῖ
Χειρὸς θυραίας ἀναμένειν κουφίσματα.
ΤΕ. Εἶεν, πάρεσμεν. τί με καλεῖς σπουδῇ, Κρέον;
ΚΡ. Οὔπω λελήσμεθ'· ἀλλὰ σύλλεξαι σθένος,
Καὶ πνεῦμ' ἄθροισον, ἆπος ἐκβαλὼν ὁδοῦ.
ΤΕ. Κόπῳ παρεῖμαι, γῆς Ἐρεχθειδῶν ἄπο
Δεῦρ' ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας·
Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορὸς,

εἰς τὸ ἄκρον τῆς δόξης, εἰς ἣν φέρει μάλιστα τὰ ὅπλα. 833. Θύγατερ] Μαντὼ ἐκαλεῖτο ἡ τοῦ Τειρεσίου θυγάτηρ· τυφλὸς δ' ὁ ποὺς λέγεται, ὡς μὴ ὁδηγούμενος ὑπὸ τῶν οἰκείων ὀφθαλμῶν. 838. Κλήρους.] δελτάρια ἦν ταῦτα, ἐν οἷς σεσημείωτο τοὺς οἰωνισμοὺς διὰ τῆς Μαντοῦς, τῆς καὶ διαδεξαμένης τὴν τέχνην. 844. Πυκνὴν βαίνων ἤλυσιν] ἔλευσιν, ὁδόν· ἄρτι γὰρ ἧκεν Ἀθήνηθεν 846. Ἐξώρμισαι σὸν πόδα] εἰς τὸν ὅρμον εἰσήγαγες· ἀπὸ μεταφορᾶς τῶν ὁρμιζομένων νεῶν. 847. Ὡς πᾶσ' ἀπήνη] ὕποπτον τὸ χωρίον τοῦτο, ὡς μὴ προσῆκον μάλιστα τῇ ἐννοίᾳ τοῦ λόγου· ῥητέον οὖν, ὡς καθάπερ ἡ ἀπήνη δεῖται ὑποζυγίων πρὸς τὸ κινηθῆναι, οὕτω καὶ οἱ πόδες τῶν γερόντων δέον-

ΤΕ. Ἡγοῦ μοι, τέκον· σὺ γὰρ ἔμοιγ' ὀφθαλμὸς νῦν τυφλῷ ὄντι καθάπερ ἄςρον πλωϊζομένοις· ἐν ὁμαλῷ δ' ἀεὶ τιθεῖσα τὸν ἐμὸν πόδα, οὕτω πρόβαινε, ἵνα μὴ σφαλῶμεν· ὁρᾷς γὰρ, ὅσον ὁ σὸς πατήρ ἐστιν ἀσθενής· λαβοῦσα δὲ καὶ τοὺς κλήρους τούτους, οὓς ἔχω λαβὼν, ἐξ ἱερᾶς οἰωνισάμενος ἕδρας, κάτεχε χειρὶ καθαρᾷ· σὺ δ', ὦ Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι, τέκνον, πόσον ἔτι ἀπολειπόμεθα τῆς πρὸς τὸν σὸν πατέρα ὁδοῦ; λελυμένων γὰρ ἤδη μοι ἐκ τῆς πολλῆς ὁδοῦ τῶν γονάτων, μόλις συχνὸν ὑποκινῶ τὸν πόδα.

ΚΡ. Θάῤῥει, γέρον· μικρὸν γὰρ προσθεὶς, παρ' αὐτοῖς ἔςη τοῖς φίλοις· σὺ δ', ὦ τέκνον, λαβόμενος αὐτοῦ, ἀνακούφιζε· ἀπήνη γὰρ πᾶσα, καὶ ποὺς πρεσβύτου βοηθείας ἔξωθεν ὡς μάλιςα δεῖται.

ΤΕ. Εὖ ἔχει ταῦτα· νῦν δ' εἰπέ μοι, ὦ Κρέον, τί ποτε τοσαύτῃ σπουδῇ μετεπέμψω με ὧδε;

ΚΡ. Οἶδ', ἀλλ' ἀνάπνευσον πρῶτον, ἀποβαλὼν τὸ ἆσθμα.

ΤΕ. Ὀρθῶς τοῦτ' ἔφησθα· παραλέλυμαι γὰρ ἀληθῶς, μόλις χθὲς ἀπὸ τῆς τοῦ Ἐρεχθέως παραγεγενημένος· ἦν γὰρ κἀκεῖ πόλεμός τις πρὸς Εὔμολπον Κεκροπίδαις· οὓς

---

ται ἐξωτερικῆς χειρὸς πρὸς ἀνακούφισιν 850. Οὔπω λελήσμεθα] μέμνημαι, φησὶ, τοῦτο, δι' ὃ μετεπεμψάμην σε, ἀλλ' ἀνάπαυσαι πρῶτον, ἀποβαλὼν τὸν κάματον τὸν ἀπὸ τῆς ὁδοῦ. 854. Εὐμόλπου δορὸς] ἐκλελήφθω ἀντὶ τοῦ Εὐμολπιδῶν· ἄλλως δὲ τέσσαρσι γενεαῖς ἀρχαιότερος Εὔμολπος τῶν παρόντων. Ἐρεχθέως γὰρ ἐγένετο Κέκρωψ· οὗ, Πανδίων· οὗ, Αἰγεύς· οὗ Θησσεὺς, ὁ τῶν ἐν Καδμείᾳ πεσόντων τὰ σώματα ἀνελόμενος. Εὔμολπος δὲ βασιλεὺς ὢν τῆς Θρᾴκης, ἐλθὼν ἐμυήθη πρῶτος τῶν ξένων ἐν Ἐλευσῖνι· ἐξ οὗ καὶ ἄρχοντες ἐν τοῖς ἱεροῖς Ἀθήνησιν Εὐμολπίδαι ἐγίνοντο· συμμαχήσας δὲ τοῖς Ἐλευσινίοις κατὰ Ἐρεχθέως, ἐφονεύθη, ἡττηθείς· ἐτιμήθη δ' ὕςερον ἐκ χρησμοῦ· οἱ δὲ λέγουσι Πο-

Οὗ Καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγώ·
Καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω,
Λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.

ΚΡ. Οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
Ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σὺ,
Δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
Βασιλεὺς μὲν οὖν βέβηκε, κοσμηθεὶς ὅπλοις
Ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
Ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρα,
Τί δρῶντες ἂν μάλιστα, σώσαιμεν πόλιν.

ΤΕ. Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλῄσας στόμα,
Χρησμοὺς ἐπέσχον· σοὶ δ', ἐπεὶ χρῄζεις μαθεῖν,
Λέξω· νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
Ἐξ οὗ 'τεκνώθη Λάϊος βίᾳ θεῶν,
Πόσιν τ' ἔφυσε μητρὶ μέλεον Οἰδίπουν·
Αἵ θ' αἱματωποὶ δεργμάτων διαφθοραὶ
Θεῶν σόφισμα κἀπίδειξις Ἑλλάδι.
Ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
Χρῄζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
Ἥμαρτον ἀμαθῶς· οὔτε γὰρ γέρα πατρὶ,
Οὔτ' ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
Ἐξηγρίωσαν· ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
Δεινὰς νοσῶν τε καὶ πρὸς ἠτιμασμένος.
Ἃ 'γὼ τι οὐ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη,
Ἐς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
Ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον·
Πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες,

---

τειδῶνος εἶναι υἱόν. 871. Κἀπίδειξις Ἑλλάδι] ἐκ γὰρ ἐπιπνοίας θείας φησὶ, Οἰδί-

αὐτὸς νικητὰς ἀποδείξας, τὸν χρυσοῦν τοῦτον στέφανον, ὃν ὁρᾷς ἔχοντά με, ὥσπερ ἀπαρχὰς τῶν λαφύρων ἐκομισάμην.

ΚΡ. Δέχομαι τοῦτ', ὦ γέρον, οἰωνὸν χ' ἡμῖν ἐσόμενον νίκης· ὁρᾷς γὰρ ὅπως ἐν μέσῳ Δαναϊδῶν βαίνομεν ὅπλων, καὶ μέγας ἐστὶν ὁ ἀγὼν τοῖς Θηβαίοις· ὁ μὲν οὖν Ἐτεοκλῆς, θέμενος τὰ ὅπλα, ἐξήει, πρὸς τὴν τῶν Μυκηναίων ἀντιπαραταξόμενος δύναμιν, κελεύσας με παρὰ σοῦ ἐκμαθεῖν ὅ,τι χρὴ δρῶντας, διασῶσαι τὴν πόλιν.

ΤΕ. Ὅσον μὲν Ἐτεοκλέους ἕνεκα εἶπον ἂν οὐδὲ γρῦ, ἀποκλείσας τὸ στόμα ὅλως· σοὶ δὲ χρήζοντι ἐξηγήσομαι εὖ μαλα τὸ θεοπρόπιον· ἴσθι τοίνυν τὴν γῆν τήνδε νοσοῦσαν πάλαι, ἐξ οὗ Οἰδίπους βίᾳ θεῶν Λαΐῳ γενόμενος, τῇ ἰδίᾳ μητρὶ ὡμίλησεν ὕστερον· ἥ τ' ἐκτύφλωσις αὐτῷ ἐπίνοια ἦν θεῶν, φοβερὸν τοῖς Ἕλλησιν ἅπασι τἀνόσιον ποιεῖν βουλομένων· ἃ συγκαλύψαι οἱ παῖδες τῷ χρόνῳ βουλόμενοι, ὅπως ἂν τὴν τῶν θεῶν διαφύγοιεν κρίσιν, ἐψεύσθησαν τῆς ἐλπίδος, πρὸς τὸν ἑαυτῶν ἀπεχθημένοι πατέρα· ἐπειδὴ γὰρ οὐχ ὅπως μηδὲν τῶν προσηκόντων ἐκ τῶν θυμάτων ἀπέδωκαν, ἀλλὰ καὶ προσκαθείρξαντες γέροντα δυστυχῆ, δεινὰς ἀρὰς ἐφ' ἑαυτοὺς παροξύναντες, ἐπεσπάσαντο, ἐφ' οἷς ἐγὼ τί οὐ δρῶν, τί οὐ λέγων, ἀπέχθημαι πρὸς αὐτούς· νῦν δ' αὐτοχειρίᾳ, ἴσθ' αὐτὸς, ἀλλήλους ἀποκτενοῦσι· καὶ τῶν ἄλλων πολλοὶ νεκροὶ ἐπὶ νεκροῖς

---

τ[ο]ος τετύφλωται, ἵνα γένηται παράδειγμα τῆς ἀνοσιουργίας πᾶσι τοῖς Ἕλλησι.

Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη,
Πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
Σύ τ' ὦ τάλαινα συγκατασκάπτῃ πόλις,
Εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τις πείσεται.
Ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
Μηδένα πολίτην, μηδ' ἄνακτ' εἶναι χθονὸς,
Ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
Ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
Μὶ ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
Ἀλλ' (οὐ γὰρ εἰπεῖν οὐδ' ἐμοὶ τόδ' ἀσφαλὲς,
Πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις,
Πόλει παρασχεῖν φάρμακον σωτηρίας)
Ἄπειμι, χαίρεθ'· εἷς γὰρ ὢν, πολλῶν μέτα
Τὸ μέλλον, εἰ χρὴ, πείσομαι· τί γὰρ πάθω;
ΚΡ. Ἐπίσχες αὐτοῦ, πρέσβυ.
ΤΕ. Μὴ 'πιλαμβάνου.
ΚΡ. Μεῖνον, τί φεύγεις μ';
ΤΕ. Ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ.
ΚΡ. Φράσον πολίταις καὶ πόλει σωτηρίαν.
ΤΕ. Βούλει σὺ μέντοι, κοὐχὶ βουλήσῃ τάχα.
ΚΡ. Καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;
ΤΕ. Θέλεις ἀκοῦσαι δῆτα, καὶ σπουδὴν ἔχεις;
ΚΡ. Ἐς γὰρ τί μ' ἄλλο δεῖ προθυμίαν ἔχειν;
ΤΕ. Κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
Πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
Ποῦ 'στιν Μενοικεὺς, ὅς με δεῦρ' ἐπήγαγεν;
ΚΡ. Ὅδ' οὐ μακρὰν ἄπεστι, πλησίον δέ σου.
ΤΕ. Ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
ΚΡ. Ἐμὸς πεφυκὼς παῖς, ἃ δεῖ, σιγήσεται.
ΤΕ. Βούλει παρόντος δῆτά σοι τούτου φράσω;

πεπτωκότες μαχόμενοι πρὸς Ἀργείους, πικρὸν πένθος τῇ τῶν Θηβαίων καταλείψουσι γῇ· σὺ δ᾽, ὦ τάλαινα πόλις, ὅσον οὔπω ἀνατραπήσῃ, εἰ μή τις τοῖς ἐμοῖς λόγοις πείσεται· ὤφειλες μὲν γὰρ μηδένα τὴν ἀρχὴν τῶν Οἰδίποδος παίδων, μήτε πολίτην, μήτ᾽ ἄνακτα ἔχειν, τούτους δὴ τοὺς κακοδαιμονίᾳ σε ἀνατρέψοντας· ἐπειδὴ δὲ νικᾷ τὸ κακὸν, μία ἔτι μηχανὴ σωτηρίας ὑπόλοιπος· ἀλλ᾽ ἄπειμι· ἐμοί τε γὰρ οὐκ ἀσφαλές ἐς᾽ εἰπεῖν, καὶ τοῖς δυνατοῖς πικρὸν τοιοῦτον φάρμακον προσενεγκεῖν νοσούσῃ πόλει. Ἄπειμι· χαίρετε· σὺν γὰρ τοῖς πολλοῖς κἀγὼ πείσομαι, ὅ,τι χρή· τί γὰρ καὶ πάθω;

ΚΡ. Ἐπίσχες, ὦ γέρον.

ΤΕ. Τί βουλόμενος ἐπιλαμβάνῃ μου;

ΚΡ. Μεῖνον μικρόν· τί γὰρ οὕτω με φεύγεις;

ΤΕ. Μὰ δί οὐκ ἐγὼ, ἀλλ᾽ ἡ τύχη.

ΚΡ. Λέγ᾽, ὦ βέλτιστε, ὅ,τι οἶσθα τῇ πόλει σωτήριον.

ΤΕ. Βούλει μὲν μαθεῖν· μαθὼν δὲ, ἕλοιο ἂν μὴ εἰδέναι.

ΚΡ. Πῶς οὐκ ἂν βουλοίμην τὴν ἐμαυτοῦ διασῶσαι πατρίδα;

ΤΕ. Σπεύδεις οὖν ἀκοῦσαι, οἷόν ἐστι τὸ πρᾶγμα;

ΚΡ. Τί γὰρ ἂν ἄλλο διαφέροι μοι, ἢ τοῦτ᾽ εἰδέναι;

ΤΕ. Καλῶς· ἀλλ᾽ εἰπέ μοι πρῶτον, ποῦ ἐστι Μενοικεὺς ὁ δεῦρο ἀγαγών με;

ΚΡ. Πάρεστιν οὗτος ὧδε.

ΤΕ. Μεταστήτω μικρὸν, ὧν μέλλω ἐρεῖν.

ΚΡ. Τί δή; παῖς γὰρ ἐμὸς ὢν, οὐδὲν ἐξοίσει τούτων.

ΤΕ. Βούλει κᾀυτὸν κοινὸν εἶναι τῶν θεσπισμάτων;

ΚΡ. Κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
ΤΕ. Ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδὸν,
Ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
Σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας
Σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
ΚΡ. Τί φής; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
ΤΕ. Ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
ΚΡ. Ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
ΤΕ. Σοί δ', ἀλλὰ πατρίδι Μεγάλα καὶ σωτήρια.
ΚΡ. Οὐκ ἔκλυον, οὐκ ἤκουσα· χαιρέτω πόλις.
ΤΕ. Ὡνὴρ ὅδ' οὐκ ἔθ' ωὑτὸς, ἐκνεύει πάλιν.
ΚΡ. Χαίρων ἴθ'· οὐ γὰρ σῶν με δεῖ μαντευμάτων.
ΤΕ. Ἀπόλωλεν ἡ 'λήθει', ἐπεὶ σὺ δυστυχεῖς;
ΚΡ. Ὦ πρὸς σὲ γονάτων καὶ γερασμίου τριχός —
ΤΕ. Τί προσπιτνεῖς με; δυσφύλακτ' αἰτῇ κακά.
ΚΡ. Σίγα. πόλει δὲ τούσδε μὴ λέξῃς λόγους.
ΤΕ. Ἀδικεῖν κελεύεις μ'; οὐ σιωπήσαιμεν ἄν.
ΚΡ. Τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
ΤΕ. Ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
ΚΡ. Ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
ΤΕ. Ὀρθῶς μ' ἐρωτᾷς, κεἰς ἀγῶν' ἔρχῃ λόγων.
Δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
Ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος,
Σφαγέντα, φόνιον αἷμα γῇ δοῦναι χοὰς,

---

913. Σφάξαι Μενοικέα] ἔδει γὰρ κατὰ τὸν χρησμὸν τῶν Σπαρτῶν ἕνα εἶναι τὸν σφαγησόμενον· τοιοῦτος δ' ὁ Μενοικεύς· οἱ γὰρ περιλειφθέντες τῶν Σπαρτῶν ἦσαν οὗτοι. Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ, καὶ Ἐχίων, ὃς ἔγημεν Ἀγαυὴν τὴν τοῦ Κάδμου, ἐξ ἧς Πενθέα γεννᾷ· οὗ

ΚΡ. Τί γὰρ κωλύει καὶ αὐτὸν συνησθῆναι τῆς σωτηρίας;

ΤΕ. Οὐκοῦν μίαν ὑμῖν ὁδὸν δείκνυμι, ἣν βαδίσαντες, σώσαιτ' ἂν τὴν πόλιν· ἐπειδὴ θέλεις εὐδοκιμεῖν ἐν τούτοις, σφάξαι σε δεῖ τὸν σαυτοῦ παῖδα τοῦτον.

ΚΡ. Εὐφήμει, ὦ γέρον· τίνα τοῦτον εἴρηκας λόγον;

ΤΕ. Οὕτως ἔχει, καὶ δεῖ σε πείθεσθαι τῇ ἀνάγκῃ·

ΚΡ. Ὦ μέγα κακὸν εἰπὼν ἐν βραχεῖ ἡμῖν χρόνῳ.

ΤΕ. Σοὶ δῆτα· ἀγαθὸν δὲ μέγιστον τῇ πόλει.

ΚΡ. Οὐδὲν ἤκουσ' ἀκούσας, οὐδ' οἶδα μαθών· χαιρέτω ἡ πόλις.

ΤΕ. Ὁρᾷς; μεταβαλὼν ὁ ἀνὴρ, ἐκφεύγει πάλιν.

ΚΡ. Ἴθι χαίρων· οὐκέτι δεῖ τῶν σῶν χρησμῶν τῇ πόλει.

ΤΕ. Ἀλλ' ἡ ἀλήθεια οὐκ ἂν ἀναιροῖτο διὰ τὴν δυστυχίαν.

ΚΡ. Ἀλλ' ὦ πρὸς τῶν σῶν γονάτων καὶ τῆς πολιᾶς.

ΤΕ. Μάτην ἱκετεύεις, τῆς τύχης ἀφεύκτου οὔσης.

ΚΡ. Σῖγ' ἔχε πρὸς θεοῦ, μηδὲν ἐκφέρων τούτων.

ΤΕ. Πῶς ἂν ἀδικά σοι κελεύοντι ὑπακούσαιμι;

ΚΡ. Τί δή; ἀνελεῖν μου τὸν παῖδ' ἐθέλεις;

ΤΕ. Ἄλλοις τὸ ἔργον· ἐμοὶ δ' ὁ λόγος μόνος.

ΚΡ. Ἀνθ' ὧν δ' ἐπὶ τὸν ἐμὸν τοῦθ' ἥκει παῖδα;

ΤΕ. Ὀρθῶς ταῦτ' ἀνακρίνεις· ἴσθι τοίνυν πολλὴν ἀνάγκην οὖσαν Μενοικέα ἀποθανεῖν, ἔνθ' ὁ δράκων ὁ γηγενὴς διαιτώμενος, ἐπεσκόπει τὸ ῥεῖθρον τῆς Δίρκης, τὸ ἑαυτοῦ αἷμα, οἷον χοὴν τῇ γῇ ἀποδόντα, μῆνιν τούτῳ

---

ὁ Κλάσας· οὗ Μενοικεύς· οὗ, Κρέων καὶ Ἰοκάστη· ὧν ἦν ὁ σφαγησόμενος Μενοικεύς. 923. Ὦ πρὸς σὲ γονάτων] τοιοῦτον καὶ τὸ κατωτέρω στίχ. 1692. 925. Ἐκ τοῦδε] ἐκ τίνος αἰτίας; 954. Ἀντὶ καρποῦ καρπόν.] ἀντὶ τῶν Σπαρ-

Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
Ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
Καὶ ταῦτα δρῶντες, σύμμαχον κτήσεσθ' Ἄρην.
Χθὼν δ' ἀντὶ καρποῦ καρπὸν, ἀντί θ' αἵματος
Αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
Γῆν, ἥ ποθ' ὑμῖν χρυσοπήλακα στάχυν
Σπαρτῶν ἀνῆκεν· ἐκ γένους δὲ δεῖ θανεῖν
Τοῦδ', ὃς δράκοντος γένυος ἐκπέφυκε παῖς.
Σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους
Ἀκέραιος, ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο,
Οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
Σφαγὰς ἀπείργουσ'· οὐ γάρ ἐστιν ἤθεος·
[Κεἰ μὴ γὰρ εὐνῆς ἥψατ'. ἀλλ' ἔχει λέχος.]
Οὗτος δὲ πῶλος. τῇδ' ἀνειμένος πόλει,
Θανὼν, πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
Πικρὸν Ἀδράστῳ νόστον Ἀργείοισί τε
Θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλὼν,
Κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
Τὸν ἕτερον· ἢ γὰρ παῖδα σῶσον, ἢ πόλιν.
Τὰ μὲν παρ' ἡμῶν πάντ' ἔχεις. ἡγοῦ, τέκνον,
Πρὸς οἶκον. ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
Μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
Πικρὸς καθέστηχ', οἷς ἂν οἰωνοσκοπῇ·
Ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
Ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
Χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
ΧΟ. Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
Κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.

---

τῶν Σπαρτῶν· Μενοικεὺς γὰρ ἐκ τῶν Σπαρτῶν κατάγεται· ὅ ἐστι καρπὸς τῆς

ἀρχαίαν τῷ Ἄρει, ἐφ' οἷς Κάδμος ἀνεῖλε τὸ θηρίον, ἀφοσιούμενον· τούτου γὰρ γενομένου, σύμμαχον ἕξετ' Ἄρην· ἥτε γῆ ἥδε ἡ πάνοπλόν ποθ' ὑμῖν ἀναβλαστήσασα στάχυν, ἣν καρπὸν μὲν ἀντὶ καρποῦ, αἷμα δὲ ἀνθ' αἵματος ἀνθρώπειον δέξηται, εὐμενὴς ὑμῖν ἔσται· δεῖ δὲ τὸν τεθνηξόμενον ἐκ τῶν τοῦ δράκοντος ὀδόντων τὸ γένος ἕλκειν: ὅπερ εἰς σὲ μόνον ἥκει· σὺ γὰρ καὶ οἱ σοὶ παῖδες μόνοι ἐξ ἀμφοτέρου τοῦ γένους ὑπόλοιποι τῶν Σπαρτῶν· Τούτων οὖν ὁ μὲν Αἵμων, ὡς μεμνηστευμένος γυναῖκα, καίτοι οὔπω ὡμίλησε γάμῳ, ἀλλ' οὐκ ἂν εἴη παρθένος, καὶ διὰ ταῦτ' ἀπείργεται τῆς θυσίας· οὗτος δ' ὁ νέος σώσειεν ἂν τὴν πόλιν σφαγιασθεὶς, πικρὰν μὲν Ἀδράστῳ καὶ τοῖς ἄλλοις Ἀργείοις ποιήσας τὴν ἀναχώρησιν, μέγα δὲ κλέος Θήβαις προσθείς. Ἑλοῦ τοίνυν τοῖν δυοῖν ὁπότερον βούλει, ἤτοι τὸν παῖδα, ἢ τὴν πατρίδα σῶσαι· ταῦτα μὲν τὰ παρ' ἐμοῦ. Σὺ δ', ὦ τέκνον, Μαντὼ, δεῦρ' ἡγοῦ μοι οἴκαδε· ὡς γὰρ δυστυχής ἐστι πᾶς, ὅστις τῇ μαντικῇ χρῆται τέχνῃ· ἢν μὲν γὰρ μὴ φίλα σημείνας τύχῃ, ἐπαχθὴς ἔσται, οἷς ἂν οἰωνοσκοπῇ· ψευδῆ δ' αὖ δι' οἶκτον εἰπὼν, φθερεῖ τὰ θεῶν. Φοῖβον οὖν μόνον ἔδει χρησμοδοτεῖν, ὃς δέδιεν οὐδέν' οὐδαμοῦ.

ΧΟ. Κρέον, ὁρῶ σε ἄφωνον ἐπὶ τοῖς εἰρημένοις γεγενημένον· φεῦ, κἀμὲ γὰρ ἡ αὐτὴ ἔχει ἔκπληξις.

---

γῆς καὶ αὐτός· ὅ ἐστιν ἄσταχυς χρυσοπήληξ. 943. Ἀκέραιος] γνήσιος, ἐξ ἀμφοτέρου γένους. 647. Ἀνειμένος] δοθεὶς, ἀφοσιωθεὶς τῇ πόλει. 650. Μέλαιναν κῆρ' ἐπ' ὄμμασι βαλὼν] πότερον, αὐτὸς ὁ Μενοικεὺς, ἀποθανὼν, τοῦτο πράξει, ἢ τῶν Ἀργείων πολλοὺς ἀνελὼν τῷ οἰκείῳ θανάτῳ; τὸ πρῶτον ἔοικε 959. Γῆρυν ἄφθογγον σχάσας] καταπαύσας, τὴν φωνὴν ἄφωνον ποιήσας. εἰ μήτι τὸ ἄφθογγον ἐξείληπται ἀντὶ τοῦ πολύφθογγον· ἵνα ᾖ, τὴν πολύφθογ-

ΚΡ. Τί δ' ἄντις εἴποι; δῆλον οἵ γ' ἐμοὶ λόγοι.
Ἐγὼ γὰρ οὔποτ' ἐς τόδ' εἶμι συμφορᾶς,
Ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
Πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,
Οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
Μή μ' εὐλογείτω· τἀμά τις κτείνων τέκνα.
Αὐτὸς δ', (ἐν ὡραίῳ γὰρ ἕσταμεν βίῳ,)
Θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον.
Ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
Ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
Φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·
Λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
Πύλας ἐφ' ἑπτὰ καὶ Λοχαγέτας μολών·
Κἂν μὲν φθάσωμεν, ἐστί σοι σωτηρία·
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ·
ΜΕ. Ποῖ δῆτα φεύγω; τίνα πόλιν; τίνα ξένων;
ΚΡ. Ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσῃ.
ΜΕ. Οὐκοῦν σὲ φράζειν εἰκὸς, ἐκπονεῖν δ' ἐμέ.
ΚΡ. Δελφοὺς περάσας —
ΜΕ. Ποῖ με χρὴ, πάτερ, μολεῖν;
ΚΡ. Αἰτωλίδ' ἐς γῆν.
ΜΕ. Ἐκ δὲ τῆσδε ποῖ περῶ;
ΚΡ. Θεσπρωτὸν οὖδας.
ΜΕ. Σεμνὰ Δωδώνης βάθρα;
ΚΡ. Ἔγνως.
ΜΕ. Τί δῆτα ῥῦμά μοι γενήσεται;

-ρον φωνὴν καταπαύσας. 963. Ἐς τοῦδε συμφορᾶς] εἰς τοιαύτην μωρίαν· φρε-νοβλάβειαν. 967. Μή μ' εὐλογείτω] μηδεὶς σὺν ἐπαίνῳ κινείτω με παραδοῦ-

ΚΡ. Τί ἄν τις εἴποι; δῆλον δὲ, κἂν μὴ λέγω· οὔπω γὰρ ἐς τοῦτ' ἐλήλυθα συμφορᾶς, ὥςε προέσθαι τὸν παῖδα τῇ πόλει γενέσθαι θῦμα· φιλότεκνον γὰρ πᾶν τὸ ἀνθρώπινον, καὶ οὐκ ἄν τις ἑκὼν τὸν ἑαυτοῦ παῖδα δοίη θανεῖν· μηδεὶς δ' ἐπαίνοις μοι παραινείτω τὰ ἐμαυτοῦ τέκνα ἑκόντα προέσθαι· ὅσον δ' ἐμαυτοῦ ἕνεκα, ἐν τούτῳ τῆς ἡλικίας ἤδη καθεςηκὼς, ἕτοιμος ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν· Ἀλλὰ σύγ', ὦ τέκνον, ἔξιθι πρὶν ἔκπυςα τῇ πόλει γένηται ταῦτα, ἐάσας χαίρειν τὰ σκληρὰ τῶν μάντεων τοῦτα χρησμολογήματα· φεῦγ' ἀνύττων ἐκ τῆςδε τῆς γῆς, πρὶν ἂν ἐκεῖνος παρὰ τὸ τεῖχος ἐλθὼν, ἐξείπῃ ταῦτα τοῖς ςρατηγοῖς· καὶ εἰ μὲν φθάσαιμεν, ἔςαι σοὶ σωτηρία· ἢν δ' ὑςερήσῃς, ἀποθανῇ, ἀπολούμεθα.

ΜΕ. Ποῖ δή σοι φύγω, πάτερ; πρὸς τίνα πόλιν, ἢ ξένον;

ΚΡ. Ὅπου σὺ τῶν τῆδ' ἐκποδὼν μάλιςʼ ἔσῃ.

ΜΕ. Σὸν τοῦτο διδάσκειν· ἐμοῦ δ' ὑπακοῦσαι.

ΚΡ. Φεῦγε, Δελφοὺς ὑπερβαλὼν τὴν ταχίςην.

ΜΕ. Ἐκεῖθεν δὲ ποῖ τράπωμαι περαιτέρω;

ΚΡ. Εἰ τὴν τῶν Αἰτωλῶν ἔπειτα.

ΜΕ. Ἀπὸ δὴ τούτων ποῖ δὴ κελεύεις;

ΚΡ. Εἰς τὴν τῶν Θεσπρωτῶν.

ΜΕ. Παρὰ τὴν Δωδώνην φής;

ΚΡ. Πάντως· αὐτόθεν δὲ ἔγνως τοῦτο.

ΜΕ. Τίς δέ μοι πρὸς ταῦτ' ἀσφάλεια ἔςαι;

---

ναι τὸν παῖδα σφαγῇ· μάταιος γὰρ ἔςαι αὐτῷ ὁ ἔπαινος καὶ ἡ εὐλογία· ὅσον γ' ἐμαυτοῦ ἕνεκα; ἕτοιμος ἀποθνήσκειν, ὥριμος ἤδη καὶ γέρων γενόμενος. 971 Ἀκόλαστα] σκληρὰ, φονικὰ, τολμηρὰ, ἀβασάνιστα. 983. Ῥῦμα] ἀσφάλεια,

ΚΡ. Πόμπιμος ὁ δαίμων.
ΜΕ. Χρημάτων δὲ τίς πόρος;
ΚΡ. Ἐγὼ πορεύσω χρυσόν.
ΜΕ. Εὖ λέγεις, πάτερ.
Χώρει νυν· ὡς σὴν πρὸς κασιγνήτην μολὼν,
Ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,
Μητρὸς στερηθεὶς, ὀρφανὸς τ' ἀποζυγεὶς,
Προσηγορήσων εἶμι, καὶ σώσω βίον.
Ἀλλ' εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.
Γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
Κλέψας λόγοισιν, ὥσθ' ἃ βούλομαι τυχεῖν.
Ὃς μ' ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,
Καὶ δειλίᾳ δίδωσι· καὶ συγγνωστὰ μὲν
Γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,
Προδότην γενέσθαι πατρίδος, ἥ μ' ἐγείνατο.
Ὡς οὖν ἂν εἰδῆτ', εἶμι καὶ σώσω πόλιν,
Ψυχήν τε δώσω τῆσδ' ὑπερθανεῖν χθονός.
Αἰσχρὸν γὰρ, οἱ μὲν θεσφάτων ἐλεύθεροι,
Κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,
Στάντες παρ' ἀσπίδ', οὐκ ὀκνήσουσιν θανεῖν,
Πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ.
Ἐγὼ δὲ, πατέρα καὶ κασίγνητον προδοὺς
Πόλιν τ' ἐμαυτοῦ, δειλὸς ὡς, ἔξω χθονὸς
Ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.
Μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρην τε φοίνιον,

φυλακὴ καθ' ὁδόν. 986. Ὡς σὴν πρὸς] ἢ τὸ ὡς. ἢ τὸ Πρὸς παρέλκει. ἢ ἐκληφθήτω τὸ Ὡς ἀντὶ τοῦ, Ὅτι 1006. Μὰ τον μετ' ἄστρων Ζῆνα] τὸν ἐν τοῖς ἄ-

ΚΡ. Θεὸς αὐτὸς ἔςαι ἡγεμών σοι πρὸς πάντα.

ΜΕ. Ἐφόδιον δὲ πρὸς ταῦτα πόθεν μοι ἔςαι;

ΚΡ. Ἔςαι σοι δῆτα χρυσὸς παρ' ἐμοῦ.

ΜΕ. Εὖ ἔχει· νῦν δὲ ἴθι, ὦ πάτερ· ἐγὼ δὲ εἶμι προσαγορεύσων τὴν σὴν ἀδελφὴν Ἰοκάςην· ἧς πρῶτον, ἀποθανούσης μοι τῆς μητρὸς, εἵλκυσα τὸν μαςόν· εἶτ' οὕτω σπεύσω πρὸς σωτηρίαν· ἀλλὰ χώρει αὐτὸς, μηδὲν πρὸς σοῦ γιγνέσθω μοι κώλυμα. Γυναῖκες, (μέτεισι γὰρ πρὸς ὑμᾶς νῦν ὁ λόγος) ἐξελὼν ἤδη τὸν φόβον τοῦ πατρὸς, δεξιοῖς χρησάμενος λόγοις, ῥᾷς' ἂν νῦν τύχοιμι, οὗ ἐφίεμαι· οὗτος μὲν γὰρ ἀποδειλιάσας πρὸς τὸν θάνατον, ἣ συμβαίνει πατρὶ φιλοςόργῳ, ἀποπέμπει με τῶν τῇδε, ἀποςερῶν τὴν πόλιν τῆς παρὰ τῶν θεῶν σωτηρίας· ἐγὼ δ' ὅμως οὐκ ἂν ἑλοίμην προδότης τῆς πατρίδος γενέσθαι· οὐδ' οἶδ' ὅπως συγγνωςά μοι ἂν εἴη ταῦτα· ἵν' οὖν μὴ λόγους λέγω, ἀλλὰ δείξω ὑμῖν καὶ τοὔργον, εἶμι, ὑπὲρ τῆς πόλεως ἀποθανούμενος τῆςδε· αἰσχρὸν γὰρ, οὓς μὲν οὐδεὶς χρησμὸς ἀναγκάζει, τούτους καταφρονεῖν τοῦ βίου, τῆς πατρίδος προμαχομένους· ἐμὲ δ' ὡς πορρωτάτω αὐτῆς μεταςῆναι, πατέρα τ' αὐτὸν, καὶ ἀδελφὸν, καὶ πόλιν ὅλην ἐκ δειλίας προδόντα· ποῦ γάρ μοι ἔςαι ζῆν, ὅπου κακὸς οὐ φανοῦμαι; οὐ μὰ τὸν Δία τὸν ἐν ἄςροις ἀνάσσοντα, τόντε φόνιον Ἄρην, ὃς Σπαρτοὺς

στροις βασιλεύοντα· εἰ μὴ τὸν ἥλιον αὐτὸν παρονόμαςε Ζῆνα, ὡς ἔξοχον τῶν ἄστρων. τὸ δὲ Μὰ συνεισάγει τὴν ἄρνησιν Οὐ· τὰ γὰρ ὀμοτικὰ τὸ μὲν Νὴ Δία, καὶ Ναὶ μὰ τὸν Δία κατωμοτικά εἰσι· τὸ δὲ Μὰ τὸν Δία, καὶ Οὐ μὰ τὸν



ΔΗΜΟΚΡ... ΔΗΜΟΤΙΚΗ

Ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
Σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
Ἀλλ' εἶμι καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων,
Σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
Δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
Ἐλευθερώσω γαῖαν. εἴρηται λόγος.
Στείχω δὲ, θανάτῳ δῶρον οὐκ αἰσχρὸν πόλει
Δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα·
Εἰ γὰρ λαβὼν ἕκαστος ὅ, τι δύναιτό τις
Χρηστὸν, διέλθοι τοῦτο, κεἰς κοινὸν φέροι
Πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
Πειρώμεναι, τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

ΧΟ. Ἔβας, Ἔβας, ὦ πτεροῦσα, γᾶς λόχευμα (Στρ.)
Νερτέρου τ' Ἐχίδνας,
Καδμείων ἁρπαγά,
Πολύστονος, πολύφθορος,
Μιξοπάρθενον δάϊον τέρας,
Φοιτάσι πτεροῖς,
Χαλαῖσί τ' ὠμοσίτοις·
Διρκέων ἅ ποτ' ἐκ
Τόπων νέους πεδαίρουσ'
Ἄλυρον ἀμφὶ μοῦσαν
Ὀλομέναν τ' Ἐριννὺν
Ἔφερες, ἔφερες, ἄχεα πατρίδι
Φόνια· φόνιος ἐκ θεῶν,
ὃς τάδ' ἦν ὁ πράξας.
Ἰάλεμοι δὲ ματέρων,
Ἰάλεμοι δὲ παρθένων
Ἐστέναζον οἴκοις·
Ἰήϊον βοὰν βοὰν,

τοὺς ἐκ τῆσδε τῆς γῆς ὑπερτείλαντας, αὐτῆς ἄρχειν ἔταξεν, οὐκ ἀποδειλιάσω· ἀλλ' ἀναβὰς εἰς ἄκρας ἐπάλξεις παρὰ τὸν δρακόντειον φωλεὸν κατὰ τὸ τοῦ μάντεως θέσφατον, σφάξας ἐμαυτὸν, σώσω τὴν πατρίδα· δέδοκται, εἴρηται· τὸ δ' αἷμα τοὐμὸν ἔστω δῶρον τιμαλφὲς ἐκ θανάτου προσφερόμενον τῇ πατρίδι πρὸς σωτηρίαν· εἰ γὰρ ἕκαστος τῶν πολιτῶν χρῷτο, ὅτῳ ἂν συντελοίη πρὸς τὰ κοινὰ, ἀπ' ἐλαττόνων ἂν αἱ πόλεις ὁρμώμεναι συμφορῶν, εὐτυχοῖεν.

ΧΟ. Ὦ Σφὶγξ, τέκνον πτεροτρόφον τῆς γῆς καὶ τῆς καταχθονίου Ἐχίδνης, ἁρπαγὴ τῶν Καδμείων, ἦλθες, ἦλθες πολύφθορος, πολύστονος, μιξοπάρθενος, τέρας φοβερὸν ἐν πτεροῖς μαινομένοις, ἐν χηλαῖς ὠμοφάγοις· ἥτις αἴρουσα τοὺς νέους ποτὲ ἀπὸ τῶν περὶ τὴν Δίρκην χωρίων ὑπὸ μοῦσαν παράμουσον, ὑπὸ Ἐριννῦν ὀλουμένην, μέγα τῇ πατρίδι ἐπήνεγκας πένθος· ὡς φόνιος, ὃς τῶν θεῶν αἴτιός ἐστι τούτων· θρῆνος γυναικῶν, θρῆνος τῶν παρθένων, βοὴν θρηνιτικὴν, καὶ μέλος κλαυθμηρὸν προϊε-

---

λία, ἀπωμοτικά. 1008. Ἄνακτας] οὐ βασιλεῖς, ἀλλὰ πλουσίους καὶ εὐγενεῖς· ἄνακτες γὰρ κυρίως οἱ ἐκ τοῦ Κάδμου, Πολύδωρος, Λάβδακος, Λάϊος, Οἰδίπους, καὶ οἱ παῖδες αὐτοῦ. 1011. Ἔνθ' ὁ μάντις ἐξηγήσατο] ἀνωτέρω στίχ. 931. 1024. Φοιτάσι πτεροῖς] βακχικοῖς, μαινομένοις πτεροῖς· ἡ δὲ κλίσις ὁ φοιτὰς τοῦ φοιτάδος, καὶ θηλυκῶς ὁμοίως κατὰ τὸ, ὁ καὶ ἡ ἐθὰς, ἐθάδος· ἀλλ' ἐνταῦθα καὶ οὐδετέρως, ὅσον ἐκ τοῦ οὐσιαστικοῦ πτερόν ἐστιν εἰκάσαι, δοκεῖ ἐσχηματίσθαι. 1028. Ἄλυρον μοῦσαν] θρῆνον, ἐν ᾧ λύρα οὐκ ἀνακρούεται διὰ μούσης κακομούσου· τὸ δὲ Ἰάλεμος, καὶ ἰαῖος φωναί εἰσι κλαυθμηραὶ

Ἰήϊον μέλος μέλος
Ἄλλος ἄλλ᾽ ἐπωτότυζε διαδοχαῖς ἀνὰ πτόλιν.
Βροντᾷ δὲ στεναγμὸς,
Ἰαχά τ᾽ ἦν ὅμοιος,
Ὁπότε πόλεος ἀφανίσει
Ἁ πτεροῦσσα παρθένος τιν᾽ ἀνδρῶν.
Χρόνῳ δ᾽ ἔβα Πυθίαις ἀποστολαῖσιν (Ἀντ.)
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν
Τότ᾽ ἀσμένοις, πάλιν δ᾽ ἄχη·
Ματρὶ γὰρ γάμους δυσγάμους τάλας
Καλλίνικος ὢν
Αἰνιγμάτων ξυνάπτει,
Μιαίνει δὲ πτόλιν·
Δι᾽ αἱμάτων δ᾽ ἀμείβει
Μυσαρὸν εἰς ἀγῶνα
Καταβαλὼν ἀραῖσι
Τέκεα μέλεος· ἀγάμεθ᾽ ἀγάμεθ᾽,
Ὃς ἐπὶ θάνατον οἴχεται
Γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
Τὰ δ᾽ ἑπτάπυργα κλῇθρα γᾶς
Καλλίνικα θήσων.
Γενοίμεθ᾽ ὧδε ματέρες,
Γενοίμεθ᾽ εὔτεκνοι, φίλα
Παλλὰς, ἃ δράκοντος αἷμα λιθόβολον κατείργασαι,
Καδμείαν μέριμναν
Ὁρμήσασ᾽ ἐπ᾽ ἔργον,
Ὅθεν ἐπέσυτο τάνδε γᾶν
Ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

μένων οἴκοι. ἄλλος ἐπ᾽ ἄλλῳ τῶν πολιτῶν ἐθρήνει· ὁ δὲ στεναγμὸς καὶ ἡ βοὴ ὅμοιος ἦν βροντῇ διὰ πάσης διηκούσῃ τῆς πόλεως, ὁπόθ᾽ ἡ πτερόεσσα ἐκείνη παρθένος ἀναρπάσειέ τινα τῶν πολιτῶν.

Χρόνῳ δ᾽ ὕστερον ἦλθεν Οἰδίπους Θήβαζε, ὑπὸ τοῦ Φοίβου ἀποσταλεὶς ὁ δύστηνος Θηβαίοις, ἀσμένοις μὲν αὐτοῖς τὸ πρῶτον φανεὶς, ὑστέρῳ δὲ χρόνῳ λυπηρὸς γεγεννημένος· γάμους γὰρ ἀγάμους τῇ ἑαυτοῦ μητρὶ συναρμόζει ὁ δείλαιος, ἐξ οὗ ἡ πόλις μιαίνεται ἅπασα, καὶ τοὺς παῖδας, ἀραῖς καθυποβαλὼν ἀνοσίοις, εἰς ἀγῶνα φονικὸν ἐπ᾽ ἀλλήλους ἐμβάλλει. Ἀλλὰ νῦν γ᾽ ἀγάμεθ᾽, ὡς μάλιστ᾽ ἀγάμεθα τουτονὶ, ὃς ἀρτίως ᾤχετο, ὑπὲρ τῆς πατρίδος ἀποθανούμενος, πένθος μὲν καὶ πόθον Κρέοντι καταλιπὼν τῷ πατρὶ, κλέος δὲ καὶ νίκην ταῖς ἑπταπύλοις Θήβαις. Εἴη δὲ καὶ ἡμῖν τοιούτων τέκνων μητέρας γενέσθαι· γένοιθ᾽ ἡμῖν, ὦ φίλη Παλλὰς, ἥτις κατειργάσω τὸν δράκοντα, Κάδμον ἐπ᾽ αὐτὸν ἐξορμήσασα· ἐξ οὗ ἡ τῶν θεῶν ὀργὴ ἐνεφύη τῇ πόλει ταύτῃ.

---

καὶ θρηνιτικαί· ὁμοίως καὶ τὸ ἐπωτότυζεν ἐκ τοῦ ὀττοτοί. 1043. Ἀποσταλεῖσι] Οἰδίποδα γὰρ ἐλθόντα εἰς Δελφοὺς πευσόμενον περὶ τῶν τοκέων, ἀπέπεμψεν ἡ Πυθία, εἰποῦσα, ὡς ἀποκτενεῖ τὸν πατέρα, καὶ τὴν μητέρα γαμήσει· διὰ τοῦτο τὴν ἐπὶ Θήβας ἐτράπετο, οὐκ ἐπὶ Κόρινθον. 1046. Τότ᾽ ἀσμένοις] τοῖς Θηβαίοις· ὕστερον δὲ βαρὺς, ἐκκαλυφθέντος τοῦ ἀνοσιουργήματος. 1051. Δὶ αἱμάτων δ᾽ ἀμείβει.] καταρασάμενος γὰρ τοὺς παῖδας, ἀναγκάζει αὐτοὺς ἀμειβαίως σφαγῆναι· τὸ δὲ Ἀγάμεθα διασευόμενον, ἐνθουσιασμὸν ἔχει πρὸς τὴν ἀρετὴν Μενοικέως. 1062. Δράκοντος] Ἀθηνᾶς γὰρ βουλῇ Κάδμος ἐνεῖλε τὸν δράκοντα, ὡς κἀκ τῶν ἀνωτέρω. 666. διὸ καὶ ναὸν ἱδρυσάμενος αὐτῇ, Ὄγκαν προσηγόρευσε τῇ τῶν Φοινίκων φωνῇ, ἐπιγράψας ἐπὶ τοῦ ἱεροῦ.

» Ὄγκας νηὸς ὅδ᾽ ἐστὶν Ἀθηνᾶς, ὅν ποτε Κάδμος
» Εἵσατο, βοῦν θ᾽ ἱέρευσεν, ὅτ᾽ ἔκτισεν ἄστυ τὸ Θήβας.

1063. Καδμείαν μέριμναν] Κάδμον τὸν μεριμνῶντα Θηβαίων.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΑΓΓΕΛΟΣ, ΙΟΚΑΣΤΗ, ΧΟΡΟΣ, ΑΝΤΙΓΟΝΗ.

ΑΓ. Ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
Ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
Ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μὲν, ἀλλ' ὅμως
Ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
Λήξασ' ὀδυρμῶν πενθίμων τε δακρύων.
ΙΟ. Ὦ φίλτατ', ἤ που ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα·
Βέβηκας ἀεὶ, πολεμίων εἴργων βέλη;
Τί μοι πόθ' ἥκεις καινὸν ἀγγελῶν ἔπος;
Τέθνηκεν, ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
ΑΓ. Ζῇ, (μὴ τρέσῃς τόδ',) ὥς σ' ἀπαλλάξω φόβου
ΙΟ. Τί δ', ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
ΑΓ. Ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
ΙΟ. Ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;
ΑΓ. Ἀκμήν γ' ἐπ' αὐτήν· ἀλλ' ὁ Καδμείων Ἄρης
Κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
ΙΟ. Ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
Οἶσθ'· ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
ΑΓ. Ζῇ σοι ξυνωρὶς ἐς τόδ' ἡμέρας τέκνων.
ΙΟ. Εὐδαιμονίης· πῶς δ' Ἀργείων δόρυ
Πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
Λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
Ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωσμένης.
ΑΓ. Ἐπεὶ Κρέοντος παῖς, ὁ γῆς ὑπερθανὼν,
Πύργων ἐπ' ἄκρων στὰς μελάνδετον ξίφος
Λαιμῶν διῆκε τῇδε γῇ σωτήριον,

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΑΓΓΕΛΟΣ, ΙΟΚΑΣΤΗ, ΧΟΡΟΣ, ΑΝΤΙΓΟΝΗ.

ΑΓ. Ὠὴ, τίς ἐστιν ἔνδον; ἀνοίξατ', ἐξαγάγετε Ἰοκάστην· ἢ οὐκ ἀκούει τις; ἔξελθ', ὦ κλεινὴ γυνὴ τοῦ Οἰδίποδος, ἄκουσον, παυσαμένη τῶν ὀδυρμῶν καὶ δακρύων.

ΙΟ. Ὦ φίλτατε, τί ποθ' ἧκες ἀγγελῶν, μήτι τέθνηκεν Ἐτεοκλῆς, ᾧ τυγχάνεις αὐτὸς ἀεὶ προασπίζων; τί ποθ' ἧκες ἐρῶν; πότερον τέθνηκεν, ἢ ἔτι ζῇ παῖς οὑμός; τοῦτο λέγε μοι πρῶτον.

ΑΓ. Ζῇ ἐκεῖνος, καὶ ἀπαλλάτου τοῦ φόβου τούτου.

ΙΟ. Τί δέ; τὰ τείχη ἡμῶν διασώζεται ἔτι;

ΑΓ. Ταῦτά τε ἀνεπίβατα μένει, καὶ ἡ πόλις σοὶ ἄνευ κινδύνου.

ΙΟ. Θηβαῖοι δὲ ἦλθον εἰς χεῖρας πρὸς τοὺς Ἀργείους;

ΑΓ. Ἐῤῥωμένως γ' ἑκατέρωθεν· ἀλλ' οἱ Θηβαῖοι ἐγένοντο κρείττους τῶν πολεμίων.

ΙΟ. Εἰπέ μοι πρὸς θεοῦ, Πολυνείκης ζῇ· μέλει μοι γὰρ καὶ τούτου.

ΑΓ. Μάλιστα, ἄμφω οἱ παῖδες ἐς δεῦρο ζῶσι.

ΙΟ. Ὦ φίλταθ', ὡς εὐδαιμονοίης· ἀλλὰ πῶς ποτε τυχηρεῖς ὄντες, ἀπεκρούσασθε τῶν πυλῶν τοὺς ἐχθρούς; σήμανόν μοι καὶ τοῦτο, ἵν' ἐλθοῦσα τέρψω καὶ γέροντα ἔνδον, ὡς τῆς πόλεως σεσωσμένης.

ΑΓ. Ἐπειδὴ ὁ τοῦ Κρέοντος, θῦμα γενόμενος τῇ πατρίδι, διήλασε δι' ἑαυτοῦ τὸ ξίφος εἰς σωτηρίαν τῆς πόλεως,

Λόχους ἔνειμεν ἑπτὰ καὶ λοχαγέτας
Πύλας ἐφ' ἑπτὰ, φύλακας Ἀργείου δορὸς
Σὸς παῖς, ἐφέδρους δ' ἱππότας μὲν ἱππόταις
Ἔταξ', ὁπλίτας δ' ἀσπιδηφόροις ἔπι,
Ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
Ἀλκὴ δι' ὀλίγου· περγάμων δ' ἀπ' ὀρθίων
Λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα· καὶ τάφρου πέλας
Δρόμῳ ξυνῆψεν ἄστυ Καδμείας χθονός.
Παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
Ἐκεῖθεν ἔκ τε τειχέων ἡμῶν πάρα.
Καὶ πρῶτα μὲν προσῆγε Νηΐταις πύλαις
Λόχον πυκναῖσιν ἀσπίσιν πεφρικότα
Ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
Ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
Ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
Χειρουμένην Αἰτωλόν· ἐς δὲ Προιτίδας
Πύλας ἐχώρει σφάγι' ἔχων ἐφ' ἅρμασιν
Ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ' ἔχων
Ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' ἐς πυλώμαθ' Ἱππομέδων ἄναξ
Ἔστειχ', ἔχων σημεῖον ἐν μέσῳ σάκει,
Στικτοῖς πανόπτην ὄμμασιν δεδορκότα,

---

1091. Μελάνδετον] μέλαιναν λαβὴν ἔχον, ἢ κερατίνην, ἢ σιδηρᾶν. 1095. Ἐφέδρους ἀνταγωνιστάς· ἔφεδρος δὲ κυρίως ὁ ὄπισθεν τῶν μαχομένων ἱστάμενος, ἵνα νικηθέντος τοῦ προμαχομένου, αὐτὸς ἀναδέξηται τὸν ἀγῶνα· καὶ τὸ ἐφεστὼς τοῦ στρατεύματος πρὸς τὸ δι' ὀλίγου βοηθεῖν τῷ πεπονημένῳ. ὁ δὲ Τευμησὸς, ἢ Τελμησὸς τόπος ἐστὶν ὀρεινὸς ἑκατὸν σταδίους ἀπέχων τῶν Θηβῶν. 1106.

τόθ' ὁ σὸς παῖς λόχους καταχωρίσας ἑπτὰ ἀν' ἑκάστους, ἐπέστησεν αὐτοῖς λοχαγοὺς, ἀμυνουμένους ἐφ' ἑκάστων τῶν πυλῶν· ἐπὶ δὲ τούτοις ἐπέταξεν ἐφέδρους, ἱππέας μὲν ἱππεῦσιν, ὁπλίτας δὲ ὁπλίταις, ἵν' εἴπου ἐπίβασις γένοιτο ἐς τὸ τεῖχος, ἐξ ὀλίγου ἐπιβοήθεια εἴη· ἐν δὲ τούτῳ ὁρῶμεν ἀπὸ τῶν τειχῶν τὸν ὁπλοφόρον τῶν Ἀργείων στρατὸν, δρόμῳ ἀπὸ τοῦ Τευμησοῦ συμμίξαντα τῷ τείχει πρὸς τῇ τάφρῳ· ἐκ δὲ τούτου παιὰν καὶ σάλπιγγες ἠκούοντο ἑκατέρωθεν ἠχοῦσαι τὸ πολεμικόν· Πρῶτος οὖν Παρθενοπαῖος ὁ τῆς κυνηγοῦ πρὸς τὰς Νηΐτας τῶν πυλῶν προσῆγε τὸν λόχον, τῇ τῶν ἀσπίδων πυκνότητι πεφρικότα, σημεῖον ἔχων ἐπὶ τῆς ἀσπίδος Ἀταλάντην, μακρῷ τόξῳ καταβάλλουσαν κάπρον τὸν τῶν Αἰτωλῶν. Πρὸς δ' αὖ τὰς Προιτίδας, ὁ μάντις Ἀμφιάραος μετὰ ἱερείων ἐχώρει, μηδὲν ἐπὶ τῆς ἀσπίδος φέρων σημεῖον ἀλαζονικὸν, ἀλλ' ἁπλῶς καὶ σωφρόνως περιπεφραγμένος τοῖς ὅπλοις. Πρὸς δὲ τὰς Ὠγυγίας αὖθις Ἱππομέδων ὁ ἄναξ ἐπῆγε τὸν λόχον, ἔχων καὶ οὗτος ἐπὶ τῆς ἀσπίδος Ἄργον τὸν πανόπτην, πολλοῖς καὶ γοργοῖς ἐμβλέποντα ὄμμασι· τοῖς μὲν, ἅμα ἐπι-

---

Ὁ τῆς κυνηγοῦ] ἴδε ἀνωτέρω στίχ. 152. καὶ ἑξῆς· Κάπρος δ' Αἰτωλός ἐστιν ὃν Ἄρτεμις ἐφῆκεν Αἰτωλοῖς, ὀργισθεῖσα Οἰνεῖ, θύσαντι μὲν τοῖς ἄλλοις θεοῖς, αὐτῇ δὲ οὔ· ἀνεῖλε δ' αὐτὸν Μελέαγρος ὕστερον. 1109. Προιτίδας] ἐκ τοῦ Προίτου· ὃς ἐκβληθεὶς ὑπ' Ἀκρισίου, ᾤκησε πλησίον τούτων τῶν πυλῶν· ἐξ οὗ ἡ ἐπίκλησις. 1111. Σημεῖα ὑβρισμένα] ὑπερήφανα, ἀλαζονικά· ἀλλ' ἄσημα καὶ ἁπλᾶ· Ὠγύγια δὲ, τὰ πρὸς τῷ τοῦ Ὠγύγου τάφῳ ὄντα. 1115. Πανόπτην] Ἄργος οὗτος ὁ πολυόμματος κύων ὁ τὴν Ἰὼ παραφυλάττων, ὑπὸ τῆς Ἥρας τεταγμένος· Ἑρμῆς δὲ, Διὸς πέμψαντος, ἀνεῖλεν αὐτόν· ἡ δὲ Ἥρα ἐλεή-

Τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
Βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
Ὡς ὕστερον θανόντος εἰσορᾷν παρῆν.
Ὁμολωΐσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεὺς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδος
Χαίτῃ πεφρικός· δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν ὥς, πρήσων πόλιν.
Ὁ σὸς, δὲ Κρηναίαισι Πολυνείκης πύλαις
Ἄρην προσῆγε· Ποτνιάδες δ' ἐπ' ἀσπίδι
Ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
Εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
Πόρπαχ' ὑπ' αὐτὸν, ὥστε μαίνεσθαι δοκεῖν.
Ὁ δ' οὐκ ἔλασσον Ἄρεος ἐς μάχην φρονῶν
Καπανεὺς προσῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις.
Σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
Γίγ[illegible] ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
Φέρων, μοχλοῖσιν ἐξαναστάσας βάθρων,
Ὑπόνοιαν ἡμῖν, οἷα πείσεται πόλις.
Ταῖς δ' ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
Ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ,
Ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν

---

σασα μετέβαλεν αὐτὸν εἰς ταώ. 1117. Τὰ μέν.... κρύπτοντα] τετάρακται τὸ χωρίον· πότερον γὰρ τὸ βλέποντα πρὸς τὸν Πανόπτην ἀνωτέρω συντακτέον ὁμοιογενῶς, ἢ πρὸς τὸ ὄμματα; εἰ μὲν γὰρ τὸ πρῶτον, ὤφειλεν ἐπενεγκεῖν, τοῖς μὲν τῶν ὀμμάτων (ἢ μᾶλλον, ὧν τοῖς μὲν)· εἰ δὲ τὸ δεύτερον, τὸ κρύπτοντα ἔδει εἶναι κρυπτόμενα, ὅ ἐστι κεκλησμένα, κοιμώμενα· ὁ γὰρ μῦθος ἐθέλει τὸν Ἄργον τοῖς μὲν τῶν ὀμμάτων βλέπειν, τοῖς δὲ κοιμᾶσθαι· ὅ ἐστι τοῖς μὲν ὁρᾷν, ἡμέρας οὔσης, τοῖς δὲ ἐν νυκτί. ἐκτὸς δὲ τούτων ποῦ ἀποδοτέον τὰ ὄμματα; ἢ ἐννοητέον τὸ, ἔχοντα τὸν πανόπτην· μήτι δὲ διορθωτέον ὄμματα εἰς τὸ ἅμα τε, ἢ ἔμμονα, ἢ τοιοῦτότι; 1118. θανόντος] ποτέρου; τοῦ

τέλλουσι τοῖς ἄςροις· τοῖς δὲ, δυομένοις [ὡς μετὰ τὸν θάνατον αὐτοῦ ἦν ἰδεῖν]. Πρὸς δ᾽αὖ τὰς Ὁμολωΐδας Τυδεὺς ἐπῄει, λέοντος δορὰν πεφρικυῖαν τῇ χαίτῃ φέρων ἐπὶ τῆς ἀσπίδος, καὶ ὡς Προμηθεὺς ὁ Τιτᾶν, λαμπάδα ἔχων ἐν τῇ δεξιᾷ, ὡς πυρπολήσων τὴν πόλιν· Ὁ δ᾽αὖ σὸς Πολυνείκης ἐπὶ τὰς Κρηναίας ἐπῆγε· τὸ δ᾽ἐπὶ τῆς ἀσπίδος ἔμβλημα αὐτῷ αἱ Ποτνιάδες ἵπποι ἦσαν περὶ τὸ μέσον σκιρτῶσαι φόβῳ· ὑπ᾽ἐλατηρίων κινούμεναι ἔνδοθεν ἐκ μηχανῆς, ὥςε δοκεῖν μανίᾳ κατέχεσθαι. Καπανεὺς δὲ, ὃς μεῖζον ἐφρόνει τῶν ἄλλων δορὶ, ἐπὶ τὰς Ἠλέκτρας προσῆγεν, ἐπίσημον καὶ οὗτος ἔχων ἐπὶ τῆς ἀσπίδος γίγαντα, ὅλην ἐπ᾽ὤμων φέροντα πόλιν, μοχλοῖς αὐτὴν ἐξανασπάσαντα ἐκβάθρων βίᾳ, ὃ ὑπόνοιαν ἡμῖν παρεῖχεν, οἷα ἡ πόλις μέλλοι πείσεσθαι ὑπ᾽αὐτοῦ αὐτίκα μάλα. Ταῖς δ᾽αὖ τελευταίαις Ἄδραςος αὐτὸς προσέμιξε πύλαις, ἔχων καὶ αὐτὸς ἐπὶ τῆς ἀσπίδος, τὴν τῆς Ὕδρας εἰκόνα, ἑκατὸν περιεσπειρωμένην ἐχίδναις,

ἱππομέδοντος, ἢ τοῦ Ἄργους πάλαι ποτέ; τὸ πρῶτον ἔοικε. καίτοι ὁ ςεῖχος οὗτος κρίνεται ὑποβολιμαῖος παρὰ τοῖς κριτικοῖς. 1119. Ὁμολοΐσιν] ἀπὸ Ὁμολοέως τοῦ Ἀμφίονος· ἢ ἀπὸ Ὁμωλοΐδος μιᾶς τῶν τῆς Νιόβης θυγατέρων. Κρηναῖαι δ᾽αὖ πύλαι, ἀπὸ τῆς κρήνης Δίρκης. 1124. Ποτνιάδες] αἱ ἐν Ποτνίαις πόλει τῆς βοιωτίας τρεφόμεναι· ἦσαν δ᾽ἵπποι μαινόμεναι καὶ λυττῶσαι, ὥςε καὶ αὐτὸν τὸν κτησάμενον Γλαῦκον κατέφαγον. εἶχε δὲ ταύτας Πολυνείκης ἐπὶ τῆς ἀσπίσος τῆς χαλκῆς, ὑπὸ μηχανῆς ἔνδοθεν κινουμένης κατὰ τὸν Πόρπακα, ὅ ἐστι τὸν ὀμφαλόν. 1129. Ἠλέκτραις] οἱ μὲν ἀπὸ Ἠλέκτρας τῆς Ἄτλαντος καὶ Ἡσιόνης· ἧς ἦν θυγάτηρ ἡ Ἁρμονία, ἣν ἔγημε Κάδμος. οἱ δὲ ἀπὸ Ἠλέκτρας τῆς τοῦ Ἀμφίονος φασὶν ὀνομασθῆναι. 1132. Βάθρων] οὕτως ἄμωαν

Ἀργεῖον αὔχημ'· ἐκ δὲ τειχέων μέσων
Δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις·
Παρῆν δ' ἑκάστου τῶνδέ μοι θεάματα,
Ξύνθημα παραφέροντι ποιμέσιν λόχων.
Καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
Ἐμαρνάμεσθα σφενδόναις θ' ἑκηβόλοις
Πετρῶν τ' ἀραγμοῖς· ὡς δ' ἐνικῶμεν μάχῃ,
Ἔκλαγξε Τυδεὺς καὶ σὸς ἐξαίφνης γόνος,
Ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
Τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
Γυμνῆτες, ἱππεῖς ἁρμάτων τ' ἐπιστάται;
Ἠχῆς δ' ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν·
Πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι,
Ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
Πυκνοὺς κυβιστητῆρας ἐκνενευκότας,
Ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς·
Ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
Τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν, βοᾷ
Πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν.
Ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
Ἁμαξοπληθῆ, γεῖσ' ἐπάλξεων ἄπο.
Ξανθὸν δὲ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
Ἔρρηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν

---

ων ἄλλοις ἀντὶ τοῦ βίᾳ. 1137. Ἀργεῖον αὔχημα] ἡ γὰρ Ὕδρα ἀνεφύη ἐν Λέρνῃ τῇ κρήνῃ τοῦ Ἄργους, πολλὰς δρακοντείας ἔχουσα κεφαλάς, ἃς τέμνων ὁ Ἡρακλῆς οὐκ ἐδύνατο ἀνελεῖν, ἑτέρων ἀνεφυομένων, μέχρις οὗ κελεύσας Ἰόλαον παρακαίειν τὰς τεμνομένας, ἐξήλειψε πάσας. 1141. Μεσαγγύλοις] μεσάγγυλα ἀκόντια, τὰ κατὰ τὸ μέσον ἔρεισμα ἔχοντα τῇ χειρὶ, εἴτουν δεσμὸν

τοῦτο δὴ τὸ αὔχημα καὶ σέμνωμα τῶν Ἀργείων· ἀπὸ δὲ μέσων τῶν τειχῶν δράκοντες τὰ τῶν Καδμείων ἀνήρπαζον τέκνα. Οἶδα δ' οὖν ἔγωγε ταῦθ' ἑωρακὼς, ἡνίκα παρέπεμπον τὸ σύνθημα εἰς τὰς τάξεις. Ἀρθέντων τοίνυν τῶν σημείων ἑκατέρωθεν, ἐμαχόμεθα, τόξοις τε, καὶ μεσαγκύλοις, σφενδόναιςτε, καὶ λίθοις ὑπὸ χειρὸς χρώμενοι πρῶτον· ὡς δὲ ἡ τῆς τύχης ῥοπὴ ἐν τούτῳ ἐδόκει μεθ' ἡμῶν εἶναι, αἴφνης ὅ,τε Τυδεὺς καὶ Πολυνείκης ἐπιβοήσαντες, ὦ παῖδες Ἑλλήνων, ἀνακεκράγασι, τί μέλλεθ' οὕτω βαλλόμενοι, ἀλλ' οὐκ ἐπ' αὐτὰς ἐμπίπτετε ἀθρόοι τὰς πύλας, γυμνῆτες, ὁπλῖται, ἱππεῖς τε, καὶ οἱ ἁρμάτων ἐπιβεβηκότες· τούτων δ' οὕτως εἰρημένων, σύμπαντες εἴχοντο ἔργου, κοὐδεὶς ἦν ἀσυντελής· ἔπιπτον δὲ πολλοὶ ἑκατέρωθεν, ἐκείνων μὲν τὰ κρανία κατεαγότες· ἡμῶν δ' ἀπὸ τῶν τειχῶν ἐπὶ κεφαλὴν οἷον κυβιστῶντες· τὸ δ' αἷμα καταῤῥέον ἐπέκλυζε τοὔδαφος, ὁ δὲ Ἀρκὰς, ὁ τῆς Ἀταλάντης, ἐμπεσὼν ταῖς πύλαις, ὥσπερ τυφὼν, πῦρ, ἀνέκραγε, καὶ δικέλλας· δεῖν γὰρ κατασκάψαι τὴν πόλιν· ἀλλὰ Περικλύμενος ὁ τοῦ Ποσειδῶνος ἰδὼν αὐτὸν ὅλος μαινόμενον ἐφ' ἡμᾶς, λίθῳ ὑπερμεγέθει, ἄνωθεν ἀποσπάσας αὐτὸν ἀπὸ τῶν γείσων ἐκ τῶν ἐπάλξεων, διέλυσεν αὐτοῦ τὸ κρανίον· οὗ τὸ αἷμα κατεῤῥυὲν, τὸ ξανθὸν αὐτῷ κατεφοίνισε γένειον· ὥς' οὐκέτ' ἀφίξεται ζωὸς

---

τινα, ἵνα μὴ ἡ χεὶρ ὀλισθαίνῃ ἐν τῷ ἀφιέναι. 1149. Κρᾶτας] τὸ κρᾶς; τοῦ κρατός· ὁ δὲ ἀρσενικῶς ἐσχημάτισε· καὶ ἀλλαχῇ ὁ αὐτὸς νεκρῶν κρᾶτας ἔφη τὰ κρανία. 1158. Γεῖσ' ἐπάλξεων ἄπο] τὸ γεῖσα (ἢ γεῖσον) οὐδὲν ἐνταῦθα

Καθημάτωσεν· οὐδ' ἀποίσεται βίον
Τῇ καλλιτόξῳ μητρὶ Μαινάλου κόρη·
Ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
Ἄλλας ἐπῄει παῖς σὸς, εἱπόμην δ' ἐγώ.
Ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
Πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
Λιπεῖν ἐρίπνας φυγάδας· ἀλλά νιν πάλιν,
Κυναγὸς ὡσεὶ, παῖς σὸς ἐξαθροίζεται,
Πύργοις δ' ἐπέστησ' αὖθις· ἐς δ' ἄλλας πύλας
Ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δὲ πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο;
Μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
Ἔχων, ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασεν,
Μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργάσθειν Διὸς,
Τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
Καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ πετρούμενος
Ἀνεῖρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
Κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
Ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων
Βάλλει κεραυνῷ Ζεύς νιν· ἐκτύπησε δὲ
Χθὼν, ὥστε δεῖσαι πάντας· ἐκ δὲ κλιμάκων
Ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη,
Κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ' ἐς χθόνα,
Χεῖρες δὲ καὶ κῶλ'. ὡς κύκλωμ' Ἰξίονος,

ἐστιν, ἡ ἐπεξήγησις τοῦ λᾶαν ἁμαξοπληθῆ. 1173. Προσαμβάσεις] προσαναβάσεις περιφραστικῶς δὲ ἀντὶ κλίμακα μακράν· ταύτης δὲ τὰ μὲν ὄρθια, μακρὰ ξύλα καλοῦνται ἐνήλατα· τὰ δὲ μικρὰ καὶ ἐγκάρσια, βάθρα καὶ βαθμίδες

εἰς τὴν καλλίτοξον ἑαυτοῦ μητέρα, τὴν τοῦ Μαινάλου. Ὁ δ' αὖ Ἐτεοκλῆς, εὖ ἔχοντα τὰ τῇδ' ὁρῶν, ἐπ' ἄλλας εὐθὺς πύλας παρήμειψεν, ἐπαγόμενος κἀμὲ, ἔνθα Τυδεὺς, πολλοὺς ἑαυτῷ παρασπίζοντας ἔχων, ἐπ' ἄκρον πύργον Αἰτωλικὰ ἀθρόα ἠφίει βέλη, οἷς ἠνάγκασε τοὺς φύλακας ἐκλιπεῖν τὰς ἐπάλξεις· ἀλλ' ὁ παῖς ὁ σὸς, αναλαβὼν αὐτοὺς, ὥσπερ κυνηγὸς, ἀποκατέστησε παραχρῆμ' εἰς τὴν τάξιν· τοῦτο δὲ πράξαντες, εἰς ἄλλας κατεσπεύδομεν πύλας· ἔνθα Καπανεὺς αὐτὸς ἐμαίνεθ' ὅλως· κλίμακα γὰρ (πῶς εἴη;) μάλ' ἐπιμήκη προσθεὶς τῷ τείχει, ἐχώρει ἄνω, κόμπους λόγων δεινῶν προφέρων ὁ σχέτλιος· ἔφη γὰρ μήτε τὸ ἱερὸν πῦρ τοῦ Διὸς δυνήσεσθαι κατασχεῖν αὐτὸν τοῦ μὴ κατ' αὐτὰς ἄκρας τὴν πόλιν ἑλεῖν· καὶ ταῦτα καταθρασυνόμενος, καὶ τοῖς λίθοις βαλλόμενος ἄνωθεν, ἀνεῤῥιχᾶτο, εἰλιγμένος ὑπὸ τὴν ἀσπίδα, ἐκ βαθμίδος βαθμίδα μεταμείβων τῆς κλίμακος. ἀλλ' ὑπερβάλλοντα ἤδη τὰ γεῖσα τοῦ τείχους, βάλλει αὐτὸν ὁ Ζεὺς κεραυνῷ, ἐξ οὗ ἀντήχησε μὲν ἡ γῆ, ἐξεπλάγημεν δὲ καὶ ἡμεῖς· τὰ δὲ μέλη αὐτοῦ ἑωρῶμεν ἄλλοσ' ἄλλα ἀπὸ τῆς κλίμακος ἀποσφενδονώμενα, τὴν μὲν κόμην πρὸς τὸν οὐρανὸν, τὸ δ' αἷμα ῥέον κατὰ γῆς, τὰς δὲ χεῖρας καὶ πόδας εἰλισσόμενα

---

δες. 1180. Γεῖσα τειχέων] τὸν περὶ τὴν ἄκραν τοῦ τείχους θριγκόν· ὅ ἐστι τὴν στεφάνην, τὸ ἐξέχον τοῦ τείχους θρίγκωμα γεῖσον λέγεται. 1285. Ὡς κύκλωμα Ἰξίονος] ὡς ὁ τροχὸς τοῦ Ἰξίονος. ὃς ἐρασθεὶς τῆς Ἥρας,

Εἱλίσσετ'· ἐς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
Ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
Ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
Οἱ δ' αὖ παρ' ἡμῶν, δεξιὸν Διὸς τέρας
Ἰδόντες ἐξήλαυνον ἁρμάτων ὄχους
Ἱππεῖς, ὁπλῖται, κεἰς μέσ' Ἀργείων ὅπλα
Ξυνψανῆ ἔγχη, πάντα δ' ἦν ὁμοῦ κακά.
Ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο,
Τροχοί τ' ἐπήδων, ἄξονές τ' ἐπ' ἄξοσιν,
Νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
Πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
Ἐς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
Ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει.
[Καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις.]
ΧΟ. Καλὸν τὸ νικᾷν· εἰ δ' ἀμείνον' οἱ θεοὶ
Γνώμην ἔχουσιν, εὐτυχὴς εἴην ἐγώ.
ΙΟ. Καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει.
Παῖδές τε γάρ μοι ζῶσι, κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων
Τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
Παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,
Ἰδίᾳ δὲ λυπρῶς, ἀλλ' ἄνελθέ μοι πάλιν,
Τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον;
ΑΓ. Ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
ΙΟ. Τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
ΑΓ. Μεῖζόν τι χρήζεις, παῖδας ἢ σεσωσμένους;

---

καταδικάζεται ὑπὸ τοῦ Διὸς ἐν τραχῷ ταχυτάτῳ περιελίσσεσθαι ἐν ἀέρι. 1200. Ἀμείνονα γνώμην] ὥστε διαλλάξαι τοὺς ἀδελφούς. ἢ ἁπλῶς ἀγαθὴν γνωμην περὶ ἡμῶν· προφητεύει γὰρ τὰ μετὰ ταῦτα κακά

ἐν μετεώρῳ κατὰ τὸν τροχὸν τοῦ Ἰξίονος· τὸ δὲ λοιπὸν καταπίπτον εἰς τὴν γῆν ἀπηνθρακωμένον. Ἄδραςος δὲ κατιδὼν τὸν Δία μετὰ τῶν Καδμείων ἱςάμενον, ἐσήμανεν ἀναχωρεῖν ἐπὶ πόδα ἐκτὸς τῆς τάφρου· οἱ δὲ ἡμέτεροι αὖθις, αἴσιον σημεῖον ἑωρακότες ἑαυτοῖς γενόμενον παρὰ τοῦ Διὸς, ἁρμάτων ἐπιβάται, ἱππεῖςτε, καὶ ὁπλῖται, ἀθρόοι ἐξελάσαντες σύμπαντες, συνεισέπεσον ἐπ' αὐτὸ τὸ τῶν πολεμίων ςρατόπεδον· ἔνθα πάντα ἦν ὁμοῦ τὰ κακὰ, ἔθνησκον, ἐξέπιπτον ἀπὸ τῶν ἁρμάτων, τροχοί τε ἀνεπήδων, ἄξονές τε ἐπ' ἄξοσι, καὶ νεκροὶ ἐπὶ νεκροῖς ἐπιπίπτοντες, ἐσωρεύοντο· οὕτως οὖν ἡ πόλις μέχρι δεῦρο ἀπέφυγε τὸ κατασκαφῆναι· το δὲ λοιπὸν εἰ σωθείη ἐν γούνασι θεῶν κεῖται τοῦτο.

ΧΟ. Καλὸν μὲν τὸ νικᾷν· ἀλλ' εἰ ἀμείνω ἔτι τῆς νίκης γνώμην ἔχοιεν οἱ θεοὶ, εἴην ἂν ἐγὼ εὐτυχής.

ΙΟ. Τὰ μὲν οὖν παρὰ τῶν θεῶν καὶ τῆς τύχης καλῶς ἡμῖν ἔχει· οἵτε γὰρ παῖδες ζῶσι, καὶ ἡ πόλις κρείττων ἐςὶ κινδύνου· Κρέων δ' ὁ δύςηνος μόνος τῶν ἐμῶν γάμων καὶ τῶν Οἰδίποδος κακῶν δοκεῖ πικρῶς παραπολαῦσαι, τοῦ παιδὸς ςερηθεὶς, εὐτυχὲς μὲν συμβὰν τῇ πόλει, αὐτῷ δὲ ἰδίᾳ δυςύχημα μέγιςον· ἀλλ' αὖτις ἐπάνελθέ μοι ἐπὶ τὸ προκείμενον. οἱ παῖδες οἱ ἐμοὶ, εἰπέ μοι, τί μέλλουσι δρᾶν ἐπὶ τούτοις;

ΑΓ. Ἔα τὰ λοιπὰ ἀνακρίνειν, τῶν παρόντων σοι καλῶς σχόντων.

ΙΟ. Οὐκ ἄν· ὕποπτον γάρ τι δοκεῖς ὑποκρύπτειν.

ΑΓ. Τί μεῖζον βούλει, ἢ τοὺς παῖδάς σοι σεσῶσθαι;

ΙΟ. Καὶ τἀπίλοιπά γ', εἰ καλῶς πράσσω, κλύειν·
ΑΓ. Μέθες μ', ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
ΙΟ. Κακόν τι κεύθεις καὶ στέγεις ὑπὸ σκότῳ.
ΑΓ. Οὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
ΙΟ. Ἢν μή με φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
ΑΓ. Αἶ, αἶ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
Φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
Τὼ παῖδε τὼ σὼ μέλλετον τολμήματα
Αἴσχιτα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
Λέξαντες Ἀργείοισι Καδμείοισί τε
Ἐς κοινὸν, οἷον μή ποτ' ὤφελον λόγον.
Ἐτεοκλέης δ' ὑπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
Πύργου, κελεύσας σῖγα κηρύξαι στρατῷ.
Ἔλεξε δ'· Ὦ γῆς Ἑλλάδος στρατηλάται
Δαναῶν τ' ἀριστεῖς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαὸς, μήτε Πολυνείκους χάριν
Ψυχὰς ἀπεμπολᾶτε, μήθ' ἡμῶν ὕπερ.
Ἐγὼ γὰρ αὐτὸς, τόνδε κίνδυνον μεθεὶς,
Μόνος συνάψω συγγόνῳ τῷ 'μῷ μάχην·
Κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος·
Ἡσσώμενος δὲ, τῷδε παραδώσω πόλιν.
Ὑμεῖς δ' ἀγῶν' ἀφέντες, Ἀργείαν χθόνα
Νείσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
[Σπαρτῶν τε λαὸς ἅλις, ὅσος κεῖται θανών.]
Τοσαῦτ' ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος
Ἐκ τάξεων ὤρουσε κἀπῄνει λόγους.
Πάντες δ' ἐπεῤῥόθησαν Ἀργεῖοι τάδε,
Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.
Ἐπὶ τοῖσδε δ' ἐσπείσαντο, κἀν μεταιχμίοις

ΙΟ. Βουλοίμην γὰρ ἂν μαθεῖν, εἰ καὶ τοῖς λοιποῖς εὖ πράσσω.

ΑΓ. Ἀλλ' ἔα με νῦν ἰέναι· Ἐτεοκλῆς γὰρ ὑπασπιστὴν οὐκ ἔχει.

ΙΟ. Ἀλλὰ κακοῦ τινος ὑπόνοιαν δοκεῖς παρέχειν.

ΑΓ. Ὄκνος γάρ μ' ἔχει καὶ κακῶν ἐπ' ἀγαθοῖς μνησθῆναι.

ΙΟ. Εἰ μὴ διαφύγοις πρὸς τὸν ἀέρα, οὐκ ἄν με φύγοις.

ΑΓ. Αἶ αἶ, τί οὐκ ἐᾷς με ἀπαλλαγῆναι ἐκ καλῶν μηνυμάτων, ἀλλ' ἀναγκάζεις καὶ τὰ μὴ καλὰ προςεθεῖναι; οἱ σοὶ παῖδες ὥρμηνται πρὸς τόλμημα αἴσχιστόν τε καὶ ὀλεθριώτατον, συνθέμενοι καταμόνας ἐλθεῖν ἐς χεῖρας, ἀργούντων τῶν στρατῶν ἑκατέρωθεν· καὶ τοῦθ' ὡμολόγηται ἤδη αὐτοῖς, ὡς οὐκ ὤφειλε, πρὸς ἑκάτερα τὰ μαχόμενα. Ἐτεοκλῆς γὰρ πρῶτον κελεύσας σιγὴν κηρύξαι ἀπὸ τοῦ τείχους παντὶ τῷ στρατῷ, ἦρξε λόγου τοιοῦδε· Ἄνδρες στρατηγοὶ, ἀριστεῖς τῶν Ἑλλήνων, οἱ ἐνταῦθα στρατεύσαντες, καὶ ὑμεῖς ὁ τοῦ Κάδμου λαὸς, μηκέτι παραβάλλετε ἑαυτοὺς εἰς κίνδυνον, μήθ' ὑμεῖς ἕνεκα Πολυνείκους, μήθ' ὑμεῖς δεῦρο, ἐμοὶ χάριν φέροντες· ἐγὼ γὰρ αὐτὸς, ἀπαλλάξας ὑμᾶς τοῦ ἀγῶνος μόνος μόνῳ τῷ ἐμαυτοῦ μαχήσομαι ἀδελφῷ· κἂν μὲν ἀνέλω τοῦτον, μόνος ἔσομαι ἐγκρατὴς τῶν πραγμάτων· ἡττηθεὶς δὲ, πάντα τἀμὰ ἐκείνου γενήσεται· ὑμεῖς δὲ διαλυθέντες, ἑκάτεροι εἰς τὴν ἑαυτῶν, σωθήσεσθε φίλως παρὰ φιλτάτοις, μηδὲν κινδυνεύσαντες ὧδε· ἅλις γὰρ Σπαρτῶν τεθνηκότων ἐνταῦθα· ταῦτα μὲν οὗτος. Πολυνείκης δ' αὖ, προφανεὶς εὐθὺς καὶ αὐτὸς ἐκ τῶν τάξεων, ἐπῄνει ταῦτα, καὶ πάντες Ἕλληνές τε καὶ Καδμεῖοι ἐπεφήμησαν, ἡγούμενοι δικαιότατα ταῦτα εἶναι. Ἐπὶ δὲ τούτοις, σπονδῶν γενομένων, καὶ μεταιχμίου

Ὅρκους συνῆψαν ἐμμένειν στρατηλάται.
Ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
Δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
Φίλοι δ' ἐκόσμουν, τῆσδε μὲν πρόμον χθονὸς
Σπαρτῶν ἀριστεῖς, τὸν δὲ Δαναϊδῶν ἄκροι.
Ἔσταν δὲ λαμπρὼ, χρῶμα τ' οὐκ ἠλλαξάτην,
Μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
Παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
Λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε.
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
Τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον.
Ἐτεοκλέα δ' αὖ νῦν πόλεως ὑπερμαχεῖς,
Νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.
Τάδ' ἠγόρευον, παρακαλοῦντες ἐς μάχην.
Μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς
Ῥήξεις τ' ἐνώμων, ὑγρότητ' ἐναντίαν,
Ἄκραν τε λαμπάδ', ἢ δυοῖν ὅρους ἔχει,
Νίκης τε σῆμα καὶ τὰ τῶν ἡσσωμένων.
Ἀλλ', εἴ τιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,

1250. Ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας] τρόπαιον βούλεται λέγειν· ἔθος ἦν τοῖς ἀρχαίοις μετὰ τὴν νίκην ἀνιστᾶν θεοῦ τινος εἴδωλον, ὃ ἐκάλουν σωτηρίαν. 1255. Ἐμπύρους τε ἀκμὰς, ῥήξεις τ' ἐνώμων, ὑγρότητ' ἐναντίαν] τὴν ὀξύτητα τῶν ἐκ τοῦ πυρὸς ἀναδιδομένων φλογῶν ἀκμὴν ἔμπυρον λέγει· περὶ δὲ τῶν ἑξῆς ἐκεῖνα λέγει ὁ σχολιαστής. Σφάξαντες οἱ μάντεις πρόβατον, ὁπότε τινὰ ὄλεθρον, ἢ νίκην τῶν αὐτῶν στρατευμάτων ἐβούλοντο σημειώσασθαι, τέμνοντες τοῦτο, τὸν μὲν μηρὸν, περιειλοῦντες πιμελῇ, ἐπὶ πῦρ ἐτίθουν· καὶ εἰ μὲν ἐξήφθη τὸ πῦρ, νικᾶν ἔλεγον· μὴ τούτου δὲ γενομένου, νικᾶσθαι· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὴν κύστιν μεστὴν οὔρου ἐν τῷ στόματι ἐρίῳ δεσμοῦντες, ἐπετίθουν τῷ πυρὶ, καὶ ἐπετήρουν, πῶς ῥαγήσεται, καὶ ποῦ ἀκοντίσει τὸ οὖρον· καὶ εἰ μὲν εἰς αὐτοὺς, νι-

ὁρισθέτος, ἔνθα δεῖ μένειν τοὺς ἔξωθεν ἑκατέρωθεν, καὶ τῶν στρατηγῶν ὅρκοις ταῦτα διαβεβαιωσάντων, περιετίθεντο οἱ μονομαχήσοντες τὰ ὅπλα, ἑκάτερος, ὑπὸ φίλων κοσμούμενος, ὁ μὲν πρόμαχος τῶν Θηβῶν ὑπὸ Σπαρτῶν ἀριστέων· Πολυνείκης δὲ, ὑπὸ τῶν στρατηγῶν τῶν Ἀργείων. Ἐνταῦθα τοίνυν ἦν ὁρᾶν αὐτοὺς τάτε πρόσωπα φαιδροὺς, καὶ τὸ χρῶμα μηδὲν παραλλάττοντας, ἀλλ' ἐπ' ἀλλήλους οἱονεὶ μαινομένους· τῶν δὲ φίλων ἑκατέροις ἄλλος ἄλλῃ παρεξιόντες, παρεκελεύοντο τάδε. Πολύνεικες σύγε, ἐπὶ σοὶ νῦν κεῖται τρόπαιον τὸ τοῦ Διὸς στῆσαι εἴδωλον. Πρὸς δ' αὖ Ἐτεοκλέα τοιάδε· νῦν πρόμαχῃ τῆς πόλεως· αὐτίκα δὲ νικήσας, βεβαίως κρατήσεις τῶν σκήπτρων· τοιάδ' αὐτοὺς ὑπομιμνήσκοντες, παρώξυνον εἰς τὴν μάχην· οἱ δὲ μάντεις ἐσφαγίαζον, τὰς τοῦ πυρὸς παρατηροῦντες ὀξεῖς ἀναδόσεις, τήντε διάρρηξιν τῶν ἐνώμων, καὶ τὴν ἐκ τῆς κύστεως τοῦ ὑγροῦ ἐξακόντισιν. καὶ πρὸς τούτοις τὸν τῆς λαμπάδος ἄκρον πώγωνα· ἐξ ἧς ἥτε νίκη προδηλοῦται καὶ ἧττα. Εἴτις οὖν δύναμις, εἴτις σοι σοφία

---

κητὰς ἑαυτοὺς ἐκάλουν· εἰ δὲ εἰς τοὺς ἐναντίους καταβολὴν αὐτῶν ἐμαντεύοντο· τὴν οὖν ἀκόντισιν τοῦ οὔρου ἐναντίαν ὑγρότητα λέγει· ἐπετήρουν δὲ ἁπλῶς καὶ τὸ ἄκρον τοῦ πυρὸς, τὴν μὲν ἔξαψιν τούτου νίκην· τὴν δὲ εἰς τοὐναντίον ὁρμὴν ἀπώλειαν καὶ φθορὰν σφῶν αὐτῶν λογιζόμενοι· τὸ δὲ, Ἐνώμων, εἴτε ὄνομα, εἴτε ῥῆμα ἐν χρόνῳ Παρατατικῷ, ὡς ἔοικε μᾶλλον, κατὰ συνεκδοχὴν εἰς τὰ τρία λάμβανε εἴς τε τὸ ἀκμὰς, καὶ εἰς τὸ ῥήξεις, καὶ εἰς τὸ ἄκραν. ἴδε καὶ Ἀρχεολ. Γρηγορ. Παλιορίτου τόμ. Β σελ. 144. καὶ ἑξῆς. 1257. Ἄκραν λαμπάδα] τὸ πυραμοειδὲς ἐννοεῖ τῆς λαμπάδος· ὃ καὶ φλογος μέγαν πώγωνα, καὶ πυρὸς ἀμφήκη βόστρυχον, καὶ κέρκον Αἰσχύλος ὠνόμασεν. ἴδε Σοφοκ. Ἀν-

Ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
Δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
[Καὶ τἆθλα δεινὰ δάκρυά σοι γενήσεται·
Δισσοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.]
ΙΟ. Ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
Οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασιν
Νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις.
Ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
Ἐς θάνατον ἐκνεύοντε, κωλῦσαί σε δεῖ,
Ξὺν μητρὶ τῇ σῇ, μὴ πρὸς ἀλλήλοιν θανεῖν.
ΑΝ. Τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
Φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;
ΙΟ. Ὦ θύγατερ, ἔῤῥει σῶν κασιγνήτων βίος.
ΑΝ. Πῶς εἶπας;
ΙΟ. Αἰχμὴν ἐς μίαν καθέστατον.
ΑΝ. Οἴ 'γὼ τί λέξεις, μῆτερ;
ΙΟ. Οὐ φίλ', ἀλλ' ἕπου.
ΑΝ. Ποῖ παρθενῶνας ἐκλιποῦσ';
ΙΟ. Ἀνὰ στρατόν.
ΑΝ. Αἰδούμεθ' ὄχλον.
ΙΟ. Οὐκ ἐν αἰσχύνῃ τὰ σά.
ΑΝ. Δράσω δὲ δὴ τί;
ΙΟ. Συγγόνων λύσεις ἔριν.
ΑΝ. Τί δρῶσα, μῆτερ;
ΙΟ. Προσπιτνοῦσ' ἐμοῦ μέτα.
ΑΝ. Ἡγοῦ σὺ πρὸς μεταίχμι', οὐ μελλητέον.

---

τιγ. στίχ. 1012. καὶ ἑξῆς. 1260. Φίλτρ' ἐπῳδῶν] ἀνθρώπων ἢ ἐν ἀλλαγῇ δοκεῖ τοῦτο πτώσεως, ἀντὶ τοῦ ἐπῳδὸν φίλτρων· ὅ ἐστὶν ἐπῳδὴν, οἷαι συνά-

καὶ φίλτρων πρόσεισιν ἐπῳδαὶ, σπεῦσον ἀπείρξουσα τοῦ δεινοῦ ἀγῶνος τοὺς παῖδας· ὁ γὰρ κίνδυνος μέγας, κοὐδὲν, ἢ δάκρυά σοι ἔςαι τὰ ἀπὸ τούτου ἆθλα, δυοῖν παίδων ἐν μιᾷ ἡμέρᾳ τῇδε στερησομένῃ.

ΙΟ. Τέκνον Ἀντιγόνη, ἔξελθ', ἔξελθ' ὡς τάχος· οὐ γὰρ ἐν χορείαις καὶ παρθενῶσι νῦν σοι τὰ πράγματ' ἐςὶν ἐνασμενίζειν· οἱ γὰρ ἀδελφοί σου, ἄνδρες ἄριςοι μεταξὺ ξίφους ἤδη χωροῦσιν· οὓς διασῶσαί σε δεῖ μετ' ἐμοῦ τῆς δυστήνου μητρός.

ΑΝ. Τί φής, ὦ μῆτερ; τί ποθ' οὕτως ἐκπλήττεις ὧδε τοὺς φίλους;

ΙΟ. Ὦ θύγατερ, ἡ ξυνωρὶς τῶν σῶν ἀδελφῶν ἐν κινδύνῳ.

ΑΝ. Πῶς λέγεις τοῦτο; σήμανόν μοι σαφῶς.

ΙΟ. Μόνοι ἐπ' ἀλλήλους ὁρμῶσι ξίφει.

ΑΝ. Οἴμοι! πῶς ταῦτ', ὦ μῆτερ;

ΙΟ. Οὐ φίλα μὲν, ἀλλ' ἕπου μοι ὡς τάχος.

ΑΝ. Ποῖ δήποτ', ἐκλιποῦσα τὸν παρθενῶνα;

ΙΟ. Πρὸς τὸν ςρατόν.

ΑΝ. Ἀλλ' αἰδοῦμαι τὸ πλῆθος.

ΙΟ. Κρείττων ἐςί σοι τῆς αἰδοῦς ἡ ἀνάγκη.

ΑΝ. Πράξω δὲ τί, ἐλθοῦσα;

ΙΟ. Εἶρξαι ἀδελφοὺς διαπληκτιζομένους.

ΑΝ. Τῷ τρόπῳ τοῦτο;

ΙΟ. Μετ' ἐμοῦ δεομένη.

ΑΝ. Ἡγοῦ μοι ἐκεῖσε, οὐ μελλετέον.

---

γειν τοὺς παῖδας εἰς φιλίαν. 1266. Δαιμόνων κατάςασις] ἡ τύχη, ὁ θεὸς σὺ

ΙΟ. Ἔπειγ᾽, ἔπειγε, θύγατερ· ὡς, ἢν μὲν φθάσω
Παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος.
Θανοῦσι δ᾽ αὐτοῖς συνθανοῦσα κείσομαι.

ΧΟ Αἶ αἶ αἶ αἶ.
Τρομερὰν φρίκᾳ τρομερὰν φρέν᾽ ἔχω·
Διὰ σάρκα δ᾽ ἐμὰν
Ἔλεος ἔλεος ἔμολε ματέρος δειλαίας.
Δίδυμα τέκεα πότερος ἄρα πότερον αἱμάξει
(Ἰώ μοι πόνων!
Ἰὼ Ζεῦ, ἰὼ γᾶ!)
Ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν
Δι᾽ ἀσπίδων, δι᾽ αἱμάτων;
Τάλαιν᾽ ἐγὼ, τάλαινα,
Πότερον ἄρα νέκυν ὀλό-
Μενον ἰαχήσω;
Φεῦ δᾶ, φεῦ δᾶ, (ἀντ.)
Δίδυμοι θῆρες, φόνιαι ψυχαὶ,
Δορὶ παλλόμεναι
Πέσεα, πέσεα δάϊ᾽ αὐτίχ᾽ αἱμάξετον;
Τάλανες, ὅτε ποτὲ μονομάχον ἐπὶ φρέν᾽ ἠλθέτην!
Βοᾷ βαρβάρῳ
Ἰαχὰν στενακτὰν
Μελομέναν νεκροῖς δάκρυσι θρηνήσω.
Σχεδὸν τύχα, πέλας φόνος·
Κρινεῖ φάος τὸ μέλλον.
ἄποτμος ἄποτμος ὁ φόνος
Ἕνεκ᾽ Ἐριννύων.
Ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
Πρὸς δόμους στείχοντα· παύσω τοὺς παρεστῶτας γόους.

---

συγχωρεῖ σοι διατρίβειν ἐν χοροῖς καὶ παρθενῶσι. 1285. Διὰ σάρκα] συντα-

ΙΟ. Σπεῦσον, τέκνον, ἄνυττε, ὡς ἐπ' ἀκμῆς ξυροῦ ἡμῖν νῦν τὰ πράγματα κεῖται· ἢν μὲν γὰρ φθάσω τοὺς παῖδας πρὸ τοῦ ἀγῶνος, καλῶς ἔχει με ζῆν· ἢν δὲ μὴ, τρίτη αὐτὴ ἐπ' ἐκείνοις ἡ μήτηρ κείσομαι τοῖς παισί.

ΧΟ. Αἶ, αἶ, αἶ, αἶ· φρίττω, τρέμω ὅλως· οἶκτος, οἶκτος διὰ τῆς ἐμῆς καρδίας διήκει, ταύτης τῆς δυστήνου μητρὸς τὴν δυστυχίαν ὁρώσης· ἰώ μοι τῶν πόνων, ἰὼ Ζεῦ καὶ Γῆ, πότερος ἄρα τῶν παίδων διελάσει τὸ ξίφος δι' ἀσπίδος καὶ αἱμάτων εἰς σῶμα ὁμοφυὲς, εἰς ψυχὴν ὁμογενῆ; δειλαία ἐγὼ, δειλαία, πότερον τοῖν δυοῖν νεκρὸν ἐν ἰαχῇ θρηνήσω;

Φεῦ φεῦ, ὦ γῆ· δύο θῆρες ἄμφω διψῶντες αἷμα, διαπληκτιζόμενοι δόρασιν, αὐτίκα μάλα τὰ ἑαυτῶν ἐλεεινῶς διασπαράξουσι σώματα· τάλανες, ὅπως πότ' ἐς τοῦτ' ὀλεθρίου ἤλθετε γνώμης· βοῇ βαρβάρῳ ἐκ στεναγμῶν καρδίας θρῆνον θρηνήσω, θρῆνον ὡρισμένον νεκροῖς ὀλοφυρομένη· ἐγγὺς ὁ φόνος, ἡ τήμερον ἡμέρα διακρινεῖ τὸ μέλλον· ὡς δυςυχῆ θάνατον αὐτοῖς, ὡς κακοδαίμονα παρεσκεύασαν Ἐριννύες.

Ἀλλ' ἄλις τῶν θρήνων· ὁρῶ γὰρ Κρέοντα ἐκεινονὶ ὡς σκυθρωπὸν ἥκονθ' ὡς ἡμᾶς.

---

κτέον ὡδὶ, ἔλεος τῆς δειλαίας μητρὸς διέμολε (διῆλθε) τὴν ἐμὴν σάρκα· τὸ δὲ, Δίδυμα τέκνα, κατ' ἐναλλαγὴν, ἀντὶ τοῦ, διδύμων τέκνων· σύνηθες δὲ τοῦτο καὶ παρὰ τοῖς πεζοῖς· ἐνταῦθα δὲ καὶ ἀναγκαῖον τὸ σολοικοφανὲς τὸ τεταραγμένον τῆς φύσεως δηλοῦν βουλομένου τοῦ ποιητοῦ. 1296. Φεῦ δᾶ, φεῦ δᾶ] εἰ μὲν ὀξὺ εἶχε πνεῦμα τὸ Δᾶ, ἦν ἂν ἀντὶ τοῦ Δή· νῦν δὲ περισπώμενον, ἐςὶ κατ' ἐναλλαγὴν ςοιχείου αὐτὸ τὸ Γῆ Δωρικῶς· δοκεῖ δὲ καὶ ἐν ἄλλοις ἀντικαθίστασθαι τὰ ςοιχεῖα ταῦτα. Δημήτηρ γὰρ λέγεται ἀντὶ τοῦ Γημήτηρ, καὶ Πηγὴ ἀντὶ τοῦ πηδὴ, ἐκ τοῦ πηδᾷν. 1296. Πέσεα] πεσήματα, πτώματα, τὰ ἑαυτῶν σώματα. 1302. Μελομένην νεκροῖς] διωρισμένην, πεφροντισμένην μεμελετημένην διὰ τοὺς νεκρούς. 1303. Σχεδὸν τύχα, πέλας φόνος] ἐν ἄλλοις, σχεδὸν τύχα πέλας φόνου. οὐ καλῶς· τὸ δ' ἕνεκα Ἐριννύων, τὰς

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΟΙΔΙΠΟΥΣ, ΑΝΤΙΓΟΝΗ.

ΚΡ. Οἴμοι τί δράσω; πότερ' ἐμαυτὸν, ἢ πόλιν
Στένω δαρκύσας, ὃν πέριξ ἔχει νέφος
Τοσοῦτον, ὥστε δἰ Ἀχέροντος ἰέναι;
Ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανὼν,
Τοὔνομα λαϐὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί.
Ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν
Αὐτοσφαγῆ, δύστηνος ἐκόμισ' ἐν χεροῖν,
Βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ' ἥκω μέτα
Γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
Λούσῃ, πρόθηταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
Τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
Τιμὰς διδόντα, χθόνιον εὖ σέϐειν θεόν.

ΧΟ. Βέϐηκ' ἀδελφὴ, σὴ δόμων ἔξω, Κρέον,
Κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.

ΚΡ. Ποῖ, κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.

ΧΟ. Ἤκουσε, τέκνα μονομάχῳ μέλλειν δορὶ
Ἐς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.

ΚΡ. Πῶς φής; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ,
Οὐκ ἐς τόδ' ἦλθον, ὥστε καὶ τάδ' εἰδέναι.

---

ἀρὰς αἰνίττεται τοῦ Οἰδίποδος· δι' ἐκείνων γὰρ ἐνεργοῦνται. 1311. Δἰ Ἀχεφοντος] διὰ τοῦ Ἅδου καὶ τῆς ἀπωλείας. 1317. Ἥκω μετὰ ἀδελχὴν] πρὸς

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

**ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΟΙΔΙΠΟΥΣ, ΑΝΤΙΓΟΝΗ.**

ΚΡ. Οἴμοι, τί δράσω; πότερον, ἐμαυτὸν, ἢ τὴν πόλιν θρηνήσω, ἣν τοσοῦτον νέφος πολεμίων ἀμφικαλύπτει, ὥςε δοκεῖν νῦν τὰ λοίσθια πνεῖν; οὑμὸς τε γὰρ παῖς ἀπέθανεν ὑπὲρ τῆς πατρίδος, ἑαυτῷ μὲν μέγα κλέος ἀράμενος, ἐμοὶ δὲ μεῖζον πένθος καταλιπών· ὃν ἐγὼ ἄρτι ἀπὸ τῶν δρακοντείων καθελὼν φωλεῶν, αὐτόχειρ ἐκόμισα ὁ δύστηνος οἴκαδε. ἔνθα νῦν πάντα κατέχῃ θρῆνος· ἐγὼ δ' ὁ γέρων ἧκον εἰς τὴν ἀδελφὴν Ἰοκάςην, ὅπως λούσασα περιςείλῃ τὸν παῖδα κατὰ τὸ προσῆκον, νεκρὸν ἤδη κείμενον ἐν τῷ μέσῳ· δεῖ γὰρ δὴ τοὺς ζῶντας, τὸν χθόνιον θεὸν σεβομένους, τὰ νομιζόμενα ποιεῖν τοῖς οἰχομένοις.

ΧΟ. Ἐξῆλθεν, ὦ Κρέων, Ἰοκάςη, ἐξῆλθε τῆς οἰκίας, συνεπαγομένη καὶ Ἀντιγόνην.

ΚΡ. Ποῖ δήποτε, καὶ ἐφ' ὅτῳ; μήτινα συμφορὰν αὖθις λέγεις;

ΧΟ. Ἤκουσε μέλλειν τοὺς παῖδας ἄμφω μονομαχήσειν περὶ τῆς ἀρχῆς.

ΚΡ. Πῶς φῄς; ἐμὲ γὰρ περὶ τὴν τοῦ παιδὸς κηδείαν ἐνασχολούμενον ἐλάνθανε ταῦθ' ὅλως.

---

τὴν ἀδελφήν· ὡς καὶ Ὅμηρος, μετ' ἀμύμονας Αἰθιοπίας· χθόνιον δὲ τὸν Πλούτωνα λέγει. 1322. Κόρη τε μητρὸς] ἡ συνθήκη οὕτω· κόρη τε κοινῷ ποδὶ τῆς μητρός· ὅ ἐςι κοινῇ ἐξόδῳ· 1326· Ἀγαπάζων] προσέχων, ἀσχολούμενος

ΧΟ. Ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι.
Δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
Ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.

ΚΡ. Οἴ μοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
Σκυθρωπὸν ὄμμα καὶ πρόσωπον ἀγγέλου
Στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

ΑΓ. Ὦ τάλας ἐγὼ, τίν' εἴπω μῦθον, ἢ τίνας λόγους;
Οἰχόμεσθ'.

ΚΡ. Οὐκ εὐπροσώποις φροιμίοις ἄρχῃ λόγου.

ΑΓ. Ὦ τάλας, δισσῶς ἀϋτῶ· μεγάλα γὰρ φέρω κακά.

ΚΡ. Πρὸς πεπραγμένοισιν ἄλλα πήμασιν λέγεις ἔτι;

ΑΓ. Οὐκέτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.

ΚΡ. Αἶ, αἶ.
Μεγάλα μοι θροεῖς πάθεα καὶ πόλει.

ΑΓ. Ὦ δώματ', εἰσηκούσατ' Οἰδίπου τάδε,
Παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;

ΧΟ. Ὥστ' ἐκδακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανον.

ΚΡ. Οἴμοι ξυμφορᾶς βαρυποτμωτάτας,
Οἴμοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.

ΑΓ. Εἰ καὶ τὰ πρὸς τούτοισί γ' εἰδείης κακά.

ΚΡ. Καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;

ΑΓ. Τέθνηκ' ἀδελφὴ σὴ δυοῖν παίδοιν μέτα.

ΧΟ. Ἀνάγετ', ἀνάγετε κωκυτὸν,
Ἐπὶ κάρα τε λευκοπήχει κτύπους χεροῖν.

ΚΡ. Ὦ τλῆμον, οἷον τέρμον' Ἰοκάστη, βίου
Γάμων τε τῶν σῶν Σφιγγὸς αἰνιγμοὺς ἔτλης.

---

περὶ τὸν νεκρὸν τοῦ παιδὸς, οὐκ ἠδυνήθην καὶ ταῦτα μαθεῖν. 1338. Πρὸς πε

ΧΟ. Ἐκεῖ οὖν ἀπήει ἡ σὴ ἀδελφὴ, καὶ ὁ περὶ τῆς ψυχῆς ἀγὼν δοκεῖ μοι ἤδη πεπρᾶχθαι τοῖς νεανίαις.

ΚΡ. Οἴμοι! καὶ δὴ ὡς ἀπαίσιον ὁρῶ τὸ σημεῖον, ἄγγελον ἐκεῖνον σκυθρωπῷ ἐπειγόμενον ὄμματι· ὃς ἐρεῖ ἡμῖν πᾶν τὸ γενόμενον.

ΑΓ. Ὦ τάλας ἐγὼ, τί εἴπω; τίνας λόγους ἐκφέρω; ἀπωλόμεθα.

ΚΡ. Ἀπὸ κακῶν ἡμῖν προοιμίων ἄρχεται λόγου.

ΑΓ. Ὦ τάλας αὖθις· μεγάλα γὰρ ὑμῖν κακὰ ἀγγελῶ.

ΚΡ. Πρὸς τοῖς πεπραγμένοις καὶ ἄλλα προσθήσεις ἔτι;

ΑΓ. Τί φὴς αὐτός; ἴσθι τοὺς τῆς σῆς ἀδελφῆς παῖδας ἄμφω τεθνηκότας.

ΚΡ. Αἶ, αἶ· μέγιστον κακὸν φὴς συμβῆναι τῇ πόλει·

ΑΓ. Ὦ δώματα ταῦτα, ἀκούετε, ἀμοιβαίοις τραύμασι τῶν παίδων ἀπολωλότων;

ΧΟ. Ταῦτα δὴ καὶ ἐδάκρυσαν ἂν, εἰ μετῆν φρονήσεως αὐτοῖς.

ΚΡ. Οἴμοι τῶν κακῶν, ὦ τάλας ἐγὼ, τῆς ἀνυποίστου τῆσδε συμφορᾶς.

ΑΓ. Ἀλλ' εἰ καὶ τἀπὶ τούτοις μαθήσῃ, τί δράσεις;

ΚΡ. Καὶ τί ἂν εἴη ὑπερβολὴν τούτων ἔχον;

ΑΓ. Ἐν μέσοις τοῖς παισὶ τέθνηκεν Ἰοκάστη.

ΧΟ. Αἴρετ', ἀνάγετε μέγαν κωκυτόν· ἀράσσετε τὰς κεφαλὰς ἀμφοτέραις ταῖς χερσί.

ΚΡ. Ὦ τλῆμον Ἰοκάστη, οἷόν σοι τέλος τοῦ βίου τούτου. οἷός σοι ὁ τῶν γάμων καὶ τῶν τῆς Σφιγγὸς αἰνιγμάτων

---

πραγμένοισιν ἄλλα πήμασιν λέγεις ἔτι;] τοῦτ' ἄμεινον· ἐν ἄλλοις δὲ κεῖται

Πῶς καὶ πέπρακται διπτύχων παίδων φόνος,
Ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
ΑΓ. Τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς
Οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαὶ,
Ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.
Ἐπεὶ δὲ χαλκέοις σῶμ' ἐκοσμήσανθ' ὅπλοις
Οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
Ἔστησαν ἐλθόντ' ἐς μέσον μεταίχμιον,
[Δισσὼ στρατηγὼ, καὶ διπλὼ στρατηλάτα]
Ὡς εἰς ἀγῶνα μονομάχου τ' ἀλκὴν δορός.
Βλέψας δ' ἐς Ἄργος ἧκε Πολυνείκης ἀράς·
Ὦ πότνι' Ἥρα, σὸς γάρ εἰμ', ἐπεὶ γάμοις
Ἔζευξ' Ἀδράστου παῖδα καὶ ναίω χθόνα,
Δός μοι κτανεῖν ἀδελφὸν, ἀντήρη δ' ἐμὴν
Καθαιματῶσαι δεξιὰν νικηφόρον.
[Αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν.
Πολλοῖς δ' ἐπῄει δάκρυα τῆς τύχης, ὅση,
Κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.]
Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
Βλέψας πρὸς οἶκον εὔξατ'· ὦ Διὸς κόρη,
Δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
Ἐς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Ἐπεὶ δ' ἀφείθη, πυρσὸς ὣς, Τυρσηνικῆς
Σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,

---

ῳδί. πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν; λέγεις δὲ τί; 1364. Ἧκεν ἀράς] ἀφῆκεν εὐχὰς, ηὔξατο τῇ Ἥρᾳ ὡς πολιούχῳ τοῦ Ἄργους. 1368. Καθαιματῶσαι] μετὰ τοῦτον τὸν στίχον ἕπονται ὡς περιττοὶ κἀκεῖνοι.

καρπός· ἀλλ' ἄγ' αὐτὸς εἰπέ μοι, ὅπως ἀπέθανον ἐκεῖνοι, ἔπαθλον κἀγώνισμα ταῖς τοῦ πατρὸς ἀραῖς γεγονότες.

ΑΓ. Τὰ μὲν πρὸ τῶν τειχῶν συμβάνθ' ἡμῖν εὐτυχῶς ἀκήκοας δήπου· οὐ γὰρ μακρὰν τὰ τείχη, ὥςε λανθάνειν ὑμᾶς τὰ γεγενημένα· οἱ δὲ παῖδες, ἅμα περιθέμενοι τὰ ὅπλα, ἀντιπερατάξαντο εἰς ἀγῶνα μονομαχίας ἐν τῷ μεταιχμίῳ, γοργὸν ὁρῶντες, καὶ ῥαγδαίως ἐπ' ἀλλήλους ὁρμῶντες, πότερος τὸν ἕτερον τῷ δορὶ διελάσῃ. Πολυνείκης οὖν πρῶτος βλέψας πρὸς Ἄργος, ηὔξατο τῇ Ἥρᾳ τοιάδε. Ὦ σεβασμία θεά· σὸς γάρ εἰμι, τὴν τοῦ Ἀδράςου γήμας, καὶ τὴν γῆν τὴν σὴν κατοικῶν· δός μοι ἀποκτεῖναι τὸν ἐμαυτοῦ ἀδελφὸν, τὴν δεξιὰν ταυτηνὶ καταςήσασα νικηφόρον· [καίτοι οἶδα αἰσχρὰν ταύτην δόξαν τὸν ἐμαυτοῦ ἀποκτανεῖν ἀδελφὸν, δι' ὃ πολλοὶ βλέψαντες πρὸς ἀλλήλους ἐδάκρυσαν] Ἐτεοκλῆς δ' αὖ πρὸς τὸν τῆς χρυσάσπιδος Παλλάδος ναὸν ἀναβλέψας, ηὔξατο καὶ οὗτος τοιαῦτα. Ὦ θύγατερ Διὸς, δός μοι διελάσαι τουτὶ τὸ δόρυ εἰς τὸ ςῆθος τοῦ ἀδελφοῦ διαμπάξ· ὃς ἦλθε τὴν ἐμὴν πατρίδα πορθήσων. Ἐκ δὴ τούτου σάλπιγγος δούσης τὸ σημεῖον τῆς μάχης, ᾖξαν ἐπ' ἀλ-

---

» Αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν,
» Πολλοῖς δ' ἀπῄει δάκρυα τῆς τύχης, ὅση
» Κἄβλεψαν ἀλλήλοισι, διδόντες κόρας.

ἀλλ' οἱ νεώτεροι, ὡς ξένης χειρὸς ὄντα, ἀπεδοκίμασαν ταῦτα. 1377. Τυρσινικὴ σάλπιγξ, ὡς ἐκ Τυῤῥίνης αὐτὴν τοῦ Ἀρχώνδου ἐνεγκόντος τοῖς Ἕλλησιν, ὁπόθ' ἧκε συμμαχήσων τοῖς Ἡρακλείδαις· ἐπὶ γὰρ τῶν Ἑπτὰ μήπω σάλπιγκα εἶναι φησὶν ὁ σχολιαστὴς, μήτε ἐν τοῖς Τρωϊκοῖς. 1388. Ἀλλ' ὑφίζανον

Ἦξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι·
Κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν,
Ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας·
Ἦσσόν δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
Ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
Εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
Λόγχην ἐνώμα στόματι, προφθῆναι θέλων.
Ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
Ὀφθαλμὸν, ἀργὸν ὥστε γίγνεσθαι δόρυ.
Πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ' ἱδρὼς,
Ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀῤῥωδίαν.
Ἐτεοκλέης δὲ, ποδὶ μεταψαίρων πέτρον
Ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
Τίθησι· Πολυνείκης δ' ἀπήντησεν δορὶ,
Πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδὼν,
Κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ·
Στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
Κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
Ὁ πρόσθε τρωθεὶς, στέρνα Πολυνείκους βίᾳ
Διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
Ἐς δ' ἄπορον ἥκων δορὸς, ἐπὶ σκέλος πάλιν
Χωρεῖ, λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον,
Μέσον τ' ἄκοντ' ἔθραυσεν· ἐξ ἴσου δ' Ἄρης
Ἦν, κάμακος ἀμφοῖν χεῖρ' ἀπεστερημένοιν.
Ἐνθένδε κώπας ἁρπάσαντε φασγάνων

κύκλοις] ἐκρύπτοντο ὑπὸ τὴν ἀσπίδα. 1386. Κεγχρώμασι] κέγχρωμα καὶ

λήλους τοῖς δόρασιν, ἀφροῦ τὰς γενειάδας ἀνάπλεῳ, ὥσπερ κάπροι, θήγοντες τοὺς ὀδόντας· ὑπένευον δ' εὖ ὑπὸ τὰς ἀσπίδας, ὅπως αἱ ἀπὸ τῶν δοράτων προσβολαὶ ἐκπίπτοιεν ἄπρακτοι· εἰ δέ τις ὑπερκύψειε μικρὸν ἐξ ἐκείνης, θάτερος ἰδὼν, εὐθὺς ἐπὶ πρόσωπον ἐκίνει τὸ δόρυ· ἀλλ' ἐπειδὴ ὑποβλέποντες ἀλλήλους διὰ τῶν ὀπῶν τῆς ἀσπίδος, προὐφυλάττοντο, ἐπὶ πολὺ αὐτοῖς ἄπρακτον τὸ δόρυ ἑκατέρωθεν ἐξωλίσθαινεν· οἱ δὲ θεώμενοι, πολλῷ ἱδρῶτι ῥεόμενοι, δεδιότες περὶ τοῖς φίλοις, ἐν πλείονι ἦσαν ἑκατέρωθεν ἀγωνίᾳ, ἢ αὐτοὶ οἱ ἀγωνιζόμενοι· ἐν δὲ τούτῳ Ἐτεοκλῆς, ἐπειδὴ παρεκκυλίσας λίθον τινὰ προκείμενον, ὑπεξεῖλε τῆς ἀσπίδος τὸν πόδα, τοῦτο Πολυνείκης ἰδὼν, διήλασε εἰς τὴν κνήμην τὸ δόρυ· κἀνταῦθ' ὁ τῶν Ἀργείων ςρατὸς ἀνηλάλαξεν ἅπας. ὁ δὲ τρωθεὶς αὖθις ἰδὼν ἐν τούτῳ τὴν ἀσπίδα τοῦ πολεμίου μικρὸν ἐκρυεῖσαν αὐτῷ τοῦ ὤμου, βαλὼν ἐς τὸ ςῆθος αὐτοῦ, ἀνέῤῥωσε τὴν ἐλπίδα τοῖς ἀπογόνοις τοῦ Κάδμου· κἄπειδὴ ἐν τούτῳ κατεθλάσθη αὐτῷ τὸ δόρυ, ἀναχωρήσας μικρὸν ἐπὶ πόδα, καὶ λαβὼν λίθον, καταθραύει τὸ δόρυ καὶ τοῦ ἑτέρου· κἀνταῦθ' ὁ ἀγὼν ἀπέβη ἐξ ἴσου, ἀμφοτέροις τῶν δοράτων κατεαγέντων. Ἐντεῦθεν τοίνυν

---

κέρχρωμα τὸ περὶ τὴν ἀσπίδα δηλοῖ ὑπογείσωμα, ὑφ' ὃ καὶ ὀπαὶ ἦσαν, εἰς στενὸν ἔξωθεν ἀπολήγουσαι, δι' ὧν ὁρῶντες τοὺς ἐναντίους, προεφυλάττοντο. 1391. Ἴχνους ὑπόδρομον] μετακινῶν τὸν λίθον ὑπὸ τὸ ἴχνος ὄντα, ἢ τὸν ὑποτέμνοντα καὶ κωλύοντα τὸ ἴχνος, ἐξέφηνε τὸν πόδα. 1393. Πληγὴν] τόπον, δέχεσθαι πληγὴν ὑπὸ δορός. 1396 Μόχθῳ] ἐν τῷ μοχθεῖν καὶ ἀγωνίζεσθαι τὸν

Ἐς ταὐτὸν ἧκον, συμβαλόντε δ' ἀσπίδας
Πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.
Καί πως νοήσας Ἐτεοκλῆς, τὸ Θεσσαλὸν
Εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός.
Ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
Λαιὸν μὲν ἐς τοὔπισθεν ἀμφέρει πόδα,
Πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος·
Προβὰς δὲ κῶλον δεξιὸν, δι' ὀμφαλοῦ
Καθῆκεν ἔγχος, σφονδύλοις τ' ἐνήρμοσεν.
Ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
Ξὺν αἱματηραῖς σταγόσι Πολυνείκης πιτνεῖ.
Ὁ δ', ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
Ξίφος δικὼν ἐς γαῖαν, ἐσκύλευέ νιν,
Τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
Ὃ καί νιν ἔσφηλ'· ἔτι γὰρ ἐμπνέων βραχὺ,
Σώζων σίδηρον ἐν λυγρῷ πεσήματι,
Μόλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών·
Γαῖαν δ' ὀδὰξ ἑλόντες ἀλλήλοιν πέλας,
Πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.
ΧΟ. Φεῦ, φεῦ κακῶν σῶν Οἰδίπους, ὅσον στένω·
Τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός·
ΑΓ. Ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
Ὡς γὰρ πεσόντε παῖδ', ἐλειπέτην βίον,
Ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπιτνεῖ,
Σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.
Τετρωμένους δ' ἰδοῦσα καιρίας σφαγὰς,
Ὤμωξεν· ὦ τέκν', ὑστέρα βοηδρόμος

σπασάμενοι τὰ ξίφη ἐξ ὑπαρχῆς, ἐχώρουν ὁμόσ' ἐπ' ἀλλήλους. καὶ συμβαλόντες ἀσπίδα πρὸς ἀσπίδα, πολὺν ἀγῶνα ἀμφιῤῥέποντα εἶχον· κἀν τούτῳ Ἐτεοκλῆς Θεσσαλικῷ ἐχρήσατο στρατηγήματι· ὡς γὰρ οὐδὲν ἐδύνατο δρᾷν, ἀναχωρήσας μὲν μικρὸν ἐπὶ τὸν εὐώνυμον πόδα, προκαλύψας δὲ τὰ περὶ τὴν γαςέρα, προτείνει τὸν δεξιὸν, καὶ ὠθεῖ παραχρῆμα τὸ ξίφος διὰ τοῦ ὀμφαλοῦ τοῦ ἐχθροῦ ἔςτ' ἐπὶ τοὺς σφονδύλους· ὁ δὲ, ἐπικλιθεὶς ἐπὶ θάτερα, ἔπεσεν ἐν τῷ λύθρῳ· Ἐτεοκλῆς δὲ, πεποιθὼς ἤδη τῇ νίκῃ, καταβαλὼν τὸ ξίφος, ἐσκύλευε τὸν ἐχθρὸν πεπτωκότα, μηκέτι προσέχων, ὡς μηδὲν ὑφορώμενος. διὸ καὶ ἀπόλωλε. Πολυνείκης γὰρ ἔμπνέων ἔτι μικρὸν, καὶ μόλις ὠθήσας κατὰ τῆς ἐκείνου γαστρὸς τὸ ξίφος, διήλασεν εἰς τὸ ἧπαρ· οὕτω δὴ ἐπ' ἀλλήλοις πεσόντες, ὀδὰξ ἐλάβοντο γαίας ἀμφότεροι, μηδὲν περὶ ὧν ἡ ἀμφισβήτησις ἦν διορίσαντες.

**ΧΟ.** Φεῦ, φεῦ· ὦ Οἰδίπους, θρηνῶ ἐπὶ τοῖς σοῖς δυςυχήμασιν· ἔοικε δ' ὁ θεὸς τὰς σὰς πληρῶσαι ἀράς.

**ΑΓ.** Ἄκουσον δὲ νῦν τἀπὶ τούτοις· ἅμα γὰρ πεσοῦσιν ἐπ' ἀλλήλοις ἐκείνοις παρεγένεθ' ἡ μήτηρ σὺν Ἀντιγόνῃ τῇ θυγατρί· καὶ ἰδοῦσ' αὐτοὺς τετρωμένους καιρίως, ἀνῴμωξεν, ὦ τέκνα, εἰποῦσα, ὡς ὑςέρησα τῆς βοηθείας,

---

Πολυνείκην ἀπεγυμνώθη αὐτῷ πρὸς ὀλίγον ὁ ὦμος. 1406. Ἀμφιβάντα] ἀμφιῤῥεπῆ, 1408. ὁμιλίᾳ χθονὸς συνηθείᾳ, ἢ οὐκ οἶδα τί φῶ. 1432. Ὑςέρα βοηδρόμος πάρειμι] καίτοι δραμοῦσα, ὑςέρησα· ἔςι δὲ τὸ βοηδρομεῖν

Πάρειμι· προσπιτνοῦσα δ' ἐν μέρει τέκνα,
Ἔκλα', ἐθρήνει, τὸν πολὺν μαστῶν πόνον
Στένουσ', ἀδελφὴ θ' ἡ παρασπίζουσ' ὁμοῦ·
Ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς
Προδόντ' ἀδελφὼ φιλτάτω· στέρνων δ' ἄπο
Φύσημ' ἀνεὶς δύσκλητον Ἐτεοκλῆς ἄναξ,
Ἤκουσε μητρὸς, κἀπιθεὶς ὑγρὰν χέρα,
Φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
Προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
Ὁ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν
Γραῖάν τε μητέρ', εἶπε Πολυνείκης τάδε.
Ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δὲ σὲ
Καὶ τήνδ' ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
Φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
Θάψον δέ μ', ὦ τεκοῦσα καὶ σὺ, σύγγονε,
Ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
Παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
Χθονὸς πατρῴας, κεὶ δόμους ἀπώλεσα.
Ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ,
Μῆτερ (τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι)
Καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
Ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
Μήτηρ δ', ὅπως ἐσεῖδε τήνδε συμφορὰν,
Ὑπερπαθήσασ', ἥρπασ' ἐκ νεκροῦ ξίφος,
Κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
Ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
Θανοῦσα κεῖται, περιβαλοῦσ' ἀμφοῖν χέρας.

κυρίως τὸ μετὰ βοῆς δραμεῖν εἰς βοήθειαν. 1439. Ὑγρὰν] ἀδύνατον, ῥέουσαν

καὶ ἐπιπεσοῦσα ἐν μέρει, ὠλοφύρετο ἀμφοτέρους, οὓς ἐθήλασε, καλινδουμένους ἤδη τῷ λύθρῳ· συνωλοφύρετο δ' ἐγγὺς οὖσα καὶ ἡ ἀδελφὴ, ὦ γηροβοσκοὶ τῆς μητρὸς, ὦ τοὺς ἐμοὺς προδόντες γάμους φίλτατοι ἀδελφοί. Ἐν γοῦν τούτοις Ἐτεοκλῆς, ὡς ἤκουσε θρηνούσης τῆς μητρὸς, στενάξας μὲν ἐνδόμυχον, φωνὴν δὲ οὐχ οἷός τε ὢν προέσθαι, προτείνας μάλ' ἀβληχρὰν τὴν χεῖρα, προσεῖπεν αὐτὴν, χλωρὸν δάκρυ κατὰ τῶν παρειῶν καταλείβων. Πολυνείκης δ' αὖ ἔμπνους ἔτι ὢν, εἶπε τάδε. ὦ μῆτερ, ἀπωλόμεθα· οἰκτείρω δέ σέ τ' αὐτὴν, καὶ τὴν ἀδελφὴν, καὶ τὸν ἀδελφὸν αὐτὸν κείμενον· ἐχθρὸς μὲν ἐκ φίλου ἐγένετο, ἀλλά γε φιλῶ· ἱκετεύω δ', ὦ μῆτερ, καί σε, ὦ Ἀντιγόνη, θάψαι με ἐν γῇ πατρῴᾳ, τὴν τῆς πόλεως ὀργὴν ἀφελοῦσα, ὅπως τούτου γοῦν τύχω, τῆς πατρῴας ἀποτυχὼν οἰκίας· νῦν δὲ σύγκλεισόν μοι, ὦ μῆτερ, τὸ ὄμμα· ἤδη γὰρ καλύπτει με σκότος· ταῦτα δ' εἰπὼν, καὶ τὴν τῆς μητρὸς χεῖρα ἐπιθεὶς τοῖς βλεφάροις, χαίρετε, εἶπεν. Ἐν τούτῳ οὖν ἐξέπνευσαν ἄμφω· ἡ δὲ ἀθλία μήτηρ, μηκέθ' οἵα τε οὖσα ἀντισχεῖν πρὸς τηλικοῦτον πάθος, ἀναλαβοῦσα ἀπὸ μέσων τὸ ξίφος, διήλασε διὰ τοῦ αὐχένος αὐτὴ ἑαυτῆς, καὶ νῦν κεῖται ἐπὶ τοῖς φιλτάτοις, περιβαλοῦσα ἀμφοτέροις τὰς χεῖρας. Ἐκ δὴ

κάτω ὡς τὰ ὑγρὰ, μὴ δυναμένην ἐνεργεῖν. 1452. Τίθησιν αὐτὸς] ἐν τῷ λέγειν ταῦτα λαβὼν αὐτὸς τὴν χεῖρα τῆς μητρὸς, ἐπέθηκα τοῖς ἑαυτοῦ ὀφθαλ-

Ἀνῇξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων,
Ἡμεῖς μὲν, ὡς νικῶντα δεσπότην ἐμὸν,
Οἱ δ', ὡς ἐκεῖνον· ἦν δ' ἔρις στρατηλάταις,
Οἱ μὲν, πατάξαι πρόσθε Πολυνείκην δορὶ,
Οἱ δ', ὡς θανόντων οὐδ' αμοῦ νίκη πέλοι.
Κἀν τῷδ' ὑπεξῆλθ' Ἀντιγόνη στρατοῦ δίχα.
Οἱ δ' εἰς ὅπλ' ᾖσσον· εὖ δέ πως προμηθίᾳ
Καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι.
Κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον ἐσπεσόντες ἐξαίφνης στρατόν.
Κοὐδεὶς ὑπέστη, πεδία δ' ἐξεπίμπλασαν
Φεύγοντες, ἔῤῥει δ' αἷμα μυρίον νεκρῶν,
Λόγχαις πιτνόντων· ὡς δ' ἐνικῶμεν μάχῃ,
Οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
Οἱ δ' ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν,
Σκυλεύματ' εἴσω τειχέων ἐπέμπομεν.
Ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
Νεκροὺς φέρουσιν ἐνθάδ' οἰκτίσαι φίλοις.
Πόλει δ' ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
Τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι·

ΧΟ. Οὐκ εἰς ἀκοὰς ἔτι δυςυχία
Δώματος ἥκει· πάρα γὰρ λεύσσειν
Πτώματα νεκρῶν τρισσῶν ἤδη
Τάδε πρὸς μελάθροις, κοινῷ θανάτῳ
Σκοτίαν αἰῶνα λαχόντων.

---

μεῖζ· ὡς δ' ἐν παρενθήκῃ ἀναγνωςέον τοῦτο. 1460. Ἀνῇξε] ἀνήϊξεν ἐκ τοῦ

τούτων ἔριδος ἀγὼν ἦν τοῖς ϛρατοῖς ἑκατέροις, τοῖς μὲν, ὡς Ἐτεοκλέους· τοῖς δὲ, ὡς Πολυνείκους νενικηκότος· οἱ μὲν γὰρ ἐκεῖνον ἔφασαν πρῶτον καθελεῖν Πολυνείκην· οἱ δὲ, ἀμφοῖν πεσόντοιν, νίκην μηδετέρου γενέσθαι· κἀν τούτῳ ἡ μὲν Ἀντιγόνη ὑπεξῆλθεν ἐκ μέσων τῶν ϛρατῶν· οἱ δὲ ᾖσαν εἰς χεῖρας ἐξ ὑπαρχῆς· Ἀλλ' ἐπειδὴ ἡμεῖς ὀρθρῶς φρονοῦντες, ἦμεν ἐν ὅπλοις, ἐπιπεσόντες ἔνοπλοι ἀόπλοις τοῖς ἐναντίοις, ἐτρέψαμεν εὐθὺς αὐτοὺς εἰς φυγὴν, μηδενὸς εἰς ἀλκὴν τρεπομένου· ἐντεῦθεν δὲ αὐτῶν φόνος πολὺς ἦν ἀνὰ πᾶν τὸ πεδίον, καὶ τὸ πάθος αὐτοῖς ἐγένετο μυριόνεκρον, ὥστε τὸ αἷμα ῥέον κατέκλυζε τοὔδαφος· οὕτω δὲ τῆς νίκης ἐχούσης τέλος, οἱ μὲν ἡμῶν τρόπαιον εἴδωλον ἵστασαν τοῦ Διός· οἱ δὲ τοὺς Ἀργείους συλῶντες, ἔπεμπον εἰς τὴν πόλιν τὰ σκῦλα· ἄλλοι δὲ φέρουσιν ὧδε τοὺς νεκροὺς μετὰ Ἀντιγόνης, πρὸς οἶκτον αὐτοὺς τοῖς φίλοις προθήσοντες· τοιοῦτον τέλος τῇ πόλει ὁ ἀγὼν οὗτος ἔσχεν, ἅμα θριάμβῳ καὶ πένθει μεμιγμένον.

ΧΟ. Οὐκέτ' ἀκούομεν, ἀλλ' ὁρῶμεν τὴν συμφοράν. πάρεισι γὰρ ἡμῖν ἐγγὺς τρεῖς οἵδε νεκροὶ κομιζόμενοι, κοινῇ τύχῃ καταβάντες εἰς Ἄδου.

---

ἀΐσσω. τὸ δὲ εἰς ἔριν λόγων, δύναμιν τοῦ ἐρίζοντος ἔχει· ὡς εἰ ἔλεγεν· ἀνήϊξαν εἰς λόγους ἐριστικοὺς λέγοντες, ἢ ἀποδεικνύοντες, οἱ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο· ταὐτὰ δ' εἰρήσθω καὶ περὶ τῶν ἐν τῷ ἑπομένῳ ϛίχῳ· οἷον, ἦν δ' ἔρις στρατηλάταις ἀντὶ τοῦ εἰπεῖν, τοῖς μὲν, τοῖς δὲ, ὁ δὲ ὤρθωσε τὸν λόγον, οἱ μὲν, οἱ δὲ, εἰπών· τὸ γὰρ, ἔρις ἦν, εἴληπται αὐτῷ ἀντὶ τοῦ, ἤριζον οἱ ϛρα-

ΑΝ. Οὐ προκαλυπτομένα
Βοστρυχώδεος ἁβρὰ παρηΐδος,
Οὐδ' ὑπὸ παρθενίας τὸν ὑπὸ βλεφάροις
Φοίνικ' ἐρύθημα προσώπου,
Αἰδομένα, φέρομαι βάκχα νεκύων,
Κράδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
Στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
Ἁγεμόνευμα νεκροῖσι πολύστονον.
Αἰ αἰ, ἰώ μοί μοι!
Ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος.
Ὤ μοί μοι, Θῆβαι!
Σὰ δ' ἔρις, οὐκ ἔρις, ἀλλὰ φόνῳ φόνος
Οἰδιπόδα δόμον ὤλεσε, κρανθεὶς
Αἵματι δεινῷ, αἵματι λυγρῷ·
Τίνα προσῳδὸν,
Ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ
Δάκρυσι, δάκρυσιν, ὦ δόμος, ὦ δόμος,
Ἀνακαλέσομαι,
Τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα,
Ματέρα καὶ τέκνα, χάρματ' Ἐριννύος;
Ἃ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε,
Τᾶς ἀγρίας ὅτε δυσξύνετον ξυνετὸς μέλος ἔγνω,
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.
Ἰώ μοι, πάτερ!
Τίς Ἑλλὰς, ἢ βάρβαρος, ἢ

---

κηλᾶται, οἱ μὲν, τοῦτο· οἱ δὲ, ἐκεῖνο· 1486. Βοστρυχώδεος ἁβρὰ] οὐ προκαλυπτομένη κατὰ τὰ ἁβρὰ τῆς παρειᾶς τοῖς βοστρύχοις· σύνηθες δὲ καὶ νῦν ἔτι

ἈΝ. Ὥσπερ Βάκχη νεκρῶν ἤδη φέρομαι, πολύςονος αὐτοῖς ἡγεμὼν, τάτε κρήδεμνα τῆς κόμης ἀποσεισαμένη, κἀν τῷ στήθει τὸν ἐξ ἁβρότητος τῆς ἐσθῆτος χαλάσασα κόσμον· μηκέτι μήτε τὸ τῆς παρειᾶς λιπαρὸν προκαλυπτομένη βοςρύχοις, μήθ᾽ ὑπὸ παρθενίας τὸ φοινικοῦν τοῦ προσώπου αἰδουμένη ἐρύθημα. Αἶ, αἶ· ἰώ μοι· ἐπώνυμος ἄρ᾽ ἔφυς, ὦ Πολύνεικες σύγε (οἴμοι Θῆβαι)· ἡ δὲ σὴ ἔρις, τί φημι ἔρις; φόνος ὅλως, ἑτέρῳ φόνῳ κριθεὶς, καὶ αἵματι μιγεὶς, τὸν τοῦ Οἰδίποδος οἶκον ὅλως διώλεσεν· ὦ οἶκος, οἶκος, τίνα θρηνῳδὸν, τίνα μουσοπόλον ςοναχὴν πρὸς δάκρυα ἐπὶ δάκρυσιν ἕξω, τρία ἤδη σώματα φέρουσα συγγενῆ, μητέρα καὶ δύο ἀδελφοὺς, ἐπιχάρματα πάντ᾽ Ἐριννύος; ἣ τὸν τοῦ Οἰδίποδος αὐτόπρεμνον ἀνέτρεψεν οἶκον, ὑπόθ᾽ ὁ σοφὸς οὗτος, τὸ τῆς ἀοιδοῦ Σφιγγὸς δυσξύμϐλητον ἐξηγησάμενος αἴνιγμα, ἀνεῖλεν αὐτήν.

Ἰώ μοι μοι πάτερ, τίς ποθ᾽ Ἑλληνὶς, ἢ βάρβαρος, ἢ

ταῖς πενθούσαις τῶν γυναικῶν ἀναδεῖν καὶ περιστέλλειν τοὺς βοστρύχους ὑπὸ τὴν καλύπτραν· τὸ δὲ φοίνικα ἀρσενικῶς ἐσχημάτισεν, ὡς οὐσιαστικόν· οὗ ἕπεται ἐπεξηγηματικῶς τὸ, ἐρύθημα· 1489. Βάκχα νεκύων] ἐξ ἀναλογίας τοῦ βάκχη Διονύσου· ὥσπερ γὰρ ἐκεῖναι παραγυμνούμεναι, ὑμνοῦσι Διόνυσον, οὕτω καὶ ὧδε ἀποσεισάμεναι ὑπὸ τοῦ πάθους τὴν τῆς παρθενίας αἰδῶ, θρηνοῦσι τοὺς προκειμένους νεκρούς. 1491. Στολίδα κροκόεσσαν] στολίδα λέγει τὴν περιστολὴν καὶ περιπτυχὴν τῆς ἐσθῆτος περὶ τὸ στῆθος· κροκόεσσαν δὲ, τὴν τοῦ κρόκου χροιὰν ἔχουσαν, ἢ ὡς ἄλλοι τὴν ἐκ κρόκης στολήν· ἥτις ἦν τρυφὴ τῶν παρθένων· ὡς καὶ ἀνωτέρω στίχ. 233. Κόμας ἐμᾶς δεῦσαι, παρθένιον χλιδάν· τὸ δὲ ἡγεμόνευμα εὐθεῖά ἐστι πρωτοπροσωποῦσα, εἰς τὸ φέρομαι ἀποδιδομένη. ὁ δὲ νοῦς, στένω νεκροῖς ἡγουμένη, καὶ ἐξάρχουσα θρήνων· [illegible]. Τίς Ἑλλὰς, ἢ βάρβαρος] τίς Ἑλληνὶς ἢ βάρβαρος γυνή; κατὰ τὸ [illegible]

Τῶν προπάροιθ' εὐγενετᾶν
Ἕτερος ἔτλα κακῶν τοσῶνδ'
Αἵματος ἁμερίου
Τοιάδ' ἄχεα φανερὰ, τάλαιν'
Ὡς ἐλελίζω· τίς ἄρ' ὄρ-
Νις δρυὸς ἢ ἐλάτας
Ἀκροκόμοις ἀμφὶ κλάδοις
Ἑζομένα μονομά-
Τορος ὀδυρμοῖς ἐμοῖς ἀχήσει συνῳδός;
Αἴλινον αἰάγμασιν, ἃ
Τοῖσδε προκλάω, μονάδ' αἰ-
Ὦνα διάξουσα τὸν ἀ-
Εὶ χρόνον ἐν λειβομένοισιν δακρύοισιν,
Τίνα ἰαχήσω;
Τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας
Σπαραγμοῖσιν ἀπαρχὰς βάλω;
Ματέρος ἐμᾶς διδύ-
Μοισι γάλακτος παρὰ μαστοῖς,
Ἢ πρὸς ἀδελφῶν
Οὐλόμεν' αἰκίσματα δισσῶν;
Ὀτοτοὶ, λίπε σοὺς δόμους,
Ἀλαὸν ὄμμα φέρων, πάτερ
Γεραιὲ, δεῖξον, Οἰδίποδα,
Σὸν αἰῶνα μέλεον, ὃς ἐπὶ
Δώμασιν ἀέριον σκότον ὄμμασι σοῖσι βαλὼν, ἕλ-

---

Ἑλλὰς φωνὴ, τὸ οὐσιαστικὸν ἀντὶ ἐπιθέτου. 1512. Αἵματος ἁμερίου] ἀποδιδόσθω τοῦτο μᾶλλον εἰς τὸ ἕτερος ἀνωτέρω· αἷμα δὲ ἡμέριον τὸ ἐφήμερον, τὸ ἀνθρώπινον πρὸς ἀντιδιαστολὴν τοῦ αἵματος τῶν θεῶν τοῦ ἀθανάτου· 1514. Ἐλελίζω] ἢ τὸ θρηνητικὸν ἐλελεῦ, σημαίνει· ἢ ἐνδοτέραν ταραχὴν τῆς καρδίας. 1517. Μονομήτορος] τῆς μεμονωμένης τῆς μητρὸς, τῆς ὀρφανῆς

τίς ἕτερος τῶν πάλαι εὐγενείᾳ αἵματος σεμνυνομένων τοσούτων κακῶν ἄχθος ἤρατο πώποτε; ὦ τάλαιν' ἐγὼ, ὅπως ὀλοφύρομαι· ἀλλὰ τίς ὄρνις, ἐπ' ἀκροτάτων κλάδων δρυὸς, ἢ ἐλάτης καθεζομένη, συνεπάσει μοι τοῖς θρήνοις, ὀρφανῇ γενομένῃ· φεῦ, ὅπως θρηνοῦσα ἡ τάλαινα καὶ ὀλοφυρομένη, διάξω βίον μονήρη καὶ θρηνητικὸν, ἐφ' οἷς τούτων καταχέω δακρύοις, μεμονωμένη τὸν ἅπαντα χρόνον· ἀλλὰ τίνα πρῶτον ὀλοφυροῦμαι; τίνι ἀπαρχὰς τῶν ἐμῶν βοστρύχων σπαράξασα, πρῶτον ἀποδῶ; πότερον τοῖς μαστοῖς τοῖς μητρὸς, οὓς ἐθήλασα, ἢ τοῖς θανασίμοις τραύμασι τῶν ἐμαυτοῦ ἀδελφῶν; αἶ, αἶ, πάτερ, δύστηνε, ἀόμματε, ἔξελθ', ἔξελθε τοῦ οἰκήματος, ὁ τὸ βαθὺ γῆρας ἐν σκότῳ πάσας παρατείνων ἡμέρας· πρόφηνον τὴν σαυτοῦ δυστυχῆ πο-

---

αἰνίττεται δέπως τὸ περὶ τὴν Φιλομήλην καὶ Πρόκνην πάθος. 1519. Αἴλινον αἰάγμασι] τοῦτο δὲ συντακτέον μᾶλλον ὡδί. καὶ παραφραστέον ἀντικαταλλάττοντες τὰ μέρη τοῦ λόγου εἰς τὸ δέον ὡδί. Τίνα αἴλινον ἰαχήσω αἰάγμασιν; ἢ τοῖσδε προκλαίουσα, διάξω μονήρη βίον τὸν ἅπαντα χρόνον ἐν δακρύοις; τὸ γὰρ προκλαίω διάξουσα σχῆμά ἐστι τοῦ λόγου, τὸ ἑπόμενον ἀντὶ τοῦ ἡγουμένου· τοιοῦτον δὲ καὶ τὸ μικρὸν ἀνωτέρω, ἔγνω φονεύσας, ἀντὶ τοῦ, γνοὺς ἐφόνευσεν· ἀεὶ γὰρ τὸ προηγούμενον τῆς ἐνεργείας εἰς μετοχὴν μεταβάλλει. οὕτω δὲ ἐννοείσθω ταῦτα, καὶ εἴτις ἀποδοίη τὸ Ἆ οὐ πρὸς τὴν Ἀντιγόνην, ἀλλὰ πρὸς τὸ Αἴγμασι· δυνατὸν δ' οὖν καὶ ἐπίτηδες τὸν ποιητὴν συνταράξαι ἄλλως τὸν λόγον ἐν τοιούτῳ τῆς νεάνιδος πάθει, καὶ τὸ, Τίνα ἰαχήσω, ἐκλαβεῖν δεῖ, ὡς ἐξ ἑτέρας ἀρχῆς. εἰ γὰρ παρίδοιμεν τὸ Διάξουσα ὡς ἀναπόδοτον, ὀρθωθήσεται ὁ λόγος ὡδί· Αἴλινον (θρηνητικὸν) μονάδ' αἰῶνα διάξω τὸν ἀεὶ χρόνον ἐν δάκρυσιν, ἐπὶ τοῖς αἰάγμασιν, ἃ τούτοις προκλαίω· ἔπειτα, τίνα ἰαχήσω καὶ τλ. 1532. Οἰδίποδα] κλητικὴ πτῶσις τοῦτο· διττὸς γὰρ ὁ σχηματισμὸς αὐτοῦ, ὁ Οἰδίπους τοῦ Οἰδίπου καὶ Οἰδίποδος· καὶ ὁ Οἰδιπόδας τοῦ Οἰδιπόδα· τὸ δὲ Μακρόπνουν καὶ Μακρόπουν (ὅ ἐστι παρατεταμένον) ἐν

Κεις μακρόπνουν ζωάν.
Κλύεις, ὦ κατ' αὐλὰν ἀλαίνων γεραι-
Ὸν πόδα, δύστανος
Δεμνίοις ἰαύων;
ΟΙ. Τί μ', ὦ παρθένε, βακτρεύμασι τυ-
Φλοῦ ποδὸς ἐξάγαγες εἰς φῶς
Λεχήρη σκοτίων ἐκ θαλάμων
Οἰκροτάτοισιν δακρύοισιν,
Πολιὸν αἰθέρος τ' ἀφανὲς εἴδωλον, ἢ
Νέκυν ἔνερθεν, ἢ
Πτανὸν ὄνειρον;
ΑΝ. Δυστυχὲς ἀγγελίας ἔπος οἴσῃ,
Ὦ πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
Φάος, οὐδ' ἄλοχος, παρὰ βάκτροις
Ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει,
Ὦ πάτερ, ὤ μοι.
ΟΙ. Ὤμοι ἐμῶν παθέων!
Πάρα γὰρ στενάχειν, καὶ τάδ' ἀϋτεῖν.
Τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ,
Πῶς ἔλιπον φάος; ὦ τέκνον, αὔδα.
ΑΝ. Οὐκ ἐπ' ὀνείδεσιν, οὐδ' ἐπιχάρμασιν,
Ἀλλ' ὀδύναισι λέγω· σὸς ἀλάστωρ
Ξίφεσιν βρίθων
Καὶ πυρὶ καὶ σχετλίαισι μάχαις, ἐπὶ παῖδας ἔβα σούς,
Ὦ πάτερ, ὤ μοι!
ΟΙ. Αἶ αἶ.
ΑΝ. Τί τάδε καταστένεις;
ΟΙ. Τέκνα!
ΑΝ. Δι' ὀδύνας ἂν ἔβας,
Εἰ τὰ τέθριππά γ' ἐς ἅρματα λεύσσων
Ἀελίου, τάδε σώματα νεκρῶν
Ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.

λιὰν ἐξιών. ἀκούεις μου, ὦ δύστηνε πάτερ, νῦν ἐνταῦθα πλανώμενος, καὶ τοὺς τῷ γήρᾳ ἀβληχρούς σοι πόδας ἐπὶ τῆς κλίνης ἐπαναπαύων;

**ΟΙ.** Τέκνον, τί ποθ' οὕτως οἰκτροτάτοις θρήνοις ἐξήγαγες ὧδε ἐκ σκοτεινῶν δωμάτων γέροντα ἤδη πολιὸν, κλινήρη ἀεὶ, τυφλῷ σκιμπτόμενον ποδὶ, εἴδωλον αἰθέρος, νεκρὸν ἐξ Ἅδου κευθμῶνος, καὶ ὅλως ἱπτάμενον ὄνειρον;

**ΑΝ.** Δυστυχεστάτην ἀγγελίαν ἀκούσῃ, ὦ πάτερ· οὐκέτι σοι οὔτε τέκνα εἰσὶν ἐν τοῖς ζῶσιν, οὔτε γυνή· ἡ διηνεκῶς παρακαθημένη, πολλῷ μόχθῳ τὸν σὸν σαλεύοντα ἤδη ἴθυνε πόδα. οἴμοι πάτερ!

**ΟΙ.** Οἴμοι τῶν ἐμαυτοῦ κακῶν· πάρεστι γὰρ στένειν πάρεστι θρηνεῖν ταῦτα· ἀλλὰ σήμανον, ὦ τέκνον, πῶς οὕτω τρεῖς ἀπολώλασιν ἅμα;

**ΑΝ.** Εἰ δεῖ τἀληθὲς εἰπεῖν, πάτερ, μήτ' ὀνειδίζουσαν, μήτ' ἐφηδομένην, ἀλλ' ἐξ ὀδύνης δεινῆς, ὁ σὸς ἐστιν ἀλάστωρ, ξίφει μὲν καὶ πυρὶ ἐπιθέμενος, εἰς δὲ τοὺς σοὺς παῖδας τελευτήσας.

**ΟΙ.** Οἴμοι τῶν κακῶν· αἶ, αἶ, οἴμοι, τέκνα.

**ΑΝ.** Τί ποτε στένεις ταῦτα; τί γὰρ ἂν ἔδρασας, εἰ ἐξῆν σοι αὐτοῖς ὀφθαλμοῖς πρὸς τὰς τοῦ ἡλίου αὐγὰς ἰδεῖν τὰ τούτων σώματα οἰκτρῶς προκείμενα ὧδε;

---

ἄλλοις γράφεται. 1540. Τυφλοῦ ποδὸς] ἔνδοθεν ἐκ τοῦ σκότους, λεχήρη (κλινήρη ὄντα) ἐξάγεις με ἐρειδόμενον βάκτρῳ τυφλοῦ ποδός. 1548. παραβάκτροις θεραπεύμασι] παραστηριγματικαῖς θεραπείαις. 1562. Εἰ τὰ τέθριππα] τὴν ἅμαξαν τοῦ ἡλίου· ἡ δὲ συνθήκη, εἰ ἐπενώμας (διέκρινας) τάδε σώματα

ΟΙ. Τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν.
Ἁ δὲ τάλαιν ἄλοχος τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;
ΑΝ. Δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα,
Τέκεσι μαστὸν ἔφερεν ἔφερεν ἱκέτις ἱ-
Κέταν ἀρομένα.
Εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα
Λωτοτρόφον κατὰ λείμακα λόγχαις
Κοινὸν ἐνυάλιον
Μήτηρ, ὥστε λέοντας ἐναύλους,
Μαρναμένους ἐπὶ τραύμασιν αἵματος,
Ἤδη ψυχρὰν λοιβὰν, φονίαν,
Ἂν ἔλαχ' Ἀΐδας, ὤπασε δ' Ἄρης.
Χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα φάσγανον, εἴσω
Σαρκὸς ἔβαψεν, ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ τέκνοισιν.
Πάντα δ' ἐν αἵματι τῷδε συνάγαγεν,
Ὦ πάτερ, ἁμετέροισι δόμοισιν ἄχη θεὸς, ὃς τάδε
Τᾷδε τελευτᾷ.
ΧΟ. Πολλῶν ὑπῆρξεν Οἰδίπου κακῶν δόμοις
Τόδ' ἦμαρ· εἴη δ' εὐτυχέστερος βίος.
ΟΙ. Οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
Μνήμην τίθεσθαι· τῶνδε δ', Οἰδίπου, λόγων
Ἄκουσον· ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης παῖς σὸς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
Οὔκουν σ' ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι.
Σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μή ποτε,

νεκρῶν αὐταῖς αὐγαῖς τῶν ὀμμάτων, βλέπων τὸ φῶς τοῦ ἡλίου. 1569. Ἱκέ-

ΟΙ. Τῶν μὲν παίδων ἡ μοῖρα οὐκέτ' ἀμφίβολος· ἡ δὲ τάλαινα γυνὴ πῶς κατέστρεψε, τέκνον;

ΑΝ. Τὰ ἑαυτῆς δάκρυα ἐπιδείξασα πᾶσιν, ἔδραμεν ἱκέτις ὡς ἱκέτην τὸν μαστὸν τοῖς παισὶ προτενοῦσα· γενομένη δὲ ἐν τῷ κατὰ τὰς Ἠλέκτρας λωτοτρόφῳ λειμῶνι, κατὰ μέσον τῶν στρατοπέδων εὗρεν αὐτοὺς, ὡς λέοντας ἐν ἄντρῳ, μαχομένους· κἀκ τῶν πολλῶν τραυμάτων τὴν τελευταίαν λείβοντας πικροτάτην λοιβὴν, ἣν παρέσχε μὲν ὁ Ἄρης, ἐδέξατο δὲ ὁ Ἅδης· Οὕτως οὖν ἀπὸ μέσων τῶν νεκρῶν ἀναλαβοῦσα ξίφος, αὐτὴ δι ἑαυτῆς ἐλάσασα τοῦτο, ἔπεσε, περιπαθὴς ἐν μέσοις τοῖς παισὶν τῷ πάθει γενομένη· Οὕτω σοι πάτερ, ὅς τῶν θεῶν ταῦτα δρᾷ, ἐπήνεγκε τήμερον ἐφ' ἡμᾶς συνελὼν πάντα τὰ δεινά.

ΧΟ. Αὕτη ἡ ἡμέρα πολλῶν κακῶν αἰτία τῷ τοῦ Οἰδίποδος οἴκῳ γέγονεν· εἴη δ' οὖν αὐτῷ τό γε λοιπὸν εὐτυχέστερος βίος.

ΚΡ. Οἴκτων μὲν καὶ ὀδυρμῶν ἅλις νῦν· ἀπολοφυραμένοις γὰρ ἤδη ὥρα μεμνῆσθαι τάφου· σὲ δ', ὦ Οἰδίπου, ἐκεῖνο εἰδέναι χρή· ἐπειδὴ Ἐτεοκλῆς, μνηστεύσας Ἀντιγόνην τὴν σὴν θυγατέρα Αἵμονι παιδὶ τῷ ἐμῷ, κατέλιπέ μοι τὴν ἀρχὴν τῆς γῆς ταύτης φερνὴν τοῦ γάμου, οὐκ ἂν δυναίμην μὴ οὐχὶ ἐξελάσαι σε τῆς πόλεως ταύτης. σοῦ γὰρ οἰκοῦντος ὧδε, οὐδέποτ' εὖ πράξειν τὴν πόλιν φησὶ Τειρεσίας· οὐκοῦν ἄπελθ' ὡς τάχος· καὶ λέγω σοι

τις ἱκέτην αἰρομένη] ὡς ἱκέτις αὐτὴ προτείνουσα τὸν μαστὸν αὐτοῖς ὡς ἱκέτην. τὸ δὲ κοινὸν ἐνυάλιον, συγγενικὸν πόλεμον δηλοῖ. 1575. ψυχρὰν λοιβὰν] ἀσυνδέτως ἀναφέρεται εἰς τὸ Εὗρε· σημαίνει δὲ τὴν ψυχρὰν καὶ ἄχαριν τελευταίαν θυσίαν.

Σοῦ τήνδε γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν·
Ἀλλ' ἐκκομίζου· καὶ τάδ' οὐχ ὕϐρει λέγω,
Οὐδ' ἐχρὸς ὤν σοι, διὰ δὲ τοὺς ἀλάστορας
Τοὺς σοὺς δεδοικὼς, μή τι γῆ πάθῃ κακόν.

ΟΙ. Ὦ μοῖρ', ἀπ' ἀρχῆς ὥς μ' ἔφυσας. ἄθλιον
Καὶ τλήμον', εἴ τις ἄλλος ἀνθρώπων ἔφυ.
Ὃν, καὶ πρὶν ἐς φῶς μητρὸς ἐκ γονῆς μολεῖν,
Ἄγονον Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισεν
Φονέα γενέσθαι πατρός ὢ τάλας ἐγώ!
Ἐπεὶ δ' ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
Κτείνει με, νομίσας πολέμιον πεφυκέναι.
Χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ· πέμπει δέ με
Μαστὸν ποθοῦντα θηρσὶν ἀθλίαν βορὰν,
Οὗ σωζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
Ἐλθεῖν Κιθαιρὼν εἰς ἄϐυσσα χάσματα,
Ὅς μ' οὐ διώλεσ', ἀλλὰ δουλεῦσαι τέ μοι
Δαίμων ἔδωκε Πόλυϐον ἀμφὶ δεσπότην.
Κτανὼν δ' ἐμαυτοῦ πατέρ' ὁ δυσδαίμων ἐγὼ,
Ἐς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος,
Παῖδάς τ' ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
Ἀρὰς παραλαϐὼν Λαΐου, καὶ παισὶ δούς.
Οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ' ἐγὼ,
Ὥστ' εἰς ἔμ' ὄμματ' ἔς τ' ἐμῶν παίδων βίον
Ἄνευ θεῶν του ταῦτ' ἐμηχανησάμην·
Εἶεν· τί δράσω δῆθ' ὁ δυσδαίμων ἐγώ;
Τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσειν τυφλοῦ;
Ἥδ' ἡ θανοῦσα; ζῶσά γ' ἂν σάφ' οἶδ' ὅτι.
Ἀλλ' εὔτεκνος ξυνωρίς; ἀλλ' οὐκ ἔστι μοι.
Ἀλλ' ἔτι νεάζων αὐτὸς εὕροιμ' ἂν βίον;
Πόθεν; τί μ' ἄρδην ᾧδ' ἀποκτείνεις, Κρέον;

ταῦτ' οὐ πρὸς ὕβριν, οὐδ' ὡς ἐπεγκείμενος, ἀλλὰ τοὺς σοὺς ἀποφεύγων ἀλάςορας, ἵνα μή τι κακὸν γένηται τῇ πόλει.

ΟΙ. Ὦ μοῖρα, ὡς ἄθλιόν με καὶ τλήμονα, εἴπερ τινὰ, ἐξ ἀρχῆς ἐνεφύτευσας· πρῶτον μὲν γὰρ πρὶν εἰς φῶς ἐκ μητρῴας γαςρὸς προελθεῖν, τὸν ἐμαυτοῦ πατέρα ἀνελεῖν Ἀπόλλων ἐθέσπισεν Λαΐῳ· ὢ τάλας ἐγώ! γεννηθέντα δ' ὕςερον ὁ πατὴρ, ἵνα μὴ ὑπ' ἐμοῦ κατά γε τὸ θεοπρόπιον αὐτὸς ἀποθάνῃ, πολέμιον νομίσας, ἐξέθετό με βορὰν γενέσθαι θηρσὶν, ἀπὸ τῆς μητρῴας ἀποσπάσας θηλῆς· ἀλλ' ὤφειλε Κιθαιρὼν ἐκεῖνος εἰς τὸ Ταρτάρου χάσμα τηνικαῦτα πεσεῖν, ὁπότε τοῦ κινδύνου τούτου με διασώσας, παρέδωκε Πολύβῳ δουλεύειν· ἐκ δ' αὖ τούτου πατροκτόνος γενόμενος ὁ τάλας ἐγὼ, τῇ ἐμαυτοῦ μητρὶ νόμῳ γάμου παρανόμως ὡμίλησα, καὶ παῖδας ἐγέννησα ἐξ αὐτῆς, πατὴρ ἅμα καὶ ἀδελφὸς αὐτοῖς γεγονὼς, οὓς νῦν ἀπώλεσα ὁ αὐτὸς, τὰς θεόθεν ἐπ' ἐμὲ ἀρὰς τοῦ Λαΐου ἐπ' αὐτοὺς παραπέμψας, ἀνάγκης μοι, ὡς ἔοικεν, ταύτης ἐκ θεῶν γενομένης· οὐ γὰρ ἐς τοσοῦτον ἐλήλακα συμφορᾶς, ὥς' αὐτόθεν τούς τ' ἐμοὺς ὀφθαλμοὺς ἐξορύξαι, καὶ τοὺς παῖδας ἐς τοῦτο ταῖς ἀραῖς ἐκβιάσαι. Εἶεν· νῦν δὲ τί δράσω ὁ δυσδαίμων ἐγώ; τίς ἔςαι μοι ὁδοῦ ἡγεμών; ἥδ' ἡ θανοῦσα; τοῦτο γὰρ ἂν ἐκείνη, σάφ' οἶδ' ἐγὼ, ἐποίησε περιοῦσα· ἀλλ' οἱ παῖδες; ἀλλὰ συναπώλοντο καὶ αὐτοὶ τῇ μητρί· τάχα δὲ τὸ τῆς ἡλικίας νεάζον, ὡς ἂν φαίη τις, ἱκανόν μοι τὸν βίον πορίζεσθαι; πόθεν καὶ ταῦτα; Τί οὖν, ὦ Κρέον, ἀποκτείνεις με ὧδε; ἀποκτενεῖς γὰρ πάντως



ΔΗΜΟΚ... ...ΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Ἀποκτενεῖς γὰρ, εἴ με γῆς ἔξω βαλεῖς.
Οὐ μὴν ἑλίξας γ' ἀμφὶ σὸν χεῖρας γόνυ,
Κακὸς φανοῦμαι· τὸ γὰρ ἐμὸν ποτ' εὐγενὲς
Οὐκ ἂν προδοίην, οὐδέ περ πράσσων κακῶς.

ΚΡ. Σοί τ' εὖ λέλεκται, γόνατα μὴ χρώζειν ἐμὰ,
Ἐγώ τε ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χθόνα.
Νεκρῶν δὲ τῶνδε τὸν μὲν ἐς δόμους χρεὼν
Ἤδη κομίζειν· τόνδε δ', ὃς πέρσων πόλιν
Πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν,
Ἐκβάλετ' ἄθαπτον τῆσδ' ὅρων ἔξω χθονός.
Κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε,
Ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ,
Ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται·
Ἐᾷν δ' ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν·
Σὺ δ', ἐκλιποῦσα τριπτύχων θρήνους νεκρῶν,
Κόμιζε σαυτὴν, Ἀντιγόνη, δόμων ἔσω,
Καὶ παρθενεύου, τὴν ἰοῦσαν ἡμέραν
Μένουσ', ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.

ΑΝ. Ὦ πάτερ, ἐν οἵοις κείμεθ' ἄθλιοι κακοῖς!
Ὥς σε στενάζω τῶν τεθνηκότων πλέον!
Οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ' οὐ βαρὺ,
Ἀλλ' εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
Ἀτὰρ σ' ἐρωτῶ τὸν νεωστὶ κοίρανον,
Τί τόνδ' ὑβρίζεις πατέρ', ἀποστέλλων χθονός;
Τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;

ΚΡ. Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε.

ΑΝ. Ἄφρονά γε, καὶ σὺ μωρὸς, ὃς ἐπίθου τάδε.

ΚΡ. Πῶς; τἀντεταλμέν' οὐ δίκαιον ἐκπονεῖν;

ΑΝ. Οὐκ, ἢν πονηρά γ' ᾖ κακῶς τ' εἰρημένα·

ἐκβαλών με τῆς πόλεως τῆςδε· τὸ δὲ τῶν σῶν ἅψασθαι γονάτων οὐκ ἂν δεξαίμην, οὐδ' ἂν προδοίην κἂν κακοῖς τοσούτοις καὶ τηλικούτοις τὸ ἀρχαῖον ἀξίωμα·

**ΚΡ.** Εὖ εἶπας μὴ δεῖν τῶν ἐμῶν γούνων ἅψασθαι, ὥστε χράναι· οὐδὲ γὰρ αὐτὸς ἂν δεξαίμην τὴν ἱκεσίαν, ὥςε μεῖναί σε παρ' ἡμῖν· τῶν δὲ νεκρῶν τούτων τὸν μὲν χρὴ εἰσκομίσαι εἴσω τῆς οἰκίας· τὸν δὲ Πολυνείκους ἐκβλητέον τῶν ὅρων τῆς πατρίδος ἄταφον, ἣν ἦλθε πορθήσων· κηρυχθήτω δὲ καὶ πᾶσι Καδμείοις τάδε, ὡς εἴ τις ἁλῴη, ἢ ςεφάνους προσφέρων, ἢ τὸν νεκρὸν καλύπτων τῇ γῇ, θάνατος αὐτῷ ἡ ζημία· [δεῖ γὰρ ἄκλαυςόν τε καὶ ἄταφον βορὰν αὐτὸν οἰωνοῖς γενέσθαι.] Σὺ δ', ὦ Ἀντιγόνη, ἀπολοφυραμένη ἤδη τοὺς οἰχομένους τούτους, εἴσιθι εἰς τὸν παρθενῶνα, περιμένουσα τὴν ἡμέραν, ᾗ σε δεῖ Αἵμονι συζευχθῆναι.

**ΑΝ.** Φεῦ, ὦ πάτερ, ἐφ' οἵοις καὶ ὅσοις κακοῖς γεγενήμεθα, οἱ πάντων ἀνθρώπων οἰκτρότατοι· ἀλγῶ ἐπὶ σοὶ, ὦ πάτερ· καὶ ἀλγῶ μᾶλλον, ἢ τοῖς τεθνεῶσιν· οὐ γὰρ ἓν, ἢ δύο, ἀλλὰ πάντα τὰ δεινὰ ὁ δαίμων συνειλοχὼς, ἐπὶ σὲ συνήλασε μόνον· εἶεν. Σὺ δ', ὦ Κρέον (μετίτω γάρ μοι πρὸς σὲ ὁ λόγος τὸν νῦν κρατοῦντα) τί ποθ' οὕτως ἐξυβρίζεις, τὸν ἐμὸν πατέρα τῆς πόλεως ἐξελαύνων; τί δὲ καὶ καινοτομεῖς, οὐκ ἐῶν τὸν δύςηνον τοῦτον νεκρὸν τῇ γῇ παραδοῦναι;

**ΚΡ.** Παρ' Ἐτεοκλέους κεκελευσμένον ποιῶ.

**ΑΝ.** Ἄφρων ἐκεῖνος, χ' ὁ κείνῳ πειθόμενος ὁμοίως.

**ΚΡ.** Πῶς; ἄδικον ποιεῖν τὸ ἐντεταλμένον;

**ΑΝ.** Ἄδικον πάντως, ὡς κακῶς προςεταγμένον.

ΚΡ. Τί δ'; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;
ΑΝ. Οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.
ΚΡ. Εἴπεργε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.
ΑΝ. Οὔκουν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα.
ΚΡ. Καὶ τῷ τάφῳ νῦν τὴν δίκην παρασχέτω.
ΑΝ. Τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
ΚΡ. Ἄταφος ὅδ' ὡνὴρ, ὡς μάθῃς, γενήσεται.
ΑΝ. Ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
ΚΡ. Σαυτὴν ἄρ' ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
ΑΝ. Ἀλλ' εὐκλεές τοι, δύο φίλω κεῖσθαι πέλας.
ΚΡ. Λάζεσθε τήνδε, κεἰς δόμους κομίζετε.
ΑΝ. Οὐ δῆτ', ἐπεὶ τοῦδ' οὐ μεθήσομαι νεκροῦ.
ΚΡ. Ἔκριν' ὁ δαίμων, παρθέν', οὐχ ἅ σοι δοκεῖ.
ΑΝ. Κἀκεῖνα κέκριται μὴ 'φυβρίζεσθαι νεκρούς.
ΚΡ. Ὡς οὔτις ἀμφὶ τῷδ' ὑγρὰν θήσει κόνιν.
ΑΝ. Ναὶ πρὸς σὲ τῆσδε μητρὸς Ἰοκάστης, Κρέον —
ΚΡ. Μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.
ΑΝ. Σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ' ἔα.
ΚΡ. Ἓν τοῦτ' ἂν εἴη τῶν ἀπορρήτων πόλει.
ΑΝ. Ἀλλ' ἀμφὶ τραύματ' ἄγρια τελαμῶνας βαλεῖν.
ΚΡ. Οὐκ ἔσθ', ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
ΑΝ. Ὦ φίλτατ', ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
ΚΡ. Οὐκ ἐς γάμους σοὺς ξυμφορὰν κτήσῃ γόοις.
ΑΝ. Ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
ΚΡ. Πολλή γ' ἀνάγκη· ποῖ γὰρ ἐκφεύξῃ λέχος;
ΑΝ. Νὺξ ἄρ' ἐκείνη Δαναΐδων μ' ἕξει μίαν.

---

1665. Ναὶ πρός σε] ναὶ ἱκετεύω σε, πρὸς μητρός· ὅμοιον δὲ καὶ τὸ ἀνωτέρω. στίχ. 923. 1673. Οὐκ εἰς γάμους σοὺς συμφορὰν κτήσῃ γόοις] κλαίουσα γὰρ, συμφορὰν ἄξεις τῷ ἐμῷ υἱῷ γημαμένη· οὐ δὲ γὰρ ἐκείνῳ συμφέρει

ΚΡ. Τί δ'; οὐ δίκαιον τοῦτον βορὰν κυσὶ γενέσθαι;
ΑΝ Οὐκ ἂν εἴη ἔννομον πρὸς τῆς δίκης αὐτῆς.
ΚΡ. Εἴγε φίλος ὢν, ἐχθρὸς τῆς πόλεως γέγονε.
ΑΝ. Οὐκοῦν ἱκανὴν δίκην δέδωκε τῇ τύχῃ.
ΚΡ. Προσοφείλει δὲ τὴν αὐτὴν καὶ τῷ τάφῳ.
ΑΝ. Τί γὰρ ἠδίκησε, τὰ ἑαυτοῦ ἀπαιτήσας;
ΚΡ. Ἄκουσον συλλήβδην, οὗτος οὐ τεύξεται τάφου.
ΑΝ. Ἀλλ' ἐγὼ θάψω, κἂν ἡ πόλις ἀπείπῃ.
ΚΡ. Εἰ βούλει τῷδε καὶ αὐτὴ συνταφῆναι.
ΑΝ. Εὐκταῖον δήπου δύο συγκεῖσθαι φίλους.
ΚΡ. Λαβόντες τήνδ' ὑμεῖς ἀπαγάγεται εἴσω.
ΑΝ. Οὐ δῆτ' ἐμέγε· οὐ γὰρ ἀποσπάσεσθε τούτου.
ΚΡ. Ἀλλ', ὦ κόρη, οὐ σύγε, ἀλλὰ θεὸς κρίνει ταῦτα.
ΑΝ. Καὶ μὴν ὁ αὐτὸς καὶ εἰς νεκροὺς μὴ ὑβρίζειν.
ΚΡ. Οὐδεὶς ἂν ἐπιχέαι τῆς γῆς ἐπὶ τούτῳ.
ΑΝ. Ἱκετεύω σ', ὦ Κρέον, πρὸς τῆσδε τῆς κειμένης.
ΚΡ. Μάτην ἔῤῥιπται λόγος, μηδὲ προσδόκα ταῦτα.
ΑΝ. Ἀλλὰ τόνγε νεκρὸν ἐπίτρεψόν μοι λοῦσαι.
ΚΡ. Ἀπείρηται καὶ τοῦτο παρὰ τῶν ἐν τῇ πόλει.
ΑΝ. Ἀλλ' ἐπιδέσμοις γε τὰ τραύματα συγκρύψαι.
ΚΡ. Οὐδέγε τοῦτο· οὐ γὰρ ἄξιος οὐδ' οὕτω τιμηθῆναι.
ΑΝ. Ὦ φίλτατ' ἀδελφῶν· ἀλλὰ τόγε στόμα καταφιλήσω.
ΚΡ. Παῦσαι τοῖς θρήνοις οὕτω συγχέουσα τοὺς γάμους.
ΑΝ. Ἦ γὰρ οἴῃ ζῶσαν τῷ σῷ υἱῷ συζευχθῆναι;
ΚΡ. Ἀνάγκη γὰρ πᾶσα· ποῖ γὰρ ἂν φύγοις τοῦτο;
ΑΝ. Τῇ πρώτῃ νυκτὶ τὸ τῶν Δαναΐδων μιμήσομαι ἔργον.

---

ταφῆναι τοῦτον. 1675. Νὺξ Δαναΐδων] ἴδε ἀνωτέρω στίχ. 466.

ΚΡ. Εἶδες τὸ τόλμημ', οἷον ἐξωνείδισεν;
ΑΝ. Ἴστω σίδηρος ὅρκιόν τέ μοι ξίφος.
ΚΡ. Τί δ' ἐκπροθυμεῖ τῶνδ' ἀπηλλάχθαι γάμων;
ΑΝ. ξυμφεύξομαι τῷδ' ἀθλιωτάτῳ πατρί.
ΚΡ. Γενναιότης σοι, μωρία δ' ἔνεστί τις.
ΑΝ. Καὶ ξυνθανοῦμαί γ', ὡς μάθῃς περαιτέρω.
ΚΡ. Ἴθ', οὐ φονεύσεις παῖδ' ἐμόν· λεῖπε χθόνα.
ΟΙ. Ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.—
ΑΝ. Ἀλλ' εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ.
ΟΙ. Μέν' εὐτυχοῦσα, τἄμ' ἐγὼ στέρξω κακά.
ΑΝ. Καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
ΟΙ. Πεσὼν, ὅπου μοι μοῖρα, κείσομαι πέδῳ.
ΑΝ. Ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλείν' αἰνίγματα;
ΟΙ. Ὄλωλ'· ἓν ἦμάρ μ' ὤλβισ', ἓν δ' ἀπώλεσεν.
ΑΝ. Οὐκοῦν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν.
ΟΙ. Αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
ΑΝ. Οὐ σωφρονούσῃ γ', ἀλλὰ γενναία, πάτερ.
ΟΙ. Προσάγαγέ νῦν με, μητρὸς ὡς ψαύσω σέθεν.
ΑΝ. Ἰδοὺ, γεραιᾶς φιλτάτῃ ψαῦσον χερί.
ΟΙ. Ὦ μῆτερ, ὦ ξυνάορ' ἀθλιωτάτη.
ΑΝ. Οἰκτρὰ πρόκειται, πάντ' ἔχουσ' ὁμοῦ κακά.
ΟΙ. Ἐτεοκλέους δὲ πτῶμα Πολυνείκους τε ποῦ;
ΑΝ. Τώδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
ΟΙ. Πρόσθες τυφλὴν χέρ' ἐπὶ πρόσωπα δυστυχῆ.
ΑΝ. Ἰδοὺ, θανόντων σῶν τέκνων ἅπτου χερί.
ΟΙ. Ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.
ΑΝ. Ὦ φίλτατον δῆτ' ὄνομα Πολυνείκους ἐμοί.

ΚΡ. Ὁρᾷς τὸ θράσος, ἐν οἵᾳ ἀπονοίᾳ;
ΑΝ. Ναὶ, ἴςω τὸ ξίφος, ὃς μέγιστος ἔμοιγ᾽ ὅρκος.
ΚΡ. Τίς δ᾽ ἡ ἀποςροφή σου τοῦ γάμου ἥδε;
ΑΝ. Τῷ γὰρ πατρί μου συμφυγεῖν τῷδε θέλω.
ΚΡ. Γενναῖον μὲν τοῦτο· μωρὸν δέ πως ἄλλως.
ΑΝ. Καὶ συνθανοῦμαί γε, ἴσθι καὶ τοῦτο σάφα.
ΚΡ. Ἴθι, ἄπελθε· ἀσφαλέςερον γὰρ καὶ τῷ υἱῷ μου ἔςαι.
ΟΙ. Ὦ θύγατερ, ἐπαινῶ μέν σε τῆς προθυμίας πλήν...
ΑΝ. Εἰ γὰρ δεξαίμην γῆμαι, πῶς φεύξῃ μόνος, πάτερ,
ΟΙ. Εὐτυχοίης σύγε, τὸ δ᾽ ἐμὸν ἐμοὶ ἀνάθου μόνῳ.
ΑΝ. Καὶ τίς φροντίσει σου μὴ βλέποντος, ὦ πάτερ;
ΟΙ. Κείσομαι πεσὼν, ᾗ ἂν τὸ φέρον φέρῃ.
ΑΝ. Ὁ δὲ Οἰδίπους, ὁ τὰ αἰνίγματα, ποῦ ποτ᾽ ἔσται;
ΟΙ. Τῆς αὐτῆς ἡμέρας τό,τ᾽ εὐτύχημα καὶ τὸ δυςύχημά μοι.
ΑΝ. Πῶς οὖν οὐκ ἂν συμμετάσχοιμι κἀγὼ τῶν κακῶν;
ΟΙ. Αἰσχρὸν θυγατρὶ πατρὶ τυφλῷ συμφεύγειν.
ΑΝ. Οὐ τῇ γε σωφρονούσῃ, ἀλλὰ γενναῖον, πάτερ.
ΟΙ. Ποῦ ἐςὶν Ἰοκάστη; βούλομαι γὰρ προσψαῦσαι.
ΑΝ. Ὧδε πρόσαγε σὴν γηραλαίαν χεῖρα.
ΟΙ. Ὦ μῆτερ, ὦ σύζυγε, πασῶν ἀθλιωτάτη.
ΑΝ. Οἰκτρὰ κεῖται, διὰ πάντων κακῶν ἐλθοῦσα.
ΟΙ. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης, ποῦ κεῖνται οὗτοι;
ΑΝ. Πάρεισιν ὧδε, κείμενοι σὺν ἀλλήλοις.
ΟΙ. Πρόσαγέ μου καὶ πρὸς τούτους τὴν χεῖρα.
ΑΝ. Προτείνας, ψαῦε καὶ αὐτῶν προκειμένων ἐνταῦθα.
ΟΙ. Ὦ φίλα πτώματα, ἄθλια πατρὸς ἀθλίου τέκνα.
ΑΝ. Ὦ φίλτατον ὄνομα τὸ Πολυνείκους.

---

1689 Ἓν δ᾽ ἀπώλεσεν] ἐν ἄλλοις δὲ, ἥδ᾽ ἀπώλεσε, κεῖται. 1692 Οὐ σωφρονούσῃ γε]

ΟΙ. Νῦν χρησμὸς, ὦ παῖ, Λοξίου περαίνεται.
ΑΝ. Ὁ ποῖος; ἀλλ' ἦ πρὸς κακοῖς ἐρεῖς κακά;
ΟΙ. Ἐν ταῖς Ἀθήναις κατθανεῖν μ' ἀλώμενον.
ΑΝ. Ποῦ; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
ΟΙ. Ἱερὸς Κολωνὸς, δῶμά θ' Ἱππίου θεοῦ.
Ἀλλ' εἶα, τυφλῷ τῷδ' ὑπηρέτει πατρὶ,
Ἐπεὶ προθυμεῖ τῆσδε κοινοῦσθαι φυγῆς.
ΑΝ. Ἴθ' ἐς φυγὰν τάλαιναν,
Ὄρεγε χεῖρα φίλαν,
Πάτερ γεραιὲ, πομπίμαν
Ἔχων ἔμ', ὥστε ναυσίπομπον αὔραν.
ΟΙ. Ἰδοὺ, πορεύομαι, τέκνον,
Σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
ΑΝ. Γενόμεθα, γενόμεθ' ἄθλιαί
Γε δῆτα Θηβαιᾶν μάλιστα παρθένων.
ΟΙ. Πόθι γεραιὸν ἴχνος τίθημι;
Βάκτρα πρόσφερ', ὦ τέκνον,
Τᾷδε, τᾷδε πόδα τίθει, πάτερ·
ΑΝ. Τᾷδε, τᾷδε βάθι μοι
Ὥστ' ὄνειρον, ἰσχὺν ἔχων.
ΟΙ. Ἰὼ, ἰὼ, δυστυχεστάτας
Φυγᾶς! ἐλαύνειν τὸν γέροντά μ' ἐκ πάτρας!
Ἰὼ, ἰὼ, δεινὰ δειν' ἐγὼ τλάς!
ΑΝ. Τί τλάς; τί τλάς; οὐχ ὁρᾷ Δίκα κακοὺς,
Οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.
ΟΙ. Ὅδ' εἰμὶ, μοῦσαν ὃς ἐπὶ καλ-
Λίνικον οὐράνιον ἔβαν.
Παρθένου κόρας
Αἴνιγμ' ἀσύνετον εὑρών.

ΟΙ. Νῦν χρησμὸς ὁ πρὶν τῷ Φοίβῳ πέρας ἔχει.

ΑΝ. Τὸν τίνα λέγεις; μήτι κακὸν ἐπὶ κακοῖς αὖ ἐρεῖς;

ΟΙ. Ἀποθανεῖν με δεῖ Ἀθήνησιν ἐν ἄλῃ.

ΑΝ. Ποῖον δὲ ἄςυ τῶν ἐν αὐτῇ δέξαιταί σε.

ΟΙ. Ὁ ἱερὸς Κολωνὸς καὶ ναὸς τοῦ Ἱππίου θεοῦ· ἀλλὰ δεῦρο σύγε τυφλῷ πατρὶ γενοῦ ἡγεμὼν πρὸς ταῦτα· τοῦτο γὰρ εἵλου αὐτὴ οἴκοθεν συμμετασχεῖν μοι τῆς φυγῆς ταύτης.

ΑΝ. Φεύγωμεν, ὦ πάτερ γεραιέ· ὄρεξον χεῖρα θυγατρὶ φίλῃ φίλην, ὁδηγὸν ἐμὲ ἔχων, ὡς ναυσιπομπὸν πνεῦμα.

ΟΙ. Ἰδοὺ βαδίζω, ἀλλ' ἡγοῦ μοι, ὦ τέκνον.

ΑΝ. Τίς ποτε Παρθένων γέγονεν ἐμοῦ ἀθλιωτέρα;

ΟΙ. Ποῦ σοι τὸν πόδα θῶ; δός μοι, τέκνον, τὸ βάκτρον.

ΑΝ. Τῇδε βαῖνε, δεῦρο τίθει τὸν πόδα, ἰσχὺν ὀνείρου ἔχων.

ΟΙ. Ἰώ, ἰώ, τῆς δυςήνου φυγῆς τῆςδε, γέροντα τοιοῦτον. τῆς ἑαυτοῦ ἐξελαύνεσθαι· ἰώ, ἰώ· ὦ δεινὰ ἐγὼ παθών

ΑΝ. Τί παθών; τί παθών; ἡ δίκη οὐκέθ' ὁρᾷ τοὺς κακούς, οὐδὲ τιμωρεῖται τοὺς πλημμελοῦντας.

ΟΙ. Οὐκ αὐτὸς ὅδ' εἰμι, ὁ τὸ δυσξύμβλητον αἴνιγμα, δι' ὃ μέγα κλέος ἠράμην ἐπὶ σοφίᾳ;

---

Οὐ τοῦτο τῇ γε σωφρονούσῃ. 1704. Ὁ ποῖος] ἄρθρον τὸ Ὁ ἐνταῦθα· ἐπ' ἀντερωτήσει γὰρ τοῦ εἰρημένου, καὶ ἐνάρθρως ἐσθ' ὅτε προφέρονται τὰ πευστικά· οἷον, τὸν τίνα λέγεις; καὶ ὁ τίς ἐρωτᾷς; 1707. Κολωνὸς] πόλις τις ἐν τῇ Ἀττικῇ πρὸς πλησίον Ἀθηνῶν ἵππιον δὲ θεὸν τὸν Ποσειδῶνα λέγει ὡς ἐξαγαγόντα τὸν ἵππον ἐκ θαλάσσης. 1726. Τί τλάς; τί τλάς;] τὴν αὐτὴν τοῦ πατρὸς ὑπολαβοῦσα φωνὴν, δοκεῖ καταμέμφεσθαι ὑπὸ τοῦ πάθους τὴν Πρόνοιαν, ὡς μὴ τιμωρουμένην τοὺς φαύλους. 1728. Ὅδ' εἰμι] ἡ δὲ συνθήκη, Ὅδε αὐτός εἰμι, ὃς τὸ τῆς παρθένου (Σφιγγὸς) ἀσύνετον (δυσεξήγητον) αἴνιγμα εὐ-

ΑΝ. Σφιγγὸς ἀναφέρεις ὄνειδος;
Ἄπαγε, τὰ πάρος εὐτυχήματ' αὐδῶν.
Τάδε σ' ἐπέμενε μέλεα πάθεα,
Φυγάδα πατρίδος ἄπο γενόμενον,
Ὦ πάτερ, θανεῖν που.
Ποθεινὰ δάκρυα παρὰ φίλαισι
Παρθένοις λιποῦσ', ἄπειμι
Πατρίδος ἀποπρὸ γαίας,
Ἀπαρθένευτ' ἀλωμένα.
ΟΙ. Φεῦ τὸ χρήσιμον φρενῶν!
ΑΝ. Εἰς πατρός γε συμφορὰς
Εὐκλεᾶ με θήσει·
Τάλαιν' ἐγὼ συγγόνου θ' ὑβρισμάτων,
Ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται,
Μέλεος! ὅν, εἴ με καὶ θανεῖν, πάτερ, χρεὼν,
Σκοτίᾳ γᾷ καλύψω.
ΟΙ. Πρὸς ἥλικας φάνηθι σάς.
ΑΝ. Ἅλις ὀδυρμάτων ἐμῶν.
ΟΙ. Σὺ δ' ἀμφὶ βωμίους λιτάς.
ΑΝ. Κόρον ἔχουσ' ἐμῶν κακῶν.
ΟΙ. Ἴθ' ἀλλὰ Βρόμιος, ἵνα τε ση-
Κὸς ἄβατος ὄρεσι Μαινάδων.
ΑΝ. Καδμείαν ᾧ νεβρίδα στολιδω-

---

ρῶν, ἔβαν (ἀνέβην) ἐπὶ μοῦσαν (σοφίαν) οὐράνιον καὶ καλλίνικον. 1732. Ὄνειδος] οὕτως ἐπὶ φήμης καὶ ἀνωτέρω. ςίχ. 818. 1740· Ἀπαρθένευτα ἀλωμένα] οἷα οὐ προσήκει παρθένῳ. 1741. Φεῦ τὸ χρήσιμον φρενῶν] ὢ πόσον τὸ χρηστὸν ἦθος χαρακτηρίζει τὸν εὐγενῆ, ἢ τοιοῦτό τι· ὃ φθάσα ἡ Ἀντιγόνη

**ΑΝ.** Μανθάνω· τὸ τῆς Σφιγγὸς λέγεις κλέος· ἀλλ᾽ ἔα νῦν τὰ πρόσθεν εὐτυχήματα χαίρειν· ὧν τὰ παρόντα κακὰ διάδοχα γίγνεται, ὥστε καὶ φυγάδα πρὸς τοῖς ἄλλοις γενόμενον, ἐν ἀλλοδαπῇ καταστρέψαι· φεῦ, φεῦ, ὦ πάτερ· ἄπειμι ἀναξίως τῆς ἐμῆς ἡλικίας, ἀλωμένη μακρὰν τῆς φίλης πατρίδος, δάκρυα καὶ πόθον ταῖς φίλαις λιποῦσα παρθένοις.

**ΟΙ.** Φεῦ, ὅσον ἡ φρόνησις...

**ΑΝ.** Ἀλλ᾽ἐν τοῖς τοῦ πατρὸς δυςυχήμασιν ὑμνήσεταί μοι τοῦτο· Ἀλλ᾽ ὦ τάλαιν᾽ἐγὼ, ὅσον ὁ τοῦ ἀδελφοῦ νεκρὸς ἐξυϐρίζεται, ἄκλαυςός τε και ἄταφος τῆς πατρῴας οἰκίας ἐκκομιζόμενος· ἀλλ᾽ ἔγωγ᾽, ὦ πάτερ, καλύψω τοῦτον τῇ γῇ, κἂν δέῃ μ᾽ ἀποθανεῖν.

**ΟΙ.** Ἴθι πρὸς τὰς συνήλικας.

**ΑΝ.** Ἅλις τῶν ἐμῶν δακρύων.

**ΟΙ.** Ἴθι πρὸς βωμοὺς, τοὺς θεοὺς ἐξιλασομένη.

**ΑΝ.** Κόρος τῶν ἐμῶν κακῶν νῦν ἐστι κἀκείνοις.

**ΟΙ.** Ἴθι πρὸς ἄϐατον σηκὸν τοῦ Βάκχου ἐν τοῖς ὄρεσι τῶν μαινάδων.

**ΑΝ.** Ὅπου ποτ᾽ἐγὼ ἐχόρευσα τὸν ἱερὸν θίασον, νευρίδα πε-

---

διέκοψε, λέγουσα, ὡς τὸ φρόνιμον τοῦτο καὶ συνετὸν ἐν ταῖς συμφοραῖς τοῦ πατρὸς λέγομαι ἔχειν. 1750. Σὺ δ᾽ ἀμφὶ βωμίους λιτὰς] ἴθι δηλονότι· ἐκείνη δὲ, κόρον ἔχουσιν οὗτοι τῶν ἐμῶν κακῶν, ἀπειρήκασι καὶ οὗτοί γε τοῖς ἐμοῖς κακοῖς· εἰ μὴ τὸ ἔχουσ᾽ εἴη μετοχὴ, ἔχουσα, ἄνωθέν ποθεν ἠρτημένη. 1752. Σηκὸς μαινάδων] ναὸς Διονύσου ἄϐατος τοῖς μὴ μεμυημένοις τὰ μυστήρια αὐτοῦ. 1754. Καδμείαν ᾧ νευρίδα.] ἡ συνθήκη, ᾧ ἐγὼ θίασον ἐχόρευσά ποτε ἐν ὄρεσι τῆς Σεμέλης, περιϐαλλομένη ἐγχώριον νευρίδα; ἀχάριστον δὲ χάριν

Σαμένα ποτ' ἐγὼ θίασον Σεμέλας
Ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
Χάριν ἀχάριςον ἐς θεοὺς διδοῦσα;

ΟΙ. Ὦ πάτρας κλεινοὶ πολῖται, λεύσετ', Οἰδίπους ὅδε,
Ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω καὶ μέγιςος ἦν ἀνήρ.
Ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μαιοφόνου κράτη,
Νῦν ἄτιμος αὐτὸς, οἰκτρὸς, ἐξελαύνομαι χθονός.
Ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ καὶ μάτην ὀδύρομαι;
Τὰς γὰρ ἐκ θεῶν ἀνάγκας, θνητὸν ὄντα, δεῖ φέρειν.

ΧΟ. Ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

---

λέγει, ὅτι οὐδὲν χάριεν, ἢ χαρᾶς ἐκεῖθεν αἴτιον αὐτῇ ἦν. 1760. Τῆς μιαιφόνου κράτη] τὰ σοφίσματα, οἷς κρατοῦσα, ἔβλαπτε τοὺς πολίτας. 1763. Τὰς τῶν θεῶν ἀνάγκας] χρὴ θνητοὺς ὄντας, τὰ μὲν παρὰ τῶν θεῶν ἀναγκαίως, τὰ δὲ παρὰ τῶν ἀνθρώπων γενναίως φέρειν· οὕτω κἀν τῷ Ὀρέςῃ ςίχ. 1023.

βαλλομένη ἐγχώριον κατὰ τὰ τῆς Σεμέλης ὄρη, χάριν ἄχαριν ταύτην φέρουσα θεοῖς;

ΟΙ. Ὦ εὐκλεεῖς πολῖται, ἴδετ', ἴδετ' Οἰδίποδα, οἷος νῦν ἐςιν ὁ μέγιςον ποτ' ἀράμενος παρὰ πᾶσιν ἀξίωμα, ἐφ' οἷς τὸ τῆς Σφιγγὸς ἐξηγησάμενος αἴνιγμα, κατέσχον αὐτῇ τὸ τῆς ἰσχύος λυμαντικόν· νῦν δ' ὁρᾶθ' ὅπως ἄτιμος αὐτὸς καὶ οἰκτρὸς ἐξελαύνομαι τῆς πατρίδος· καίτοι τί δεῖ θρηνεῖν ταῦτα καὶ μάτην ὀδύρεσθαι; τὰ γὰρ παρὰ τῶν θεῶν ἀναγκαίως χρὴ φέρειν, ἀνθρώπους ὄντας.

ΧΟ. Ὦ σεμνὴ Νίκη, σὺ τὸν ἐμὸν βίον διακυβερνῴης, καὶ μὴ λήγοις μέ ποτε ςεφανοῦσα.

---

» Φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας.

1764. Ὦ μέγα σεμνὰ Νίκα] ἡσθεὶς ὁ Χορὸς ἐφ' οἷς Ἀντιγόνη νενίκηκεν ἀρετῇ, τὰ κακὰ συμφέρειν τῷ πατρὶ τῶν γάμων προελομένη, εὔχεται τοιούτοις ἀρετῆς στεφάνοις τὸ θῆλυ γένος στεφανοῦσθαι· τὸ αὐτὸ δὲ ἔστιν ἰδεῖν ἐπισφράγισμα κἀν τῷ Ὀρέστῃ ἴδε ςίχ. 1708. Νίκην δὲ αὐτὴν τὴν Ἀθηνᾶν καλεῖ· ἦν γὰρ Ἀθήνησιν ἱερὸν Ἀθηνᾶς Νίκης. ἴδε Ἴων. στίχ. 473.

# ΙΠΠΟΛΥΤΟΣ
# ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

# ΥΠΟΘΕΣΙΣ.

ΘΗΣΕΥΣ υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων· γήμας δὲ μίαν τῶν Ἀμαζόνων Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα· ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κριτικὴν γυναῖκα, τὴν Μίνωος τῶν Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα Φαίδραν· ὁ δὲ Θησεὺς Πάλλαντα, ἕνα τῶν συγγενῶν, φονεύσας, φεύγει ἐς Τροιζῆνα μετὰ τῆς γυναικὸς, οὗ συνέβη τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι· θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα, εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν· ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα, τέλος τοῖς προτεθεῖσιν ἐπέθηκε, τὴν Φαίδραν εἰς τὸν Ἱππολύτου ἔρωτα παρορμήσασα· ἡ δὲ στέγουσα τὴν νόσον, χρόνῳ πρὸς τὴν τροφὸν τὸ πάθος δηλῶσαι ἠναγκάσθη, κατεπαγγειλαμένην αὐτῇ βοηθήσειν· ἥτις καὶ κατὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ· τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε· καθ' ὃν καιρὸν φανεὶς ὁ Θησεὺς, καὶ καθελεῖν σπεύδων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ἱππολύτου φθορὰν κατηγόρει καὶ ἐπιβουλήν· πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν· αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστα διασαφήσασα Θησεῖ, τὴν μὲν Φαίδραν οὐ κατεμέμψατο, τοῦτον δὲ παρεμυθήσατο, υἱοῦ καὶ γυναικὸς στερηθέντα· τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσασθαι.

[Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροιζῆνι κεῖται· ἐδιδάχθη ἐπὶ Ἀμείνονος ἄρχοντος, Ὀλυμπιάδι ὀγδοηκοστῇ ἑβδόμῃ, ἔτει τετάρτῳ· πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων· ἔστι δὲ οὗτος ὁ Ἱππόλυτος δεύτερος, καὶ ΣΤΕΦΑΝΙΑΣ προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος. τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι. τὸ δρᾶμα τῶν πρώτων.]

## ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΦΡΟΔΙΤΗ.

ΙΠΠΟΛΥΤΟΣ.

ΘΕΡΑΠΟΝΤΕΣ.

ΧΟΡΟΣ. Τροιζινίων γυναικῶν.

ΤΡΟΦΟΣ.

ΦΑΙΔΡΑ.

ΕΞΑΓΓΕΛΟΣ.

ΘΕΡΑΠΑΙΝΑ.

ΘΗΣΕΥΣ.

ΑΓΓΕΛΟΣ.

ΑΡΤΕΜΙΣ.

# ΙΠΠΟΛΥΤΟΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΑΦΡΟΔΙΤΗ, ΙΠΠΟΛΥΤΟΣ, ΘΕΡΑΠΩΝ, ΧΟΡΟΣ.

ΠΟΛΛΗ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος  
Θεὰ κέκλυμαι Κύπρις, οὐρανοῦ τ' ἔσω,  
Ὅσοι τε πόντου, τερμόνων τ' Ἀτλαντικῶν  
Ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου,  
Τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,  
Σφάλλω δ', ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.  
Ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε,  
Τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.  
Δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα·  
Ὁ γάρ με Θησέως παῖς, Ἀμαζόνος τόκος,  
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,

3. Ἀτλαντικῶν ἐντὸς] τῶν Γαδείρων· τὰ δὲ πέρα τούτων ἄγνωστα ἦν τοῖς ἀρχαίοις· γίγνεται δὲ παρὰ τὸ Ἄτλας, ὅ ἐστιν ὄρος αὐτοῦ ὑψηλὸν ἐν τῇ Ἀφρικῇ· ὅπου φασι καὶ Ἄτλαντα ἀνέχειν τὸν οὐρανὸν ἐπ' ὤμων· μέγα δέ φησι τὸ κράτος τοῦ θεοῦ εἶναι, ὅτι δι' ἔρωτος πᾶν σώζεται γένος ζώων. 11. Ἀγνοῦ] ἦν γὰρ ὁ Πιτθεὺς ἀνὴρ δίκαιος, ὡς κἀν τῇ Μηδείᾳ. στίχ. 681.

# ΙΠΠΟΛΥΤΟΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΑΦΡΟΔΙΤΗ, ΙΠΠΟΛΥΤΟΣ, ΘΕΡΑΠΩΝ, ΧΟΡΟΣ.

Μεγα μὲν παρά τε ἀνθρώποις ἐπὶ γῆς τοὐμόν ἐστιν κλέος, παράτε θεοῖς ἐν οὐρανῷ ἐπίσημος, καὶ οὐκ ἀνώνυμός εἰμι θεὸς Ἀφροδίτη· τῶν γὰρ ἐντὸς τοῦ πόντου, καὶ τῶν Ἀτλαντικῶν ὁρίων κατοικούντων, καὶ ἁπλῶς τῶν τὸ φῶς τοῦ ἡλίου τοῦθ' ὁρώντων, τοὺς μὲν τοὐμὸν κράτος σεβομένους τιμῶ· τοὺς δὲ ἀλαζονείᾳ πρός με ὑπερφρονοῦντας ἐπηρεάζουσα βλάπτω· συμβαίνει γὰρ, καθάπερ τοῖς ἀνθρώποις, οὕτω καὶ θεοὺς ὑπ' ἀνθρώπων ἥδεσθαι τιμωμένους. μαρτυρεῖ δέ μοι τὴν ἀλήθειαν ταύτην τὸ κατὰ τὸν Ἱππόλυτον τὸν Θησέως καὶ Ἀμαζόνος ἤδη πραττόμενον· οὗτος γὰρ ὑπὸ Πιτθεῖ παιδευθεὶς τῷ σοφῷ, μόνος τῶν

» Πιτθεύς τις ἐστὶ, γῆς ἄναξ Τροιζηνίας.

» Παῖς, ὥς λέγουσι, Πέλωπος εὐσεβέστατος.

Μόνος πολιτῶν τῆσδε γῆς Τροιζηνίας
Λέγει κακίστην δαιμόνων πεφυκέναι.
Ἀναίνεται δὲ λέκτρα κοὐ ψαύει γάμων·
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην,
Τιμᾷ, μεγίστην δαιμόνων ἡγούμενος.
Χλωρὰν δ' ἀν' ὕλην παρθένῳ ξυνὼν ἀεὶ,
Κυσὶν ταχείαις θῆρας ἐξαιρεῖ χθονὸς,
Μείζω βροτείας προσπεσὼν ὁμιλίας.
Τούτοισι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;
Ἃ δ' εἰς ἔμ' ἡμάρτηκε, τιμωρήσομαι
Ἱππόλυτον ἐν τῆδ' ἡμέρᾳ· τὰ πολλὰ δὲ
Πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
Ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων
Σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ
Ἰδοῦσα Φαίδρα, καρδίαν κατέσχετο
Ἔρωτι δεινῷ τοῖς ἐμοῖς βουλεύμασι.
Καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν,
Πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον
Γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθείσατο,
Ἐρῶσ' ἔρωτ' ἔκδημον· Ἱππολύτῳ δ' ἔπι
Τὸ λοιπὸν ὑμνήσουσιν ἱδρῦσθαι θεάν.
Ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα,

19. Μείζω] πρὸς μείζω πεσὼν ὁμιλίαν, ὅ ἐστι, μείζω, καὶ βελτίω τὴν μετὰ τῆς Ἀρτέμιδος ἡγούμενος διατριβὴν, ἢ τὸν τῶν ἀνθρώπων νόμον τιμῶν, ὥστε γάμου κοινωνῆσαι. 23. Προκόψασα] κατὰ τὸ φυσικὸν σημαινόμενον, πρότερον κόψασα τὰ ἐμποδὼν, καὶ τὴν πρὸς τοῦτο ὁδὸν προελάνασα (ἴδε κατωτέρω

τήνδε τὴν γῆν τῆς Τροιζῆνος οἰκούντων, κακίστην με θεῶν τετολμηκὼς ὀνομάζειν, τόνθ' ὑμέναιον ἀπαναίνεται, καὶ γάμων ὅλως ἅπτεσθαι ἀποστρέφεται. Ἄρτεμιν δὲ τὴν Λητοῦς καὶ Διὸς, μεγίστην ἡγούμενος τῶν θεῶν, περὶ πλείστου ποιεῖται· διὸ μείζω ἢ κατ' ἄνθρωπον παρ' αὐτῇ ἑλόμενος βίον, ἐν τοῖς ἀειθαλέσι τρυφᾷ τῶν ὀρέων μετὰ τῆς παρθένου ἐκείνης, τὰς κύνας ἐξορμῶν ἀεὶ ἐπὶ τὰ θηρία· καὶ οὐ φθόνῳ δουλεύουσα, ταῦτα λέγω· τί γὰρ πρὸς ἐμὲ ἐκείνην ὑπ' ἐκείνου τιμᾶσθαι; τῆς δὲ πρὸς ἐμὲ ὑπεροψίας οὐκ ἂν ἀποσταίην αὐτὸν τοῦ μὴ οὐ τιμωρήσασθαι τήμερον· οὐδὲ γὰρ πόνου μοι πολλοῦ δεῖ ταῦτ' ἐργάσασθαι, τὰ πολλὰ προλεάνασαν· πρῴην τε γὰρ ἐλθόντ' αὐτὸν ἐκ τῶν Πιτθέως Ἀθήναζε, θεωρὸν τῶν μυστηρίων ἐσόμενον, ἰδοῦσα Φαίδρα ἡ μητρυιὰ, ἑάλω τῷ ἔρωτι, ἐμοῦ πεμψάσης αὐτῇ τὸν οἶστρον· ὥστε καὶ πρὶν ἐλθεῖν αὐτὴν ἐς τήνδε τὴν γῆν, ναὸν καθίδρυσε Κύπριδι ἐπὶ τῆς πέτρας τῆς Παλλάδος ἀπέναντι τῆς Τροιζῆνος πρὸς θεραπείαν τοῦ ἔρωτος, σημεῖον τοῦτο τοῦ πρὸς τὸν Ἱππόλυτον πάθους τοῖς ἐπιγιγνομένοις ἀεὶ λέγεσθαι τιθεμένη· καὶ νῦν αὖθις, καταλιπόντος Θησέως τὴν Κεκροπίαν διὰ τὸν τοῦ Πάλ-

---

στίχ. 1311.) τοιοῦτον ἄρα καὶ τὸ Θουκυδίδειον (Δ. ξ.) κακῶς ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις. ἐστὶ δ' οὖν καὶ ἀναπόδοτος ἡ εὐθεῖα· καὶ ὅμοιον τὸ σχῆμα τῷ, Μέλλων δὲ πέμπειν με . . . ἐν τούτῳ ἐπεστράτευσαν Ἀχαιοί. (Φοιν. 292.) εἰ μή τις αἰτιατικὴν κατ' ἀποκοπὴν εἴποι εἶναι. 31. Ἐγκαθείσατο] παρὰ τὸ ἕω, ἵεμαι· τὸ ἱδρύω. ἐν ἄλλοις δὲ, ἐγκαθίσατο παρὰ τὸ καθίζειν 33. Ὠνόμαζεν] ἐν ἄλλοις ὑμνήσου-

Μίασμα φεύγων αἵματος Παλλαντιδῶν,
Καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,
Ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγὴν,
Ἐνταῦθα δὴ στένουσα καὶ πεπληγμένη
Κέντροις Ἔρωτος ἡ τάλαιν', ἀπόλλυται
Σιγῇ· ξύνοιδε δ' οὔ τις οἰκετῶν νόσον.
Ἀλλ' οὔτι ταύτῃ τόνδ' ἔρωτα χρὴ πεσεῖν·
Δείξω δὲ Θησεῖ πρᾶγμα, κἀκφανήσεται.
Καὶ τὸν μὲν ἡμῖν πολέμιον πεφυκότα
Κτενεῖ πατὴρ ἀραῖσιν, ἃς ὁ πόντιος
Ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας,
Μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῷ.
Ἡ δ' εὐκλεὴς μὲν, ἀλλ' ὅμως ἀπόλλυται
Φαίδρα· τὸ γὰρ τῆσδ' οὐ προτιμήσω κακὸν,
Τοῦ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
Δίκην τοσαύτην, ὥστ' ἐμοὶ καλῶς ἔχειν.
Ἀλλ', (εἰσορῶ γὰρ τόνδε παῖδα Θησέως
Στείχοντα, θήρας μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον,) ἔξω τῶνδε βήσομαι τόπων,
Πολὺς δ' ἅμ' αὐτῷ προσπόλων ὀπισθόπους
Κῶμος λέλακεν, Ἄρτεμιν τιμῶν θεὰν
Ὕμνοισιν· οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας
Αἵδου φάος τε λοίσθιον βλέπων τόδε·

ΙΠ. Ἕπεσθ' ἀείδοντες ἕπεσθε,
Τὰν Διὸς οὐρανίαν
Ἄρτεμιν, ᾇ μελόμεσθα.

---

σιν· καὶ ἄμεινον, οἶμαι. 35. Παλλαντιδῶν] Νίσος, Πάλλας, καὶ Αἰγεὺς Πανδίωνος ἦσαν παῖδες, Νίσος μὲν Μέγαρα οἰκῶν· Πάλλας δὲ καὶ Αἰγεὺς δήμων τινῶν ἄρχοντες, οὔπω τῆς Ἀττικῆς συνῳκισμένης εἰς ἕν· Πάλλας δ' οὖν μετὰ τῶν παίδων ἐπιστρατεύσας ἐπ' Ἀθήνας, ἡττᾶται, καὶ φονεύεται αὐτός τε καὶ

λαντος φόνον, ἐφ' ᾧ φυγὴν κατεψήφισαι ἐνιαύσιον λαμβάνεται ἐξ ὑπαρχῆς τῷ ἔρωτι ἡ ταλαίπωρος, καὶ στένουσα ἀφανῶς πρὸς τὸν οἶστρον, ἀπόλλυται σιωπῶσα, μηδενὸς τῶν οἰκετῶν δυναμένου συμβαλεῖν ὅ,τι εἴη τὸ πάθος· ἀλλ' οὐκ ἐς τέλος τοῦτ' ἔσται φροῦδον· ἐγὼ γὰρ καταφανὲς ποιήσω Θησεῖ τὸ πρᾶγμα· ὁ μὲν οὖν ἀλαζὼν κατ' ἐμοῦ νεανίας ταῖς τοῦ πατρὸς ἀπολεῖται ἀραῖς· ἃς ἐκεῖνος τυγχάνει εὑράμενος παρὰ Ποσειδῶνος, μηδενὸς ἀστοχῆσαι, ὧν ἂν εὔξηται ἑαυτῷ παρ' ἐκείνου γενέσθαι μέχρι τῶν τριῶν· ἡ δὲ Φαίδρα, καίπερ εὐκλεής, ἀλλὰ καὶ αὐτὴ συναπολεῖται· οὐ γὰρ ἂν δυναίμην τὴν ἐκείνης ἀσφάλειαν περὶ πλείονος ποιήσασθαι τοῦ δίκην παρὰ τῶν ἐμοὶ πολεμούντων λαβεῖν τοιαύτην, οἵαν μέγα κλέος ἔμοιγε φέρειν. Ἀλλ' εἶμι νῦν ἐντεῦθεν· παῖς γὰρ ἐκεῖνος ὁ Θησέως Ἱππόλυτος μετὰ πόνον πολὺν ἀπὸ τῆς θήρας ἥκει, πολὺν ἐπαγόμενος κῶμον οἰκετῶν, Ἄρτεμιν συνυμνούντων· οὐ γὰρ οἶδε τό,τε φῶς τοῦθ' ὕστατον νῦν ὁρῶν τοῦ ἡλίου, καὶ τὰς τοῦ Ἅδου πύλας ἀνεῳγμένας αὐτῷ εἰσπεσεῖν.

III. Ἕπεσθ, ἕπεσθ' ὑμεῖς ᾄδοντες Ἄρτεμιν, Ἄρτεμιν τὴν οὐρανίαν κόρην συνᾄδοντες τοῦ Διός, ἧς ἡμῖν πολλή ἐστι προστασία.

---

οἱ παῖδες ὑπὸ Θησέως· τοῦτ' οὖν ὡς μίασμα ὂν τὸ συγγενικὸν ἐκχεῖν αἷμα, ἔδει Θησέα ἀφοσιώσασθαι κατὰ τὸν ὑπάρχοντα νόμων ἐτησίῳ φυγῇ. 45 Γέρας] χρησμὸν εἰλήφει Θησεὺς παρ' Ἀπόλλωνος, ὅ,τι ἂν αἰτήσηται παρὰ Ποσειδῶνος αὐτῷ γενέσθαι μέχρι τῶν τριῶν, ἔσεσθαι αὐτῷ· ὁ δὲ ᾐτήσατο πρῶτον μὲν ἀνελθεῖν ἐξ ᾅδου, δεύτερον ἐκ Λαβυρίνθου, καὶ τρίτον τὸν Ἱππολύτου θάνατον. 49. Τοῦ μὴ οὐ παρασχεῖν] τὸ Οὐ παρέλκον, συμφθείρει καὶ τὸ μέ-

ΘΕ. Πότνια, πότνια, σεμνοτάτα,
Ζανὸς γένεθλον,
Χαῖρε, χαῖρέ μοι, ὦ κόρα,
Λατοῦς Ἄρτεμι καὶ Διὸς
Καλλίστα πολὺ παρθένων,
Ἃ μέγαν κατ' οὐρανὸν
Ναίεις εὐπατέρειαν αὐλὰν,
Ζανὸς πολύχρυσον οἶκον.
ΙΠ. Χαῖρέ μοι, ὦ καλλίστα,
Καλλίστα τῶν κατ' Ὄλυμπον
Παρθένων Ἄρτεμι.
Σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
Λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
Ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ,
Οὐδ' ἦλθέ πω σίδηρος, ἀλλ' ἀκήρατον
Μέλισσα λειμῶν' ἠρινὸν διέρχεται.
Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,
Ὅσοις διδακτὸν μηδὲν, ἀλλ' ἐν τῇ φύσει
Τὸ σωφρονεῖν εἴληχεν ἐς τὰ πάνθ' ὁμῶς
Τούτοις δρέπεσθαι· τοῖς κακοῖσι δ' οὐ θέμις.
Ἀλλ', ὦ φίλη δέσποινα, χρυσέας κόμης
Ἀνάδημα δέξαι χειρὸς εὐσεβοῦς ἄπο.
Μόνῳ γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν.
Σοὶ καὶ ξύνειμι, καὶ λόγοις σ' ἀμείβομαι,
Κλύων μὲν αὐδὴν, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν·
Τέλος δὲ κάμψαιμ', ὥσπερ ἠρξάμην, βίου.

---

τρον. σύνηθες δὲ πολλαχῇ. 66. Ἃ ... ναίεις] ἐν ἄλλοις, αἳ ναίετ' εὐπατέρειαν, 76.

ΘΕ. Πότνια, πότνια κόρη τοῦ Διὸς χαῖρε· χαῖρέ μοι, ὦ σεμνοτάτη Ἄρτεμις, κόρη Διὸς καὶ Λητοῦς, καλλίστη πασῶν παρθένων· ἥτις ἐν οὐρανῷ τὸ μεγαλοπρεπὲς, καὶ χρυσόπαστον δῶμα τοῦ Διὸς κατοικεῖς.

ΙΠ. Χαῖρέ μοι, ὦ Ἄρτεμι, ἡ τὸ καλλιστεῖον φέρουσα τῶν ἐν Ὀλύμπῳ παρθένων· δέξαι, ὦ δέσποινα, τὸν στέφανον, τόνδε, ὅν σοι προσφέρω, ἐξ ἀκηράτου πλέξας λειμῶνος, ἔνθ' οὔτε ποιμὴν, οὔθ' ὅλως σίδηρος εἴσεισιν· ἀλλὰ μέλισσα μὲν ἦρος ἐπιπτᾶσα διέρχεται. Αἰδὼς δὲ ποταμίοις ἀρδεύει δρόσοις· μόνοις γὰρ τοῖς μὴ ἐξ ἀνάγκης, μήδ' ἐκ μελέτης, ἀλλ' ἐκ φύσεως αὐτεξούσιον τὸ σῶφρον εἰληχόσιν τὸν ἅπαντα αἰῶνα, οὐ μὴν δὲ καὶ τοῖς κακοῖς τούτων θέμις ἂν εἴη δρέπεσθαι· διὸ, ὦ φίλη δέσποινα, δέξαι τὸ ἀνάδημα τοῦτο ἐκ χειρὸς εὐσεβοῦς τῇ σῇ χρυσῇ προσφερόμενον κόμῃ· μόνῳ γὰρ ἐμοὶ τῶν ἀνθρώπων τοῦτο δέδοται γέρας συνεῖναί σοι, ἀεὶ καὶ λόγοις ὁμιλεῖν, τὴν μὲν σὴν φωνὴν ἀκούοντα, τὸ δὲ πρόσωπον οὐχ ὁρῶντα· εἴη δέ μοι καὶ τοῦ λοιποῦ τὸ τοῦ βίου τέλος σύμφωνον τοῖς προοιμίοις ἔχειν.

---

Ἠρινὸν] ἐν ἄλλοις ἐαρινὴ, μέλισσα δηλονότι. 79. Εἰς τὰ πάντ' ἀεὶ] ἐν ἄλλοις τὰ πάντ' ὁμῶς· τὸ δὲ διδακτὸν ἀντὶ τοῦ ἀναγκαστὸν καὶ οὐ προαιρετικὸν ἐκληπτέον. 82. Ἀνάδημα] οἷον ἀνάδεσμον καὶ σύναμμα τῆς σῆς χρυσῆς κόμης· 86 Κάμψαιμι] ἀπὸ τοῦ καμπτῆρος τῶν διαύλων ἡ μεταφορά· καθάπερ ἐς δεῦρο ἔδραμον τὸ τῆς σωφροσύνης στάδιον, οὕτω κάμψαιμι πάλιν πρὸς τὸ

ΘΕ. Ἄναξ, (θεοὺς γὰρ δεσπότας καλεῖν χρεὼν)
Ἆρ' ἄν τί μου δέξαιο βουλεύσαντος εὖ;
ΙΠ. Καὶ κάρτα γ'· ἦ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.
ΘΕ. Οἶσθ' οὖν, βροτοῖσιν ὃς καθέστηκεν νόμος;
ΙΠ. Οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;
ΘΕ. Μισεῖν τὸ σεμνὸν, καὶ τὸ μὴ πᾶσιν φίλον.
ΙΠ. Ὀρθῶς γε· τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;
ΘΕ. Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις;
ΙΠ. Πλείστη γε, καὶ κέρδος γε σὺν μόχθῳ βραχεῖ.
ΘΕ. Ἦ κἀν θεοῖσι ταὐτὸν ἐλπίζεις τόδε;
ΙΠ. Εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
ΘΕ. Πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;
ΙΠ. Τίν'; εὐλαβοῦ δὲ, μή τι σὸν σφαλῇ στόμα.
ΘΕ. Τήνδ', ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.
ΙΠ. Πρόσωθεν αὐτὴν ἁγνὸς ὢν, ἀσπάζομαι.
ΘΕ. Σεμνή γε μέντοι κἀπίσημος ἐν βροτοῖς.
ΙΠ. Ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.
ΘΕ. Εὐδαιμονοίης, νοῦν ἔχων, ὅσον σε δεῖ.
ΙΠ. Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.
ΘΕ. Τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.
ΙΠ. Χωρεῖτ', ὀπαδοὶ, καὶ παρελθόντες δόμους,
Σίτων μέλεσθε· τερπνὸν ἐκ κυναγίας
Τράπεζα πλήρης· καὶ καταψήχειν χρεὼν

---

τέλος τοῦ βίου 87. Ἄναξ] μετριώτερον τίθεται τοὔνομα τοῦτο τοῦ Δεσπότης· διὸ τοῖς θεοῖς προσῆκον ἐκεῖνο ὑπολαμβάνει, εἰ μήπως τἀνάπαλιν εἴληπται· 99. Εὐλαβοῦ] ὅρα μὴ βλασφημήσῃς· ὑπώπτευσε γὰρ Ἱππόλυτος μὴ περὶ Ἀρτέμιδος ταῦτα λέγει ἐκεῖνος. 101. Ἁγνὸς παρθένος μακρόθεν αὐτὴν σέβομαι· προσιέναι δ' οὐ θέλω· 103. Ἄλλοισιν ἄλλος μέλει] τοῦτο ἀναλυθήσεται μᾶλλον

ΘΕ. Ἄναξ. δεσπότας γὰρ μόνους τοὺς θεοὺς χρὴ καλεῖν·
ἆρ' ἀκούσεις κἀμοῦ, ὃ ἥκω ἐρῶν σοι σοφόν;

ΙΠ. Πῶς γὰρ οὔ; ἄλλως γὰρ μωροῖς ἂν εἴημεν ἐοικότες.

ΘΕ. Οἶσθα τὸν τοῖς ἀνθρώποις καθεστηκότα νόμον;

ΙΠ. Τὸν τίνα φής; δεῖ γὰρ πρῶτον σαφῶς εἰδέναι.

ΘΕ. Τὸ τὸν ὑπερόπτην ὑπὸ πάντων μισεῖσθαι.

ΙΠ. Ὀρθῶς δήπου· πᾶς γὰρ ἀλαζὼν ἐπαχθής.

ΘΕ. Τὸ δ' εὐπροσήγορον οὐ πολλὴν ἔχει χάριν;

ΙΠ. Οὐχ ὅπως, ἀλλὰ καὶ κέρδος ἄνευ πολλοῦ πόνου.

ΘΕ. Τί δέ; παρὰ θεοῖς κρατεῖ ὁ νόμος οὗτος;

ΙΠ. Τί δ' οὐχί; ἐκεῖθεν γὰρ ἡμῖν εἰσιν οἱ νόμοι.

ΘΕ. Τί οὖν παθὼν αὐτὸς, σεμνὴν θεὸν οὐ σέβῃ;

ΙΠ. Τίνα φής; ἀλλ' ὅπως μὴ παράλογόν τι εἴπῃς.

ΘΕ. Τήνδε τὴν Κύπριν τὴν πρὸ τοῦ σοῦ πυλῶνος.

ΙΠ. Πόῤῥωθεν αὐτὴν δεῖ τιμᾶν σὺν ἁγνείᾳ.

ΘΕ. Σεμνὴ μέντοι αὕτη κἀπίσημος ἀνθρώποις.

ΙΠ. Ἄλλος ἄλλου θεῶν τε καὶ ἀνθρώπων ποιεῖται λόγον.

ΘΕ. Εὐδαιμονοίης ἂν, εἰ μὴ φρονοίης ὑπὲρ ἄνδρα.

ΙΠ. Οὐδείς μοι θεὸς ἀρέσκει, λατρευόμενος νύκτωρ.

ΘΕ. Δεῖ μέντοι σε τιμᾶν τοὺς ἀθανάτους.

ΙΠ. Ἀλλὰ χωρεῖθ' ὑμεῖς εἴσω, τῶν τε περὶ τὴν τράπεζαν
ἐπιμελησόμενοι. τερπνὸν γὰρ τοῦθ' ἡμῖν μάλιστα ἀπὸ

---

οὕτως· ἄλλος (θεῶν καὶ ἀνθρώπων) μέλεται, φροντίζεται, ἀγαπᾶται ὑπ' ἄλλων, ἢ θεὸς ἢ βροτός ἐστιν οὗτος· τουτέστιν, ἄλλος ἢ θεῶν, ἢ ἀνθρώπων ἐστὶν ἐν τῇ ἀγάπῃ καὶ εὐνοίᾳ ἄλλων εἴτε θεῶν, εἴτ' ἀνθρώπων· οἷον ὁ μέντις μέλει τῇ Ἀφροδίτῃ· ὁ δὲ Ἱππόλυτος τῇ Ἀρτέμιδι. εἰ μήτι γραπτέον, Ἄλλως, ἀντὶ τοῦ Ἄλλος. 107. Χωρεῖτε] ὡς μετ' ὀργῆς ἀποστρέφεται τὸν λόγον· καὶ ἀναχωρεῖ. 109. Καταψήχειν] παράβαλε ταῦτα

Ἵππους, ὅπως ἂν, ἅρμασι ζεύξας ὕπο,
Βορᾶς κορεσθεὶς, γυμνάσω τὰ πρόσφορα.
Τὴν σὴν δὲ Κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.

ΘΕ. Ἡμεῖς δὲ, (τοὺς νέους γὰρ οὐ μιμητέον)
Φρονοῦντες οὕτως, ὡς πρέπει δούλοις λέγειν,
Προσευχόμεσθα τοῖσι σοῖς ἀγάλμασιν,
Δέσποινα Κύπρι. Χρὴ δὲ συγγνώμην ἔχειν,
Εἴ τίς σ', ὑφ' ἥβης σπλάγχνον εὔτονον φέρων,
Μάταια βάζει· μὴ δόκει τούτων κλύειν·
Σοφωτέρους γὰρ δεῖ βροτῶν εἶναι θεούς.

ΧΟ. Ὠκεανοῦ τις ὕδωρ (Στρ. ά)
Στάζουσα πέτρα λέγεται,
Βαπτὰν κάλπισι ῥυτὰν παγὰν
Προϊεῖσα κρημνῶν,
Ὅθι μοί τις ἦν φίλα,
Φάρεα πορφύρεα
Ποταμίᾳ δρόσῳ
Τέγγουσα, θερμᾶς δ' ἐπὶ νῶτα πέτρας
Εὐαλίου κατέβαλεν· ὅθεν μοι
Πρῶτα φάτις ἦλθε, δέσποιναν
Τειρομέναν νοσερᾷ (Ἀντ. ά.)
Κοίτᾳ δέμας ἐντὸς ἔχειν
Οἴκων, λεπτὰ δὲ φάρεα ξανθὰν
Κεφαλὰν σκιάζειν.
Τριτάταν δέ νιν κλύω
Τάνδε κατ' ἀμβροσίου
Στόματος ἁμέραν
Δάματρος ἀκτᾶς δέμας ἁγνὸν ἴσχειν,
Κρυπτῷ τε πένθει θανάτου θέλουσαν
Κέλσαι ποτὶ τέρμα δύστανον.

τῆς θήρας ἔσσαι· καὶ τοὺς ἵππους καταψήχεθ', ὅπως συζεύξας αὐτοὺς ἀπὸ τοῦ δείπνου, ἀσκήσω τὰ εἰκότα· ἡ δὲ σὴ Κύπρις πολλά μοι χαιρέτω.

ΘΕ. Ἡμεῖςγε δ' οὖν, ὦ δέσποινα Κύπρις, τοὺς μὲν νέους οὐ μιμησόμεθα· ἀλλὰ φρονοῦντες οὕτως, οἷα δεῖ δούλους ὄντας, τοῖς σοῖς ἀγάλμασι προσευξόμεθα· εἰ δέτις ὑπὸ νεότητος οὐ κατὰ τρόπον φαίνεται καταθρασυνόμενος, συγγνωςός· μήδ' ἀκούσασα δόκει ἀκοῦσαι τούτου· δεῖ γὰρ δὴ τοὺς θεοὺς φρονιμωτέρους τῶν ἀνθρώπων εἶναι.

ΧΟ. Πέτρα τίςἐστιν, ἐξ ἧς ὠκεάνειον βλύζει ὕδωρ πολὺ, οἷον καταῤῥέον καὶ ὑδρίαν βαπτισθεῖσαν ἐμπλῆσαι· ἔνθα τὶς τῶν ἐμῶν φίλων, ἱμάτια πλύνασα πορφυρᾷ ἐν τῷ ῥεύματι, ἥπλωσεν αὐτὰ ἐπὶ τῆς πέτρας πρὸς θάλπος τοῦ ἡλίου· παρὰ ταύτης τοίνυν ἐσμὲν μεμαθηκυῖαι τὴν τῆς δεσποίνης νόσον.

Νοσερὰν ἐκείνην ἔφη κατέχειν οἴκοι κοίτην, λεπτοῖς ὀθονίοις κεκαλυμμένην· νῦν δὲ καὶ πλέον ἀκούω τρίτην τήνδ' ἡμέραν μὴ ἅψασθαι σίτου· ἀλλ' ἐπ' ἀδήλῳ πάθει ἐπιθυμεῖν τέλος τῷ βίῳ δοῦναι.

---

τοῖς κατωτέρω. 1118. 121. Πέτραν] πλησίον ἦν αὕτη τῆς οἰκίας, ἡ κλυτὶς κατωτέρω (στίχ. 226.) εἴρηται· βαπτὴν δὲ κάλπισι πηγὴν λέγει, τὴν βαθεῖαν, ὥστε βάπτεσθαι ἐν αὐτῇ ὅλην τὴν ὑδρίαν. 137. Δάμαρτος ἀκτᾶς] ἡ συνθήκη οὕτω· ἀκούω αὐτὴν ἴσχειν τὸ ἁγνὸν αὐτῆς δέμας τῆς Δήμητρος ἀκτῆς κατὰ τοῦ ἀμβροσίου στόματος· τοῖς μὲν οὖν ὀνόμασιν ἁγνὸν δέμας καὶ ςόμα ἀμβρόσιον, ἀποσεμνύνει τῆς βασιλίδος τὸ πρόσωπον· Δήμητρος

Σὺ γὰρ ἔνθεος, ὦ κούρα, (Στρ. β'.)
Εἴτ' ἐκ Πανὸς, εἴθ' Ἑκάτας,
Ἢ σεμνῶν κορυβάντων,
Ἢ ματρὸς ὀρείας φοιτᾷς.
Σὺ δ' ἀμφὶ τὰν πολύθηρον
Δίκτυνναν ἀμπλακίαις
Ἀνίερος ἀθύτων πελάνων τρύχῃ.
Φοιτᾷ γὰρ καὶ διὰ λίμνας,
Χέρσον θ' ὑπὲρ πελάγους
Δίναισιν νοτίαις ἅλμας.
Ἢ πόσιν, τὸν Ἐρεχθειδᾶν (Ἀντ. β'.)
Ἀρχαγὸν, τὸν εὐπατρίδαν,
Ποιμαίνει τις ἐν οἴκοις,
Κρυπτᾷ κοίτᾳ λεχέων σῶν;
Ἢ ναυβάτας τις ἔπλευσεν
Κρήτας ἔξορμος ἀνὴρ
Λιμένα τὸν εὐξεινότατον ναύταις,
Φήμαν πέμπων βασιλείᾳ;
Λύπᾳ δ' ὑπὲρ παθέων
Εὐναίᾳ δίδεται ψυχά.
Φιλεῖ δὲ τᾷ δυστρόπῳ γυναικῶν (Ἐπῳδ.)
Ἁρμονίᾳ κακὰ δύστανος
Ἀμηχανία συνοικεῖν
Ὠδίνων τε καὶ ἀφροσύνας.
Δι' ἐμᾶς ᾖξεν ποτὲ νηδύος ἅδ' αὔρα.
Τὰν δ' εὔλογον οὐρανίαν τόξων
Μεδέουσαν ἀΰτευν' Ἄρτεμιν.

---

...ὃ ἀκτή ἐστιν ὁ ἀληλεσμένος σῖτος, παρὰ τὸ ἄγειν τὸ θλᾶν· 143. Μητρὸς]

Σὺ γὰρ, ὦ Φαίδρα, ἔνθεος φοιτᾷς, εἴθ' ὑπὸ πανὸς παρακεκινημένη, εἴθ' ὑπὸ τῆς Ἑκάτης, εἴθ' ὑπὸ τῶν σεμνῶν Κορυβάντων, ἢ καὶ ὑπὸ τῆς μητρὸς τῆς φοιτώσης παρὰ τὰ ὄρη, πάσχουσα τοῦτο· ἀλλ' ἴσως ἡ πολύθηρος Δίκτυννα βλάπτει σε, ἀνθ' ὧν ἀμπλακήσασα, οὐκ ἀφωσιώσω αὐτῇ, θύματα προσενεγκοῦσα πελάνων. διαφοιτᾷ γὰρ αὕτη διὰ ξηρᾶς καὶ θαλάσσης ἐπὶ τῶν κυμάτων, κρατοῦσα πάντων.

Μῶν δὲ γυνή τις τὸν σὸν ἄνδρα διαβουκολεῖ λαθραίᾳ συνουσίᾳ, εἰς τὴν σὴν ἐξυβρίζουσα εὐνήν; ἢ ναύτης τις, Κρήτηθεν πλεύσας εἰς τὸν εὔξενον τῆς Ἀττικῆς λιμένα, ἀνήγγειλέ σοι τί τῶν ἀνιαρῶν, ὃ μαθοῦσα καταβέβλησαι κλινήρης.

Τῇ γὰρ δυστρόπῳ ἁρμονίᾳ τῶν γυναικῶν σύνοικός ἐστιν ἡ ἀμηχανία, ὠδῖνάς τε καὶ ἀφροσύνας αὐταῖς ἐμποιοῦσα; τοῦτο δὲ τὸ πάθος κἀκ τῆς ἐμῆς ὑστέρας πολλάκις διῆξε· καὶ ἐπεκαλεσάμην τὴν εὔλοχον Ἄρτεμιν οὐρανόθεν, ἥ

τὴν Ῥέαν ἢ Κυβέλην ἐννοεῖ. 145. Δίκτυνναν] τὴν Ἄρτεμιν λέγει· Βριτόμαρτις νύμφη, Μίνω διώκοντος ἐπὶ ἔρωτι, ῥίψασα ἑαυτὴν εἰς τὴν θάλασσαν, διεσώθη ἐν δικτύοις ὑπὸ τῆς θεᾶς· ὅθεν Δίκτυννα· 146. Ἀνίερος ἀθύτων πελάνων κατὰ στέρησιν ταῦτα· ἐπὶ τῷ μὴ θῦσαι θύματα πελάνων, πλακούντων· ἄθυτα δὲ, ὡς μη διὰ πυρὸς καὶ αἵματος· ἀλλ' ἁπλῶς θυσία ξηρά. 148. Χέρσονθ'] ἐν ἄλλοις δὲ, χέρσουθ'. 152. Ποιμαίνει] διαβουκολεῖ, θέλγει· μεταφορικόν· γράφεται καὶ πημαίνει, βλάπτει. 159. Εὐναίᾳ] ὡς μὲν εὐθεῖα συντακτέα πρὸς τὸ ψυχά· ὡς δὲ δοτικὴ (εὕρηται γὰρ καὶ οὕτω) πρὸς τῇ λύπῃ. 160. Δυστρότῳ ἁρμονίᾳ] τὴν ἀδύνατον κρᾶσιν καὶ σύστασιν τῶν σωμάτων τῶν γυναικῶν ἐννοητέον, δι' ἣν ἐκ λύπης τινὸς ἢ φόβου ἐκπίπτουσιν εἰς λειποθυμίας. ἢ ὑστερικὰ πάθη, εἰ μήτι τὰς ὠδῖνας τοῦ τόκου ἐννοεῖ· διὸ καὶ εὔλοχον ὀνομάζῃ ἐπικαλουμένη τὴν Ἄρτεμιν, ὡς ἐπιστατοῦσαν καὶ μαιεύουσαν τὰς τικτούσας. 166. Ἀΰτευν] ἀΰτουν, ἐπεκαλούμην· τὸ δὲ πολυζήλωτος εἶεν μᾶλλον εὐκτὴ, ἢ ἐπιθυμητή· ὅ ἐστι φοιτᾷ μοι ἡδομένῃ καὶ εὐχομένῃ.

Καί μοι πολυζήλωτος αἰ·
Εἰ σὺν θεοῖσι φοιτᾷ.
Ἀλλ' ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
Τήνδε κομίζουσ' ἔξω μελάθρων·
Στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται.
Τί ποτ' ἐστί; μαθεῖν ἔραται ψυχὰ,
Τί δεδήληται
Δέμας ἀλλόχροον βασιλείας;

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ, ΧΟΡΟΣ.

ΤΡ. Ὦ κακὰ θνητῶν στυγεραίτε νόσοι!
Τί σ' ἐγὼ δράσω; τί δὲ μὴ δράσω;
Τόδεσοι φέγγος λαμπρὸν, ὅδ' αἰθὴρ,
Ἔξω δὲ δόμων ἤδη νοσερᾶς
Δέμνια κοίτας·
Δεῦρο γὰρ ἐλθεῖν, πᾶν ἔπος ἦν σοι·
Τάχα δ' ἐς θαλάμους σπεύσεις τὸ πάλιν·
Ταχὺ γὰρ σφάλλῃ, κοὐδενὶ χαίρεις·
Οὐδέ σ' ἀρέσκει τὸ παρὸν, τὸ δ' ἀπὸν
Φίλτερον ἡγῇ·
Κρεῖσσον δὲ νοσεῖν, ἢ θεραπεύειν·
Τὸ μέν ἐστιν ἁπλοῦν, τῷ δὲ συνάπτει
Λύπη τε φρενῶν χερσίν τε πόνος.
Πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
Κοὐκ ἔστι πόνων ἀνάπαυσις·

τόξων τε καὶ κυνηγεσίων μάλιστα μέλει· καί μοι ἐπιθυμητὴ καὶ ἀγαστὴ προσφοιτᾷ σὺν θεοῖς πρὸς ἐπικουρίαν.

Ἀλλ' ἤδη ὁρῶ τὴν γεραιὰν τήνδ' ἐκκομίζουσαν τῆς οἰκίας ἐκείνην δεῦρ' ὡς ἡμᾶς· φεῦ, φεῦ, οἷον νέφος τὸ τῆς Φαίδρας πρόσωπον ἐγκαλύπτει· ὅσον δὲ καὶ ἡ ἐμὴ ψυχὴ ἐφίεται μαθεῖν, δι' ἣν αἰτίαν τὸ σῶμ' αὐτῇ καταπεπτωκὸς, ἐξηλλοίωται οὕτως, στυγνὸν γεγενημένον ὅλως.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ, ΧΟΡΟΣ.

ΤΡ. Ὦ δυστυχίαι καὶ νόσοι τῶν θνητῶν στυγεραί! τί γὰρ δράσω, καὶ τίνων ἀπόσχωμαι; ἰδοὺ νῦν φῶς τοῦτο λαμπρὸν, ἰδοὺ αἰθὴρ καθαρὸς, οὐκέτι σοι εὐνὴ ἐν νοσερῷ οἰκήματί ἐστιν ἔνδον· ἀλλ' ἔνθ' ἐκέλευσας μετακομισθῆναι· τοῦτο γὰρ ἦν σοι ὁ συχνότερος λόγος· τάχα δ' ἂν αὖθις μεταβαλοῦσα, ἐπιθυμήσαις ἐπανελθεῖν εἰς τὸν θάλαμον πάλιν· οὐδαμοῦ γὰρ ἀρέσκῃ ὑπ' ἀπορίας, τὸ παρὸν τοῦ μὴ παρόντος χεῖρον ἀεὶ τιθεμένη· ἀνθ' ὧν κρεῖττον ἔμοιγε νοσεῖν αὐτὴν, ἢ ἄλλους τοῦτο πάσχοντας θεραπεύειν· ἐκεῖνο μὲν γὰρ ἕν ἐστι καὶ ἁπλοῦν. ἐν δὲ τῷ θεραπεύειν διπλοῦν τὸ κακόν· πρὸς γὰρ τῷ ἀπαυδᾷν πρὸς τοὺς πόνους, πρόσεστι καὶ ἡ λύπη τὴν

Ἀλλ' ὅ,τι τοῦ ζῆν φίλτερον ἄλλο,
Σκότος ἀμπίσχων κρύπτει νεφέλαις.
Δυσέρωτες δὴ φαινόμεθ' ὄντες
Τοῦδ', ὅτι τοῦτο στίλβει κατὰ γᾶν
Δι' ἀπειροσύναν ἄλλου βιότου,
Κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας·
Μύθοις δ' ἄλλως φερόμεσθα·

ΦΑ. Αἴρετέ μου δέμας, ὀρθοῦτε κάρα·
Λέλυμαι μελέων σύνδεσμα, φίλαι.
Λάβετ' εὐπήχεις χεῖρας, πρόπολοι.
Βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν·
Ἄφελ', ἀμπέτασον βόστρυχον ὤμοις.

ΤΡ. Θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς
Μετάβαλλε δέμας.
Ῥᾷον δὲ νόσον μετά θ' ἡσυχίας
Καὶ γενναίου λήματος οἴσεις.
Μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

ΦΑ. Αἶ, αἶ·
Πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος
Καθαρῶν ὑδάτων πῶμ' ἀρυσαίμαν;
Ὑπό τ' αἰγείροις ἔν τε κομήτῃ
Λειμῶνι κλιθεῖσ' ἀναπαυσαίμαν;

ΤΡ. Ὦ παῖ, τί θροεῖς;
Οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσῃ,
Μανίας ἔποχον ῥίπτουσα λόγον.

---

190. Ἀλλ' ὅ,τι τοῦ ζῆν φίλτερον ἄλλο] ταύτην τὴν γραφὴν προειλόμην· ἐν ἄλλοις δ

ψυχὴν παραφθείρουσα· οὕτω γὰρ ὀδυνηρός ἐςι τῶν ἀνθρώπων ὁ βίος, καὶ ἀνάπαυλα ἐν αὐτῷ οὐκ ἔςι κακῶν· ὃ δὲ μόνον κρεῖττόν ἐστι τοῦ ζῆν, τοῦτο συγκεκάλυπται σκότῳ· ἡμεῖς δ' ὁρῶντες τὸ φῶς ἐπὶ γῆς, ἐμφιλοχωροῦμεν τοῖς τῆδε ἀγνοίᾳ πάντως τῶν ὑπὸ γῆν, ὡς μηδεμίαν ἐκεῖθεν ἡμῖν παρασχόντων ἀπόδειξιν, ὅ,τι εἶεν· μύθοις δ' ἄλλως ἐξαπατώμενοι, ἀποφεύγομεν.

ΦΑ. Ἄρατέ μοι μικρὸν τὸ σῶμα· ὀρθώσατέ μου τὴν κεφαλήν· παραλέλυμαι ὅλως, ὦ φίλαι· ἀναλαβοῦσαί μου τὰς χεῖρας, ἀνακουφίζετε· ἐμοὶ δὲ καὶ τὸ τῆς κεφαλῆς ἐπίκρανον τοῦτ' ἐπιβρίθον, διενοχλεῖ· ἀφελοῦσαί μου τοῦτο, χαλᾶτε τὸν βόςρυχον ἀνειμένως ἐπὶ τῶν ὤμων.

ΤΡ. Θάρρει, τέκνον, καὶ μὴ μετάβαλλε τόπον ἐκ τόπου σὺν πόνῳ· οὕτω γὰρ, οἶμαι, ῥᾷον ἂν ἀνέγκοις τὴν νόσον ἐξ ἡσυχίας καὶ γενναίου φρονήματος· ἀνάγκη δὲ θνητοὺς ὄντας τοιαῦτα πάσχειν.

ΦΑ. Αἶ, αἶ· πῶς ἂν εἴη μοι, ὡς' ἀπὸ δροσερᾶς κρήνης ὕδωρ ἀρυσαμένη διαυγὲς, κατακλιθεῖσά τε ὑπ' αἰγείροις ἐν εὐανθεῖ λειμῶνι, ἀναπαυσαίμην;

ΤΡ. Τί φής, ὦ παῖ; οὐ γὰρ καλὸν τοιούτους λόγους ἐκσφενδονᾷν πρὸς ὄχλον, μανίας ὑπόνοιαν ἔχοντας.

---

κεῖται Ἄλλο τι τοῦ ζῆν φίλτερον, ἀλλ' ὅ. τὸ δὲ Ἀμπίσχων, καὶ Ἀμπίσχον εὑρίσκεται. 196 Μύθοις] ὑποτίθησι ζωὴν μετὰ θάνατον τῆς παρούσης βελτίω· τὰ δὲ Ἀχέρων, καὶ Κωκυτὸς, καὶ Ἔρεβος μύθοις μόνοις ἐρειδόμενα, ἀπόδειξιν ἑαυτῶν οὐ παρέχουσιν. 208. Δροσερᾶς] ὕδωρ φαντάζεται, ἵνα τὸν φλογίζοντα ἔρωτα σβέσῃ· καὶ τἄλλα δ' ἑξῆς ταὐτὰ αἰνίττεται, πρὸς τὰς τοῦ Ἱππολύτου διατριβὰς ἐν ὄρεσιν ὑποδραμούσης αὐτῇ τῆς διανοίας. 214. Μανίας ἔποχον λόγον] ὁ λόγος

ΦΑ. Πέμπετέ μ' εἰς ὄρος· εἶμι πρὸς ὕλαν
Καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
Στείβουσι κύνες,
Βαλίαις ἐλάφοις ἐγχριπτόμεναι·
Πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι,
Καὶ παρὰ χαίταν ξανθὰν ῥίψαι
Θεσσαλὸν ὅρπακ', ἐπίλογχον ἔχουσ'
Ἐν χειρὶ βέλος.
ΤΡ. Τίποτ' ὦ τέκνον, τάδε κηραίνεις;
Τί κυνηγεσίων καὶ σοὶ μελέτης;
Τί δὴ κρηναίων νασμῶν ἔρασαι;
Πάρα γὰρ δροσερὰ πύργοις συνεχὴς
Κλιτὺς, ὅθεν σοι πῶμα γένοιτ' ἄν.
ΦΑ. Δέσποιν' ἁλίας Ἄρτεμι Λίμνας
Καὶ γυμνασίων τῶν ἱπποκρότων,
Εἴθε γενοίμαν ἐν σοῖς δαπέδοις,
Πώλους Ἐνέτας δαμαλιζομένα.
ΤΡ. Τί τόδ' αὖ παράφρων ἔῤῥιψας ἔπος;
Νῦν δὴ μὲν ὄρος βᾶσ', ἐπὶ θήρας
Πόθον ἐστέλλου, νῦν δ' αὖ ψαμάθοις
Ἐπ' ἀκυμάντοις πώλων ἔρασαι.
Τάδε μαντείας ἄξια πολλᾶς,
Ὅστις σε θεῶν ἀνασειράζει,
Καὶ παρακόπτει φρένας, ὦ παῖ.

---

οὗτος ἐρείδεται μανίᾳ. 220. Παρὰ ξανθὰν χαίταν] ἐν ἄλλοις, κόμαν· πότερον ἐπὶ τὴν ξανθὴν κόμην τῶν ἐλάφων ῥίψαι τὸ βέλος, ἢ ἄρασα τοῦτο παρὰ τὴν ἑαυτῆς ξανθὴν κόμην, οὕτως ἀκοντίσαι; ἴσως τὸ δεύτερον μᾶλλον, ἵνα ᾖ, καὶ ῥίψας τὸν θεσσαλὸν ὅρπακα, ἔχουσα τοῦτον ἐπίλογχον (διηκυλισμένον, ἢ α-

ΦΑ. Ἄγετέ με παρὰ τὰ ὄρη πρὸς τὴν ὕλην καὶ τὰς ὑψιτενεῖς πεύκας, ἔνθα κύνες θηρευτικαὶ περιςείχουσαι, ἐπιτίθενται ταῖς ἐλάφοις· πρὸς θεῶν ἐφίεμαι ἐξορμῆσαι τὰς κύνας, καὶ βέλος θεσσαλικὸν ἐπίλογχον ἔχουσα ἐν χερσὶν, ἀφιέναι τοῦτ' ἐπὶ τὰ θηρία.

ΤΡ. Τί ποθ' οὕτως, ὦ τέκνον, περισπᾷ τὴν διάνοιαν τούτοις τίσοι κοινὸν καὶ κυνηγεσίοις; τίς ἐπιθυμία κρηναίων ὑδάτων, παρὸν ἐκ τοῦ ἐγγυτάτω ἀπὸ τῆς πέτρας ταύτης ἀρύσασθαι;

ΦΑ. Ἄρτεμις, δέσποινα τῆς θαλασσίας Λίμνης καὶ τῶν ἱππικῶν γυμνασίων, δός μοι ἐν τῷ ἱπποκρότῳ σταδίῳ ἵππους Ἐνέτας ἀσκῆσαι κατελθοῦσαν.

ΤΡ. Τίν' αὖ τοῦτον παράφρονα ἔρριψας λόγον; ἄρτι μὲν γὰρ ἐπὶ τὰς τῶν ὀρέων κορυφὰς ἀναπτερωθεῖσα, ἐπὶ κυνηγέσια περιεπόλεις τῇ διανοίᾳ· νῦν δ' αὖ ἐν ςαδίοις ἱπποκρότοις πόθος σε φέρει παρὰ τῇ ψάμμῳ ἀσκῆσαι ἵππους· οὐκοῦν μαντείας ἡμῖν δεήσει πρὸς ταῦτα, ὥςε μαθεῖν, ὅςτις θεῶν σφάλλει σε οὕτω, καὶ παρατρέπει τὴν γνώμην.

---

θηρᾶν λόγχην ἔχοντα) παρὰ τὴν ξανθὴν ἑαυτῆς κόμην. οἱ γὰρ μέλλοντες ἀκοντίσειν, παραφέρουσι τὴν λόγχην τοῦ βέλους παρὰ τὸ οὖς, περὶ δὲ γυναιξί μάλιςα ἀνεῖται ἡ κόμη· θεσσαλικὸν δὲ ὅρπακα λέγει τὸ ἀκόντιον, ὅτι ἐν Θεσσαλίᾳ εὕρηται πρῶτον. 224. Καί σοι μελέτης] παρέλκοντος τοῦ Καὶ, ὀρθοῦται οὕτω, τί τῆς μελέτης σοι τῶν κυνηγεσίων; ἢ τί κοινόν σοι καὶ κυνηγεσίοις; τὸ δὲ Μελέτης, εὕρηται καὶ εἰς δοτικὴν, Μελέτῃ. 227. Κλιτὺς] πέτρα κεκλιμένη, ἐξ ἧς ἔρρει ὕδωρ ἡ αὐτὴ τῇ ἀνωτέρω στίχ. 120 καὶ ἑξῆς. 227. Δέσποιν' ἁλίας Ἄρτεμι λίμνας] ἐν ἄλλοις ἀντὶ τοῦ Ἁλίας, Δίκη, κεῖται· τὸ δὲ λίμνας, Λίμνας, τινὲς γράφουσιν, ὡς γυμνάσιον ὂν τοῦτο τῶν ἵππων· καὶ κατωτέρω (1124) οὕτω δοκεῖ ἔχειν· ἀλλ' ἀνωτέρω αὖ τούτου (στίχ. 148) ἐποίησε τὴν θεὰν καὶ διὰ λίμνας φοιτῶσαν· 231. Ἐνέτας] ἔθνος ἦν Ἐνέται ἐν τῇ Ἀσίᾳ τὸ πρῶτον οἰκοῦντες, ἀπῳκίσθησαν δ' ὕστερον περὶ τὸν Ἀδρίαντα·

ΦΑ. Δύστανος ἐγὼ, τί ποτ' εἰργασάμαν;
Ποῖ παρεπλάγχθην γνώμας ἀγαθᾶς;
Ἐμάνην, ἔπεσον δαίμονος ἄτᾳ.
Φεῦ, φεῦ, τλήμων.
Μαῖα, πάλιν μου κρύψον κεφαλάν.
Αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
Κρύπτε· κατ' ὄσσων δάκρυ μοι βαίνει,
Καὶ ἐπ' αἰσχύνην ὄμμα τέτραπται.
Τὸ γὰρ ὀρθοῦσθαι γνώμαν ὀδυνᾷ,
Τὸ δὲ, μαινόμενον κακὸν, ἀλλὰ κρατεῖ
Μὴ γιγνώσκοντ' ἀπολέσθαι.

ΤΡ. Κρύπτω· τὸ δ' ἐμὸν πότε δὴ θάνατος
Σῶμα καλύψει;
Πολλὰ διδάσκει μ' ὁ πολὺς βίοτος.
Χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
Φιλίας θνατοὺς ἀνακίρνασθαι,
Καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχᾶς,
Εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν,
Ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι.
Τὸ δ' ὑπὲρ δισσῶν μίαν ὠδίνειν
Ψυχὰν χαλεπὸν βάρος· ὡς κἀγὼ
Τῆσδ' ὑπεραλγῶ.
Βιότου δ' ἀτρεκεῖς ἐπιτηδεύσεις
Φασὶ σφάλλειν πλέον, ἢ τέρπειν,
Τῇ θ' ὑγιείᾳ μᾶλλον πολεμεῖν.

---

ὕστερα δὲ ταῦτα τῶν Θησέως χρόνων· 239. δύστηνος ἐγὼ] ἐλθοῦσα εἰς ἑαυ-

ΦΑ. Ὦ δύστηνος ἐγὼ, τί ποθ' οὕτω παρακεκίνημαι, ἐκστᾶσα τοῦ καθεστηκότος; μέμην' ἄρ' ἡ τάλαιν' ἐγὼ, δαίμονός τινος ἐπηρείᾳ περιπεσοῦσα· φεῦ, φεῦ ἡ τλήμων· ἀλλ', ὦ μαῖα φίλη, κάλυψόν μοι πάλιν τὴν κεφαλήν· αἰσχύνη γάρ ἔχει με ἤδη· κάλυψόν με· δάκρυ' ἤδη τῶν παρειῶν καταῤῥεῖ, καὶ αἰσχύνομαι ἀπέναντι βλέπειν· ὀδυνηρὸν γὰρ λίαν εἰς ἑαυτὸν ἐλθόντα, τῶν πρὶν κακῶν μνημονεύειν· ἐν δὲ τῷ μεμηνέναι ἔστι μέν τι κἀν τούτῳ κακὸν, ἀλλὰ νικᾷ τῷ τὸν πάσχοντα τοῦτο ἀσυνειδήτως πάσχειν.

ΤΡ. Σὲ μὲν καλύπτω ἐγώ· τὸ δ' ἐμὸν σῶμα πότ' ἐλθὼν καλύψει ὁ θάνατος; φεῦ, οἷα καὶ ὅσα ἔξεστι μαθεῖν ἐν μακρῷ τῷ αἰῶνι· οὐ γὰρ δεῖ ἀῤῥήκτους τε καὶ ἀδιαστάστους τοὺς τῆς φιλίας δεσμοὺς συνδεῖν πρὸς ἀλλήλους, οὐδ' ἐκ τοῦ μυελοῦ τῆς ψυχῆς τὸ τούτων ἅμμα ἐξαρτᾶν, ἀλλ' ὅσον εὐλύτους εἶναι, ἵν' ᾖ ἡμῖν ποτε ἀνεῖναί τε καὶ ἐντεῖναι αὐτοὺς κατὰ χρείαν· τὸ δὲ μίαν ψυχὴν ὀδυνᾶσθαι ὑπὲρ ἀμφοῖν, ὅπερ κἀμοὶ νῦν συμϐαίνει πάσχειν, χαλεπόν ἐστιν ὅλως· τὰ γὰρ τῆς ἐν τῷ βίῳ φιλίας δεσμὰ, ὅσον ἂν ᾖ συντονώτερα, τοσοῦτον ἐπισφαλέστερα μᾶλλον, ἢ ἐπιτερπέστερα, πρὸς δὲ καὶ τῇ ὑγιείᾳ πολέμια τοῖς ταῦτ' ἐπιτηδεύουσι γίγνεται· οὕτως

---

τὴν, ὀδύρεται ἐπὶ τοῖς εἰρημένοις ὡς ἀναισχυντήσασα· 248. Ἀλλὰ κρατεῖ·] κρεῖττόν ἐστι κατὰ τοῦτο, ὅτι ἀπόλλυταί τις ἄνευ συνειδήσεως τοῦ πάθους· 250. Τὸ δ' ἐμὸν] ἀπειρηκυῖα ἡ ταλαίπωρος γραῦς, ἐπιθυμεῖ ἀποθανεῖν· ὡς πολλὰ ἁρμοδία τῷ ποιητῇ ἡ μίμησις τοῦ ἤθους. 155. Μυελὸν ψυχῆς] τὸ κέντρον. τολμηρὰ μὲν ἡ μεταφορὰ, ὀρθὴ δὲ ἐν τοιαύτῃ ἀμηχανίᾳ τῆς γραός· 261. Ἀτρεκεῖς ἐπιτηδεύσεις] σφιγκτοὺς δεσμοὺς τῆς φιλίας· τὸ πάθος δὴ

Οὕτω τὸ λίαν ἧσσον ἐπαινῶ<br>
Τοῦ μηδὲν ἄγαν·<br>
Καὶ ξυμφήσουσι σοφοί μοι.

ΧΟ. Γύναι γεραιὰ, βασιλίδος πιςὴ τροφὲ<br>
Φαίδρας, ὁρῶμεν τάσδε δυςήνους τύχας·<br>
Ἄσημα δ' ἡμῖν, ἥτις ἐςὶν ἡ νόσος.<br>
Σοῦ δ' ἂν πυθέσθαι καὶ κλύειν βουλοίμεθ' ἄν.

ΤΡ. Οὐκ οἶδ' ἐλέγχουσ'· οὐ γὰρ ἐννέπειν θέλει.

ΧΟ. Οὐδ' ἥτις ἀρχὴ τῶνδε πημάτων ἔφυ;

ΤΡ. Ἐς ταυτὸν ἥκεις· πάντα γὰρ σιγᾷ τάδε.

ΧΟ. Ὡς ἀσθενεῖ τε καὶ κατέξανται δέμας!

ΤΡ. Πῶς δ' οὔ, τριταίαν γ' οὖσ' ἄσιτος ἡμέραν;

ΧΟ. Πότερον ὑπ' ἄτης, ἢ θανεῖν πειρωμένη;

ΤΡ. Θανεῖν· ἀσιτεῖ δ' εἰς ἀπόστασιν βίου.

ΧΟ. Θαυμαστὸν εἶπας, εἰ τάδ' ἐξαρκεῖ πόσει.

ΤΡ. Κρύπτει γὰρ ἥδε πῆμα, κοὔ φησιν νοσεῖν.

ΧΟ. Ὁ δ' ἐς πρόσωπον οὐ τεκμαίρεται βλέπων;

ΤΡ. Ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.

ΧΟ. Σὺ δ' οὐκ ἀνάγκην προσφέρεις, πειρωμένη<br>
Νόσον πυθέσθαι τῆσδε καὶ πλάνον φρενῶν;

ΤΡ. Ἐς πάντ' ἀφῖγμαι, κοὐδὲν εἴργασμαι πλέον.<br>
Οὐ μὴν ἀνήσω γ' οὐδὲ νῦν προθυμίας,<br>
Ὡς ἂν παροῦσα καὶ σύ μοι ξυμμαρτυρῇς,<br>
Οἵα πέφυκα δυστυχοῦσι δεσπόταις.<br>
Ἄγ', ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων<br>
Λαθώμεθ' ἄμφω, καὶ σύ θ' ἡδίων γενοῦ,

---

νῦν λαλεῖ, οὐχ ὁ λόγος ὁ ὀρθός. 266. Συμφήσουσι] ἐννοεῖ τὸν εἰπόντα σοφὸν.

ἔμοιγε τὸ μηδὲν ἄγαν ἐστὶ προτιμητέον τοῦ λίαν· καί μοι συνεροῦσι πρὸς ταῦτα σύμπας ὁ χορὸς τῶν σοφῶν.

ΧΟ. Ὦ γεραιὰ, τροφὲ Φαίδρας τῆς βασιλίσσης πιςή· τὰ μὲν παρόντα ὁρῶμεν, εἶα· τὴν δὲ νόσον αὐτὴν, ἥτις εἴη, παντελῶς ἀγνοοῦμεν· βουλοίμεθα δ' ἂν παρὰ σοῦ τοῦτο μαθεῖν.

ΤΡ. Οὐδ' ἔμοιγέ πω σαφὲς τοῦτο, καίπερ πάντα τρόπον ἐξετασάσῃ· κρύπτεται γὰρ καὶ οὐκ ἐθέλει ἐκφῆναι τὸ πάθος εἰς ἄλλους.

ΧΟ. Οὐδ' αὐτήν γε οἶσθα τὴν αἰτίαν τῆς νόσου;

ΤΡ. Πώμαλα· ἀπόρρητον γὰρ αὐτῇ γε καὶ τοῦτο.

ΧΟ. Καὶ μὴν ἀσθενεῖ, καὶ φθείρεται λίαν τὸ σῶμα.

ΤΡ. Εἰκότως, τριταία τροφῆς μὴ ἀψαμένη.

ΧΟ. Πότερον, ὑπὸ νόσου, ἢ θανεῖν βουλομένη;

ΤΡ. Τὸ δεύτερον δοκεῖ, ὡς τροφῆς πάμπαν ἀπεχομένη.

ΧΟ. Παράδοξα φὴς, εἰ καὶ ὁ ἀνὴρ αὐτῆς ςέργει ταῦτα.

ΤΡ. Κἀκείνῳ γὰρ ὁμοίως ἄγνωςον τὸ πάθος.

ΧΟ. Πῶς δέ; ἐκ τῆς ὄψεως οὐ τεκμαίρεται τοῦτο;

ΤΡ. Καὶ μὴν ἐκεῖνος νῦν ἀποδημῶν τυγχάνει.

ΧΟ. Σὺ δ' οὐκ ἐπεβάλλου μαθεῖν τὴν νόσον, καὶ τῶν φρενῶν τὴν πλάνην;

ΤΡ. Πᾶς ὁ πόνος ἐς τόδε φροῦδος· ἀλλὰ καὶ νῦν πεῖραν λήψομαι, ἵν' εἰδῇς καὶ αὐτὴ, οἵα ἐγὼ εἰμὶ δυστυχοῦσι δεσπόταις.

Ἀλλ', ὦ φίλον τέκνον, τὰ μὲν εἰρημένα χαιρέτωσαν, ὅτι μὴ εἴρηται κατὰ κόσμον· νῦν δὲ ῥᾴων μοι γενοῦ,

Στυγνὴν ὀφρὺν λύσασα καὶ γνώμης ὁδὸν,
Ἐγὼ θ', ὅπῃ σοι μὴ καλῶς τόθ' εἱπόμην,
Μεθεῖσ', ἐπ' ἄλλον εἶμι βελτίω λόγον.
Κεἰ μὲν νοσεῖς τι τῶν ἀποῤῥήτων κακῶν,
Γυναῖκες αἵδε συγκαθιστάναι νόσον.
Εἰ δ' ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
Λέγ', ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
Εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾷν, τέκνον,
Ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
Ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
Φθέγξαι τι· δεῦρ' ἄθρησον· ὢ τάλαιν' ἐγώ!
Γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους,
Ἴσον δ' ἄπεσμεν τῷ πρίν· οὔτε γὰρ τότε
Λόγοις ἐτέγγεθ' ἥδε, νῦν τ' οὐ πείθεται.
Ἀλλ' ἴσθι μέντοι (πρὸς τάδ' αὐθαδεστέρα
Γίγνου θαλάσσης), εἰ θανῇ, προδοῦσα σοὺς
Παῖδας, πατρῴων μὴ μεθέξοντας δόμων,
Μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
Ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
Νόθον, φρονοῦντα γνήσι', οἶσθά νιν καλῶς,
Ἱππόλυτον.

ΦΑ. Οἴ μοι!

ΤΡ. Θιγγάνει σέθεν τόδε;

ΦΑ. Ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
Τοῦδ' ἀνδρὸς αὖθις λίσσομαι σιγᾷν πέρι.

---

Μηδὲν ἄγαν· 297. Εἶεν] ἐν ἄλλοις κεῖται, Ἔα· καὶ ἄμεινον ἴσως. 302. ἴσον ἄπεσμεν τῷ πρὶν] ἀπέχομεν τοῦ μαθεῖν τι, ὅσον καὶ πρότερον. 306. Μεθέξοντας] σύνταξον τοῦτο πρὸς τὸ προδοῦσα· καὶ τοῦτο αὖ πρὸς τὸ ἴσθι· τά δ'

τό,τε νέφος τοῦτο λύσασα τῆς ὀφρύος, καὶ ἃ σκοπουμένη τυγχάνεις, ἀποβαλοῦσα ὅλως· ἐγὼ γὰρ, εἴτι μοι πρώην εἴρηται μὴ καλῶς, ἐπιλαθομένη νῦν τούτου, βελτίονι χρήσομαι λόγῳ· Εἰ μὲν οὖν νοσεῖς τι, ὃ δεῖ παρ' ἡμῖν μόναις μένειν, λέγε πρὸς τάςδε γυναῖκας οὔσας, οἵας σοὶ χεῖρα παρασχεῖν ἀρωγόν· εἰ δὲ μηδὲν κωλύει καὶ πρὸς ἄνδρας κοινοῦσθαι τοῦτο, τί μὴ ζητητέον τὴν παρὰ τῶν ἰατρῶν θεραπείαν; τί σιγᾷς πρὸς ταῦτα; οὐ χρὴ σιγᾶν σε, ὦ τέκνον, ἀλλ' ἢ ἐξελέγξαι, εἴτι μὴ καλῶς εἴρηταί μοι, ἢ πεισθῆναι τοῖς καλῶς εἰρημένοις· βλέψον γοῦν μικρὸν εἰς ἐμέ· ὦ τάλαιν' ἐγώ! γυναῖκες, μάτην ἔῤῥιπται, ὁρᾶτε, καὶ ταῦθ' ὁμοίως τοῖς πρώτοις· οὔτε γὰρ ἐκείνοις εὐπειθὴς ἦν, οὔτε τούτων ἐθέλει ἀκούειν· ἀλλ' ἴσθι σύγε (καί μοι πρὸς τοῦτο ἀγριωτέρα γενοῦ θαλάσσης.) εἰ ἀποθανῇ, προδώσεις τοὺς σαυτῆς παῖδας, ἀποκλήρους τῶν πατρῴων ποιοῦσα. Ναὶ μὰ τὴν ἄνασσαν ἱππείαν Ἀμαζόνα, ἣ δεσπότην τοῖς σοῖς τέκνοις κατέλιπε παῖδα, νόθον μὲν, γνήσια δὲ φρονοῦντα· οἶσθα γὰρ Ἱππόλυτον.

ΦΑ. Οἴμοι.

ΤΡ. Τί ποτε δάκνει σε τοῦτο;

ΦΑ. Ἀπώλεσάς με, μαῖα· καὶ δέομαί σου πρὸς θεῶν μηκέτι τἀνδρὸς τούτου μνησθῆναι πρός με.

---

ἄλλα ὡς ἐν παρενθήκῃ· ὁ μὲν νοῦς ἀλλ' ἴσθι... ὡς θανοῦσα, προδώσεις τοὺς σαυτῆς παῖδας, ὡς μὴ μεθέξοντας. καὶ τλ. 307. Μὰ τὴν Ἀμαζόνα] τὴν Ἱππολύτην· ὀμνύει δ' ἐκείνην πρὸς ἐρεθισμόν· νόθον δὲ λέγει τὸν Ἱππόλυτον, ὃς ἐξ ἄλλης, καίτοι καὶ αὐτὸς Ἱππόλυτος κατωτέρω (1080) δέχεται τοῦτο.

ΤΡ. Ὁρᾷς; φρονεῖς μὲν εὖ, φρονοῦσα δ', οὐ θέλεις
Παῖδάς τ' ὀνῆσαι καὶ σὸν ἐκσῶσαι βίον.
ΦΑ. Φιλῶ τέκν'· ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι.
ΤΡ. Ἁγνὰς μὲν, ὦ παῖ, χεῖρας αἵματος φορεῖς.
ΦΑ. Χεῖρες μὲν ἁγναὶ, φρὴν δ' ἔχει μίασμά τι.
ΤΡ. Μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;
ΦΑ. Φίλος μ' ἀπόλλυσ' οὐχ ἑκοῦσαν οὐχ ἑκών.
ΤΡ. Θησεύς τιν' ἡμάρτηκεν ἔς σ' ἁμαρτίαν;
ΦΑ. Μὴ δρῶσ' ἔγωγ' ἐκεῖνον ὀφθείην κακῶς.
ΤΡ. Τί γάρ τὸ δεινὸν τοῦθ', ὅ σ' ἐξαίρει θανεῖν;
ΦΑ. Ἔα μ' ἁμαρτεῖν· οὐ γὰρ ἐς σ' ἁμαρτάνω.
ΤΡ. Οὐ δῆθ' ἑκοῦσά γ', ἐν δὲ σοὶ λελείψομαι.
ΦΑ. Τί δρᾷς; βιάζῃ, χειρὸς ἐξηρτημένη;
ΤΡ. Καὶ σῶν γε γονάτων οὐ μεθήσομαί ποτε.
ΦΑ. Κάκ', ὦ τάλαινα, σοὶ, τάδ' εἰ πεύσῃ κακά.
ΤΡ. Μεῖζον γὰρ, ἢ σοῦ μὴ τυχεῖν, τί μοι κακόν;
ΦΑ. Ὀλῇ· τὸ μέντοι πρᾶγμ' ἐμοὶ τιμὴν φέρει.
ΤΡ. Κἄπειτα κρύπτεις, χρήσθ' ἱκνουμένης ἐμοῦ;
ΦΑ. Ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλὰ μηχανώμεθα.
ΤΡ. Οὐκοῦν λέγουσα, τιμιωτέρα φανῇ.
ΦΑ. Ἄπελθε πρὸς θεῶν, δεξιάν τ' ἐμὴν μέθες.
ΤΡ. Οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδως, ὃ χρῆν.
ΦΑ. Δώσω· σέβας γὰρ χειρὸς αἰδοῦμαι τὸ σόν.
ΤΡ. Σιγῷμ' ἂν ἤδη· σὸς γὰρ οὐντεῦθεν λόγος.

---

324. Ἔα με ἁμαρτεῖν] ἀνασᾶσα ἐνταῦθα, ἄπεισιν ἀπαγξομένη· ἡ δὲ οὐκ ἐᾷ· ἀλλ' ἐν σοὶ λελείψομαι, φησίν· ὅ ἐστιν, οὐκ ἀπολείψομαί σου. 330. Τιμὴν φέρει]

ΤΡ. Ὁρᾷς, ὅπως εὖ μὲν φρονεῖς, ἀλλ᾽οὐκ ἐθέλεις διασωθεῖσα, καταλιπεῖν τοὺς σαυτῆς παῖδας εὐδαίμονας;

ΦΑ. Φιλῶ μὲν τούτους, ἐν ἄλλῳ δέ τῳ χειμάζομαι.

ΤΡ. Καὶ μὴν τὰς χεῖρας καθαρὰς ἔχεις φόνου.

ΦΑ. Οὐ μὴν δὲ καὶ τὰς φρένας ὁμοίως ταύταις.

ΤΡ. Μή τις γοητεία παρ᾽ ἐχθροῦ ἐνοχλεῖ σε;

ΦΑ. Φίλος μάλις᾽ ἄκουσαν ἄκων βλάπτει.

ΤΡ. Θησεὺς ἔοικεν εἰς σὲ ἐξυβρικέναι.

ΦΑ. Εἴθε μή ποτ᾽ ἐγὼ αὐτὴ ἐκεῖνον κακῶς ποιήσαιμι.

ΤΡ. Τίς οὖν ἀνάγκη πρὸς τὸ θανεῖν ἐπείγει;

ΦΑ. Ἔα με τοῦτο πρᾶξαι· σὺ δ᾽ οὐκ ἐνέχῃ ὅλως.

ΤΡ. Μὴ γένοιτό μοι, οὐδ᾽ ἀπολείψομαί σου.

ΦΑ. Τί δρᾷς, οὕτω μου τῆς χειρὸς ἠρτημένη;

ΤΡ. Καὶ τῶν γονάτων οὐχ ἧττον ἀψομένη.

ΦΑ. Ὦ δύςηνε, κακόν σοι ταῦτ᾽ εἰδέναι.

ΤΡ. Τί κακὸν μεῖζον, ἢ σοῦ ἀποςερεῖσθαι;

ΦΑ. Ὀλέθριον σοίγε, ἐμοὶ δὲ τίμιον.

ΤΡ. Εἶτ᾽ οὐ λέγεις τοῦτο, ἐμοῦ χρηςάσου δεομένην;

ΦΑ. Οὐμενουν· ἐκ γὰρ αἰσχρῶν χρηςὰ μηχανώμεθα.

ΤΡ. Καὶ μὴν εἰποῦσα, σοφωτέρα μοι ἔσῃ.

ΦΑ. Ἄπελθε πρὸς θεῶν, τῆς χειρὸς ἀφεθεῖσα.

ΤΡ. Οὐ δῆτα, ἢν μὴ κἀμοὶ ἐξείπῃς τοῦτο.

ΡΑ. Οὐκοῦν ἐρῶ, τὴν σὴν τιμῶσα χεῖρα.

ΤΡ. Σιγή μοι τοὐντεῦθεν· σοὶ δὲ λείπεται λέγειν.

---

τὸ ἀποθανεῖν με πρὸς σωφροσύνην. 332. Ἐκ γὰρ τῶν αἰσχρῶν] ἐκ τοῦ αἰσχροῦ

ΦΑ. Ὦ τλῆμον, οἷον, μῆτερ, ἠράσθης ἔρον;
ΤΡ. Ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φὴς τόδε;
ΦΑ. Σύ τ' ὦ τάλαιν' ὅμαιμε, Διονύσου δάμαρ.
ΤΡ. Τέκνον, τί πάσχεις; συγγόνους κακοῤῥαθεῖς.
ΦΑ. Τρίτη δ' ἐγὼ δύστηνος, ὡς ἀπόλλυμαι!
ΤΡ. Ἔκ τοι πέπληγμαι· ποῖ προβήσεται λόγος;
ΦΑ. Ἐκεῖθεν ἡμεῖς, οὐ νεωστὶ, δυστυχεῖς.
ΤΡ. Οὐδέν τι μᾶλλον οἶδ', ἃ βούλομαι κλύειν.
ΦΑ. Φεῦ.
Πῶς ἂν σύ μοι λέξειας, ἃ 'με χρὴ λέγειν;
ΤΡ. Οὐ μάντις εἰμὶ, τἀφανῆ γνῶναι σαφῶς.
ΦΑ. Τί τοῦθ', ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾷν;
ΤΡ. Ἥδιστον, ὦ παῖ, ταὐτὸν, ἀλγεινόν θ' ἅμα.
ΦΑ. Ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι.
ΤΡ. Τί φής; ἐρᾷς, ὦ τέκνον, ἀνθρώπων τινός;
ΦΑ. Ὅστις ποθ' οὗτός ἐσθ' ὁ τῆς Ἀμαζόνος —
ΤΡ. Ἱππόλυτον αὐδᾷς;
ΦΑ. Σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις.
ΤΡ. Οἴ μοι, τί λέξεις, τέκνον; ὥς μ' ἀπώλεσας.
Γυναῖκες, οὐκ ἀνάσχετ', οὐκ ἀνέξομαι
Ζῶσ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος.
Ῥίψω, μεθήσω σῶμ'· ἀπαλλαχθήσομαι

ἔρωτος βιαζομένη, μηχανῶμαι ἴαμα τούτου χρηστὸν τὸν βρόχον. 339. ὦ μῆτερ] οὐκ ἀποτολμᾷ δὲ αἰδοῖ εἰπεῖν ἀποτόμως τὸ πάθος, ἀλλὰ περιπλέκουσα τὸν λόγον ταῖς τῶν συγγενῶν συμφοραῖς, οὕτω δίδωσι τῇ γεραιᾷ συνιέναι, ὃ πάσχει· Πασιφάη γὰρ ἡ μήτηρ ἠράσθη Ταύρου, καὶ Ἀριάδνη ἡ ἀδελφὴ, Διονύσου. 344. Οὐ νεωστὶ] ἀποδίδωσι τὴν αἰτίαν εἰς την τοῦ γένους καταγωγήν.

ΦΑ. Ὦ τλῆμον μῆτερ, οἵῳ ἔρωτι κατεσχέθης.

ΓΡ. Τὸν τοῦ ταύρου, ἢ τίνα λέγεις τοῦτον;

ΦΑ. Καὶ σὺ, ἀδελφὴ, ἡ γυνὴ Διονύσου.

ΓΡ. Τί ποιεῖς, τέκνον; τοὺς συγγενεῖς ὑβρίζεις;

ΦΑ. Τρίτην δ' ἐμαυτὴν εἰσάγω παναθλίαν.

ΓΡ. Ἔκπληξις μ' ἔχει; τί σοι βούλεται ταῦτα;

ΦΑ. Ἐκεῖθεν τοῦτο κατῆλθέ μοι τὸ πάθος.

ΓΡ. Οὐχ ἧττον καὶ ταῦτ' ἀσαφῆ, ἢ τὰ πρῶτα.

ΦΑ. Πῶς ἂν εἴποις σύγ', ἃ ἐχρῆν ἐμὲ λέγειν;

ΓΡ. Μάντεως τοῦτ' ἐςι τἀσαφῆ προειδέναι.

ΦΑ. Τί ἐσθ', ὃ παρ' ἀνθρώποις καλεῖται ἔρως;

ΓΡ. Ἥδιςον ταὐτὸν καὶ ἀλγεινότατον πάντων.

ΦΑ. Οὐκοῦν ἔμεγε τὸ δεύτερον συντήκει.

ΓΡ. Τί φὴς, τέκνον; ἐρᾷς; τίνος ποτὲ ἀνθρώπων

ΦΑ. Ἔςι δὲ οὗτος ὁ τῆς Ἀμαζόνος ἐκεῖνος.

ΓΡ. Τὸν Ἱππόλυτον οὐκ ἄλλον, οἶμαι, λέγεις.

ΦΑ. Σὺ αὐτὴ ἔφης, καὶ σεαυτῆς ἀκούεις.

ΓΡ. Τί φὴς; ὦ τέκνον; οἴμοι τῇ δυςήνῳ, ἀπόλωλα ὅλως, λύεταί μου τὰ μέλη· γυναῖκες, πῶς ἀνασχετὰ ταῦτα; ἐγὼ γὰρ οὐκέτ' ἀνασχοίμην ἂν ζῆν· οὐκέτι μοι φίλον τὸ φῶς τὸ τοῦ ἡλίου· ῥίψω, ἐκτραχηλίσω ἐμαυτὴν κατὰ τῶν

---

σύνηθες τοῦτ' ἀνθρώποις εἰς ἄλλους ἀναφέρειν τὰς ἁμαρτίας. 347. Πῶς ἂν σύ μοι λέξειας ἄν] θέλει μὲν ἐκφῆναι τὸ πάθος, καταδυσωπεῖται δὲ ὑπὸ τῆς αἰδοῦς καὶ τοῦ συνειδότος. 354. Σοῦ τάδ' οὐκ ἐμοῦ ἀκούεις] τρόπος καὶ οὗτος τοῦ λέγειν, ἵν' ἐξ ἐκείνης ἡ τοῦ πράγματος γένηται ὁμολογία· ὅμοιον δὲ τούτῳ καὶ τὸ τοῦ Εὐαγγελιστοῦ· Βασιλεὺς εἶ σὺ τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο, σὺ εἶπας. 356. Οὐκ ἀνάσχετ'] πότερον, ἀνασχετὰ, ἢ ἀνάσχετε ὑμεῖς

Βίου θανοῦσα. χαίρετ'· οὐκ ἔτ' εἰμ' ἐγώ.
Οἱ σώφρονες γὰρ, οὐχ ἑκόντες, ἀλλ' ὅμως
Κακῶν ἐρῶσι· Κύπρις οὐκ ἄρ' ἦν θεὸς,
Ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
Ἣ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεσεν.

ΧΟ. Ἄϊες ὦ, ἔκλυες ὦ (Στρ)
Ἀνήκουσα τᾶς
Τυράννου πάθεα μέλεα θρεομένας;
Ὀλοίμαν ἔγωγε, πρὶν σὰν φίλαν
Κατανύσαι φρένα· ἰώ μοι, φεῦ φεῦ!
Ὦ τάλαινα τῶνδ' ἀλγέων!
Ὦ πόνοι τρέφοντες βροτούς!
Ὄλωλας, ἐξέφηνας ἐς φάος κακά.
Τίς σε παναμέριος ὅδε χρόνος μένει;
Τελευτάσεταί τι καινὸν δόμοις.
Ἄσημα δ' οὐκ ἔτ' ἐςὶν, οἷ φθίνει τύχα
Κύπριδος, ὦ τάλαινα παῖ Κρησία.

ΦΑ. Τροιζήνιαι γυναῖκες, αἳ τόδ' ἔσχατον
Οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
Ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
Θνητῶν ἐφρόντισ' ᾗ διέφθαρται βίος.
Καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
Πράσσειν κάκιον· ἔςι γὰρ τό γ' εὖ φρονεῖν
Πολλοῖσιν· ἀλλὰ τῇδ' ἀθρητέον τόδε·

---

τὸ πρῶτον. 362. εἴτι μεῖζον] ἔρως γὰρ ὑπέρτερός ἐςι θεῶν· καὶ παρὰ Στοβαίῳ εὕρηται τετράςιχον ἐκεῖνο τοῦ ποιητοῦ

κρημνῶν· ἀπαλλαγήσομαι τῶν τῆδε, θανοῦσα· χαίρεθ' ὑμεῖς, οὐκέτ' ἔχετέ με, οὐκέτ' ὄψεσθέ με· πῶς γὰρ, ὁπόθ' ὁρῶ καὶ τοὺς σώφρονας, καίπερ οὐχ ἑκόντας, ἀλλ' ὅμως κακῶν ἐρῶντας; ἠγνόουν ἄρα μὴ μόνον θεὸν εἶναι τὴν Ἀφροδίτην, ἀλλ' ὅ,τι καὶ θεοῦ ἐστι μεῖζον· αὕτη γὰρ ἐμέτ' αὐτὴν καὶ τήνδε, καὶ πᾶσαν ἀπώλεσε τὴν οἰκίαν.

ΧΟ. Ἤκουσας, ὦ φίλη, ἤκουσας, ᾧ ἡ βασίλισσα κατέχεται πάθει; φεῦ, ὦ δύστηνος, πῶς ἂν εἴη μοι φθάσαι τὴν σὴν συμφορὰν τῷ ἰδίῳ θανάτῳ· ὦ τάλαινα τῶν παρόντων κακῶν· ὦ πόνοι τροφεῖς τῶν βροτῶν· ἀπόλωλας, τὴν σαυτῆς ἐκφήνασα συμφοράν· τίς χρόνος τοῦ παρόντος διάδοχος μένει σε; ἔσται τι καινὸν ἐν τῷ Θησέως οἴκῳ· οὐκέτ' ἄδηλον, οἷ τύχης συνωθεῖ τὰ παρόντα ἡ Κύπρις· ὦ τάλαινα Κρῆσσα.

ΦΑ. Τροιζήνιαι γυναῖκες, αἳ τὸ πρόθυρον ὧδε τῆς Πελοποννήσου οἰκοῦσαι· ἔννοιά μοι ποτ' ἐν νυκτὶ αὐτομάτως ἐπῆλθεν ἐκείνη, ὅπως οὕτως ὁ τῶν ἀνθρώπων διαφθείρεται βίος, καί μοι ἔδοξε μὴ φύσει εἶναι σφίσι τὸ ἁμαρτάνειν· ὁρῶμεν γὰρ καὶ πολλοὺς αὐτῶν εὖ φρονοῦντας· ἑτέρως οὖν περὶ τούτου φιλοσοφητέον, πάντες μὲν

---

» Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
» Καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
» Ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὤν,
» Οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

364. Ἀΐες ὦ] τὸ Ὦ ἐνταῦθα κλητικὸν μὲν, οὐκ εἰσάγει δὲ πρόσωπον· γίγνεται δὲ ἐπὶ μεγάλης ἐκ πλήξεως· ὡς καὶ παρὰ Δημοσθένει, Ὦ πρὸς τῶν θεῶν· καὶ Ὦ, τί ἄνσε εἰπὼν, ἀξίως εἴπω· 368 Κατηλύσαι] ἐν ἄλλοις κεῖται· κατανύσαι·

Τὰ χρής' ἐπιςάμεσθα καὶ γιγνώσκομεν,
Οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργείας ὕπο,
Οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
Ἄλλην τίν'. εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
Μακραίτε λέσχαι καὶ σχολὴ, τερπνὸν κακὸν,
Αἰδώςτε· δισσαὶ δ' εἰσίν· ἡ μὲν οὐ κακὴ,
Ἡ δ' ἄχθος οἴκων. εἰ δ' ὁ καιρὸς ἦν σαφὴς,
Οὐκ ἂν δύ' ἤςην ταῦτ' ἔχοντε γράμματα.
Ταῦτ' οὖν ἐπειδὴ τυγχάνω προγνοῦσ' ἐγὼ,
Οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν
Ἔμελλον, ὥςε τοὔμπαλιν πεσεῖν φρενῶν.
Λέξω δὲ καὶ σοὶ τῆς ἐμῆς γνώμης ὁδόν.
Ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν, ὅπως
Κάλλις' ἐνέγκαιμ' αὐτόν· ἠρξάμην μὲν οὖν
Ἐκ τοῦδε σιγᾷν τήνδε καὶ κρύπτειν νόσον.
Γλώσσῃ γὰρ οὐδὲν πιςὸν, ἣ θηραῖα μὲν
Φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίςαται,
Αὐτὴ δ' ὑφ' αὐτῆς πλεῖςα κέκτηται κακά.
Τὸ δεύτερον δὲ, τὴν ἄνοιαν εὖ φέρειν

---

ἔστι δὲ, πρὶν ἂν σὺ καταλύσῃς τὴν σαυτοῦ καρδίαν τῷ ἔρωτι. 388. Δισσαὶ δ' εἰσὶν αὗται] διττὴν εἶναι τὴν Αἰδῶ καὶ ἄλλοις ἔδοξεν, ἀλλ' οὐχ ἧττον καὶ Ὅμηρος (Ὀδ· Ρ. 347·)

» Αἰδῶ δ' οὐκ ἀγαθὴν φήσ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.

Καὶ ἐν Ἰλιάδι. Ω. 44.

» . . . . . . . . . . . . Οὐδέ οἱ αἰδὼς
» Γίγνεται, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.

Ὁ Λουκιανὸς ἐν τῷ περὶ ἐρώτων (Κεφ. 37.) διαλευκαίνει σαφέστερον· ὅς φησί, δεινὰ γὰρ ὄντως κατὰ τὸν Τραγικὸν πνεύματα πνεῖ ὁ ἔρως· ἑνὸς δὲ ὀνόματος οὐχ ὅμοια τὰ πάθη κεκοινώνηκε· καὶ γὰρ αἰδὼς, ὠφελείας ὁμοῦ καὶ βλάβης ἀμφίβολός ἐςι δαίμων· εἶτα ἐπιφέρει τὸ τοῦ Ἡσιόδου Ἔργ. 315.

γὰρ ἐπιςάμεθα τὰ χρηςά· οὐ πάντες δὲ πράττομεν· οἱ μὲν, ὑπ' ἀμελείας· οἱ δὲ, ἄλλος ὑπ' ἄλλης προσαγόμενος ἡδονῆς· πολλαὶ γὰρ αὗται εἰσὶν ἐν τῷ βίῳ. οἷαι λέσχαι μακραὶ, καὶ ἀργίαι τερπνὸν φέρουσαι κακόν· καὶ πρὸς ταύταις αἰδὼς οὐκ ἀγαθή· ἔςι γὰρ αὐτῆς ἡ μὲν ἀγαθὴ, ἡ δὲ φθορὰ οἴκου· εἰ δὲ ᾔδειμεν τὸν καιρὸν, καθ' ὃν δεῖ αἰδεῖσθαι, οὐκ ἂν δύο ἦσαν, ταὐτὸν ὄνομα ἔχουσαι. Ταῦτ' οὖν γνοῦσα οὐδέποτ' ᾠόμην ἐξ οὐδεμιᾶς προφάσεως εἰς τοῦτ' ἀβελτηρίας χωρήσειν, ὥς' ἐκςῆναί με τῶν φρενῶν· καὶ δὴ ἐρῶ σοι, ὅ,τι ποτὲ πρὸς ταύτην τὴν συμφορὰν ἐσκεψάμην· ἅμα γὰρ τρωθεῖσα ὑπὸ τοῦ ἔρωτος, ἐσκόπουν, ὅπως ὡς κάλλιςα ἐνέγκοιμι τοῦτον· καὶ δὴ πρῶτον μὲν ἔδοξέ μοι ἄμεινον εἶναι κρύπτειν ὅλως τὴν νόσον, πρὸς μηδένα ἐκφήνασαν· τίς γὰρ οὐκ οἶδε τὴν γλῶσσαν ἄπιςον οὖσαν, ἄλλους μὲν καλῶς ἐπιςαμένην νουθετεῖν, αὐτὴν δ' ὑφ' αὑτῆς ἀπρονοήτως προδιδομένην; δεύτερον δὲ, καλῶς φέρειν τὴν συμφορὰν,

---

» Αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν.
» Οὐ μὴν οὐδ' ἐρίδων γένος ἐστὶν ἕν, ἀλλ' ἐπὶ γαῖαν
» Εἰσὶ δύω, τὴν μέν κεν ἐπαινέσειε νοήσας,
» Ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν·

Οὐδὲν οὖν παράδοξον (ἐπιφέρει ὁ αὐτὸς) εἰ πάθος ἓν ἀρετῇ κοινὴν προσηγορίαν ειν ἔτυχεν, ὥς' ἔρωτα καλεῖσθαι καὶ τὴν ἀκόλαςον ἡδονὴν, καὶ τὴν σωονοῦσαν εὔνοιαν. 389. Εἰδ' ὁ καιρὸς ἦν σαφὴς] ἡ μὲν αἰδὼς μία ἐςιν· οἱ ἄνθρωποι, μὴ εἰδότες καλῶς καὶ προσηκόντως χρῆσθαι, διττὴν τὴν αὐτῆς ναμιν ποιοῦσιν· εἰ γὰρ ἐν τῷ προσήκοντι καιρῷ, καὶ ἐν οἷς προσήκει, ἐχρῶν, οὐκ ἂν δύο ἐν ἑνὶ ὀνόματι ἦσαν· 392. Οὐκ ἔσθ' ὁποίῳ] οὐκ ἔστι φάρμαν, δι' οὗ διεφθαρείην, εἰς ἀφροσύνην πεσοῦσα. 401. Τὴν ἄνοιαν] τὴν συμ-

Τῷ σωφρονεῖν νικῶσα, προὐνοησάμην.
Τρίτον δ', ἐπειδὴ τοῖσιδ' οὐκ ἐξήνυτον
Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι
Κράτιςον· οὐδεὶς ἀντερεῖ βουλεύμασιν.
Ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ,
Μήτ' αἰσχρὰ δρώσῃ μάρτυρας πολλοὺς ἔχειν.
Τὸ δ' ἔργον ᾔδειν τὴν νόσον τε δυσκλεᾶ,
Γυνή τε πρὸς τοῖςδ' οὖσ' ἐγίγνωσκον καλῶς,
Μίσημα πᾶσιν. ὡς ὄλοιτο παγκάκως,
Ἥτις πρὸς ἄνδρας ἤρξατ' αἰσχύνειν λέχη
Πρώτη θυραίους! ἐκ δὲ γενναίων δόμων
Τόδ' ἦρξε θηλείαισι γίγνεσθαι κακόν.
Ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
Ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
Μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
Λάθρα δὲ τόλμας οὐ καλὰς κεκτημένας.
Αἳ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
Βλέπουσιν ἐς πρόσωπα τῶν συνευνετῶν;
Οὐδὲ σκότον φρίσσουσι τὸν συνεργάτην,
Τέρεμνά τ' οἴκων, μή ποτε φθογγὴν ἀφῇ;
Ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,
Ὡς μήποτ' ἄνδρα τὸν ἐμὸν αἰσχύνασ' ἁλῶ,
Μὴ παῖδας, οὓς ἔτικτον· ἀλλ' ἐλεύθεροι,
Παῤῥησίᾳ θάλλοντες, οἰκοῖεν πόλιν
Κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ' εὐκλεεῖς.
Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
Ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά.

φορὰν, τὸ πάθος. 408. Ἤδειν] καὶ ἐν ἄλλοις κεῖται ᾔδη, Ὁμηρικῶς

κρείττω σωφροσύνῃ γενομένην τοῦ πάθους· καὶ τρίτον, ἐπειδὴ τοῦτ' οὐκ ἦν μοι δυνατὸν, ἀλλ' ᾐσθόμην μὴ ἂν κρατῆσαι τῆς Κύπριδος τελευτῶσα, κράτιστον ἔδοξέ μοι ἀποθανεῖν· καὶ οὐδεὶς μέμψεταί μοι δικαίως· εἴη γάρ μοι τὰ μὲν καλὰ καλῶς δρῶσαν, μηδένα λανθάνειν· τῶν δ' αἰσχρῶν μηδένα μάρτυρα ἔχειν· ᾔδειν γὰρ τὸ τῆς νόσου, καὶ ταῦτ' οὖσα γυνὴ, δυσκλεὲς, καὶ μισητὸν γιγνόμενον παρὰ πᾶσιν· ἀλλ' ἀπόλοιτο κακὴ κακῶς, ἥτις πρώτη τὴν τοῦ ἀνδρὸς ἐμίανε κοίτην, ἀλλοτρίοις μεμιγμένη ἀνδράσι· τὸ δὲ κακὸν ἀπὸ τῶν πρώτων οἴκων δοκεῖ πρῶτον ἀρχὴν λαβεῖν μεταδίδοσθαι γυναιξίν· ὃ γὰρ ἂν παρὰ τοῖς κρατίστοις σεμνὸν εἶναι δόξῃ, τοῦτο παρ' ὄχλῳ σεμνότερον ἔσται· φιλεῖ γὰρ ἀεὶ τὸ ἀρχόμενον κατὰ ζῆλον τοῦ ἄρχοντος διακυβερνᾶσθαι· ἔμοιγε δ' οὖν ἐπαχθεῖς εἰσι καὶ αἱ τὴν μὲν γλῶσσαν σώφρονα κεκτημέναι, τῷ δ' ἔργῳ τολμῶσαι τὰ αἴσχιστα· περὶ ὧν ἀπορία μ' ἔχει μεγίστη, ὅπως ποτὲ, ὦ δέσποινα ποντία Κύπρι, ἀνέχονται εἰς τὰ τῶν ἑαυτῶν ἀνδρῶν βλέπειν πρόσωπα, μήτε τὸν συνεργὸν αὐταῖς σκότον φρίσσουσαι, μήτε τοὺς τοίχους αὐτοὺς καὶ τὰ γεῖσα τῆς οἰκίας δεδοικυῖαι, μή τι φωνὴν προϊέμενα, αὐτὰς ἐξελέγξωσιν· ἀλλ' ἐγὼ αὐτὴ, ὦ φίλαι, ἐκ τούτου ἀπολοῦμαι, ἵνα μὴ ἁλῷ ποτε τὴν τοῦ ἐμαυτῆς ἀνδρὸς εὐνὴν ἐξυβρίσασα, καὶ τοὺς παῖδας τοὺς ἐμοὺς καταισχύνασα· βουλοίμην γὰρ ἂν αὐτοὺς ἐλευθέρως, καὶ παῤῥησίᾳ χρωμένους πολλῇ πρός γε τῆς ἑαυτῶν μητρὸς, οὕτω τὴν τῶν Ἀθηναίων πόλιν εὐκλεῶς κατοικεῖν· τὸ γὰρ πατρὸς, ἢ μητρὸς ἁμαρτή-

ΔΗΜΟΚΡ... ΑΒΔΕΙΟΣ ΔΗΜΟ...

Μόνον δὲ τοῦτο φάσ᾽ ἁμιλλᾶσθαι βίῳ,
Γνώμην δικαίαν κἀγαθὴν, ὅτῳ παρῇ.
Κακοὺς δὲ θνητῶν ἐξέφην᾽, ὅταν τύχῃ,
Προθεὶς κάτοπτρον, ὥστε παρθένῳ νέᾳ,
Χρόνος· παρ᾽ οἷσι μή ποτ᾽ ὀφθείην ἐγώ!

ΧΟ. Φεῦ, φεῦ· τὸ σῶφρον ὡς ἁπανταχῆ καλὸν,
Καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται.

ΤΡ. Δέσποιν᾽, ἐμοί τοι ξυμφορὰ μὲν ἀρτίως
Ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον·
Νῦν δ᾽ ἐννοοῦμαι φαῦλος οὖσα· κἀν βροτοῖς
Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
Οὐ γὰρ περισσὸν οὐδὲν οὐδ᾽ ἔξω λόγου
Πέπονθας· ὀργαὶ δ᾽ ἔς σ᾽ ἐπέσκηψαν θεᾶς.
Ἐρᾷς· τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
Κἄπειτ᾽ ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
Οὐκ ἆρά γ᾽ οὐ δεῖ τοῖς ἐρῶσι τῶν πέλας,
Ὅσοι τε μέλλουσ᾽, εἰ θανεῖν αὐτοὺς χρεών.
Κύπρις γὰρ οὐ φορητὸν, ἢν πολλὴ ῥυῇ.
Ἣ τὸν μὲν εἴκονθ᾽ ἡσυχῇ μετέρχεται,
Ὃν δ᾽ αὖ περισσὸν καὶ φρονοῦνθ᾽ εὕρῃ μέγα,
Τοῦτον λαβοῦσα, πῶς δοκεῖς; καθύβρισεν.
Φοιτᾷ δ᾽ ἀν᾽ αἰθέρ᾽, ἔστι δ᾽ ἐν θαλασσίῳ

---

429. Ἀμιλλᾶσθαι βίῳ] περισπούδαστον εἶναι. τοὺς μὲν κακοὺς, φησί, ὁ χρόνος αὐτὸς ἐξελέγχει τοιούτους ὄντας· πρὸς δὲ τοὺς ἀγαθοὺς ἀγῶνα ἔχει. οὗτοι γὰρ ἀρετῇ ὁπλισθέντες, ἀνταγωνίζονται πρὸς αὐτὸν, ὥσπερ πρὸς ἐχθρόν. ὁ δὲ λόγος αὐτῇ ἀποτείνεται πρὸς τοὺς παῖδας, ἵνα μὴ πονηροὶ ἐκ πονηρῶν κριθῶσι γονέων. τὸ δὲ βίος καὶ χρόνος ταὐτὰ ἐνταῦθα. 438. Ἐννοοῦμαι φαῦλος οὖσα] σύνοιδα

τα συνειδέναι δουλοῖ φρόνημ' ἀνδρὸς, κἂν μέγα τοῦτ' ᾖ· μόνοις γάρ φασι τοῖς καλοῖς κἀγαθοῖς ἀγὼν ἀρετῆς ἐςὶ πρὸς τὸν βίον· τοὺς δὲ κακοὺς ἐκ τῆς τυχούσης ἀφορμῆς ὁ χρόνος, κάτοπτρον ὡς παρθένῳ προσθεὶς, κατεφώρασεν· οἷς μήποτ' εἴη μοι ἐναρίθμιον εἶναι.

ΧΟ. Φεῦ, φεῦ, ὡς καλὸν πανταχοῦ σωφροσύνη, καὶ δόξαν ἐσθλὴν, παρ' ἀνθρώποις λαμβάνει.

ΤΡ. Δέσποινα, ἀρτίως μὲν ἡ σὴ συμφορὰ, ἐξ ἀπροόπτου μοι προσπεσοῦσα, φόβον παρέσχε μέγαν· νῦν δὲ ἐν τῷ καθεςηκότι τοῦ νοὸς γενομένη, σύνοιδα μὴ καλῶς ταραχθεῖσα· καίγε αἱ δεύτεραι σκέψεις τῶν ἀνθρώπων εἰσὶ τῶν πρώτων σοφώτεραι· οὐδὲν γὰρ θαυμαςὸν, οὐδὲ παράλογον δοκεῖς πεπονθέναι· ἐρᾷς; τὶ παράδοξον τοῦτο; οὐ πλεῖςοι τῶν ἀνθρώπων ταὐτόν εἰσι πεπονθότες; ἔπειτα διὰ τοῦτο σύγε θανατιᾷς; οὐκοῦν δυστυχεῖς οἱ ἐρῶντες τῶν πέλας, ἢ ὅσοι μέλλουσι τοῦτο πείσεσθαι, εἴγε χρὴ ἀποθανεῖν αὐτοὺς διὰ τοῦτο· ἴσμεν γὰρ Κύπριν αὐτὴν, ἐπειδάν τῳ ῥαγδαιοτέρα ἐμπέσῃ, ἀφόρητον γιγνομένην· τὸν μὲν γὰρ εἴκοντα μετέρχεται ἠπιώτερον· ὃν δ' ἂν λάβῃ μέγα φρονοῦντα, πόσῃ δοκεῖς ἐπ' αὐτὸν βίᾳ χρῆσθαι; μέγα γὰρ αὕτη ἐστι κράτος ἔς τε τὸν αἰθέρα διαφοιτᾷν, καὶ εἰς τὰς ἀβύσσους καταδῦσαν, πα-

---

μὴ καλῶς τὸ πρότερον σκεψαμένη· ἰδοῦσα γὰρ ἡ γραῦς τὸ ἀμετάθετον τῆς Φαίδρας ἐκ τῶν εἰρημένων, προσποιεῖται μεταμέλειαν μὲν ἐκείνων· ἕτερον δὲ μετέρχεται τρόπον πρὸς τὸ θεραπεῦσαι τὸ πάθος τῇ ἀπολαύσει τοῦ ἐρωμένου. 444. Οὐκ ἆρά γ' οὐδεῖ] γραπτέον, οὐκ ἄρα λύει, ὡς εὕρηται ἐν ἄλλοις· τὸ δὲ Λύει σημαίνει λυσιτελεῖ. ἴδε Αλκίς. ςίχ. 644. περὶ δὲ τοῦ Κεφάλου·

Κλύδωνι Κύπρις, πάντας δ' ἐκ ταύτης ἔφυ·
Ἥδ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' ἔρον,
Οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
Ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
Ἔχουσιν, αὐτοί τ' εἰσὶν ἐν μούσαις ἀεὶ,
Ἴσασι μὲν, Ζεὺς ὥς ποτ' ἠράσθη γάμων
Σεμέλης, ἴσασι δ', ὡς ἀνήρπασέν ποτε
Ἡ καλλιφεγγὴς Κέφαλον ἐς θεοὺς Ἕως
Ἔρωτος οὕνεκ'· ἀλλ' ὅμως ἐν οὐρανῷ
Ναίουσι, κοὐ φεύγουσιν ἐκποδὼν θεοὺς,
Στέργουσι δ', οἶμαι, ξυμφορᾷ νικώμενοι.
Σὺ δ' οὐκ ἀνέξῃ; χρῆν σ' ἐπὶ ῥητοῖς ἄρα
Πατέρα φυτεύειν, ἢ 'πὶ δεσπόταις θεοῖς
Ἄλλοισιν, εἰ μὴ τούσδε γε στέρξεις νόμους.
Πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν,
Νοσοῦνθ' ὁρῶντας λέκτρα, μὴ δοκεῖν ὁρᾷν;
Πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι
Ξυνεκκομίζειν Κύπριν; ἐν σοφοῖσι γὰρ
Τάδ' ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
Οὐδ' ἐκπονεῖν τοι χρῆν βίον λίαν βροτούς.
Οὐδὲ στέγην γὰρ, ἧ κατηρεφεῖς δόμοι,
Καλῶς ἀκριβώσειαν· ἐς δὲ τὴν τύχην
Πεσοῦσ', ὅσην σὺ, πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
Ἀλλ' εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,
Ἄνθρωπος οὖσα, κάρτα γ' εὖ πράξειας ἄν.
Ἀλλ', ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,

---

Ἴδε Ἀπολλόδωρον. βίβλ. Γ. 18, 6. 471. Ἢ κατηρεφεῖς δόμοι καλῶς ἀκριβῶ-

ρεῖναι· ἐκ γὰρ ταύτης ἀναφύεται πάντα· πόθεν γὰρ ἡμῖν ἐνσπείρεται ἔρως, ἐξ οὗ πάντες βλαστάνουσιν ἄνθρωποι, εἰ μὴ ἐξ ἐκείνης; πυνθάνου δὲ τῶν τἀρχαῖα εἰδότων, οἳ σύνεισι ταῖς Μούσαις ἀεὶ, καὶ μαθήσῃ ὅπως ποτὲ Ζεύς τε αὐτὸς ἠράσθη Σεμέλης, καὶ ἡ ῥοδοδάκτυλος Ἠὼς ἀνήρπασε Κέφαλον εἰς θεοὺς, τρωθεῖσα τῷ ἔρωτι· καὶ ταῦτα παθόντες, ἐν οὐρανῷ εἰσι, καὶ οὐ δὴ αἰσχύνην ἀπαλλάττονται τῆς μετὰ τῶν ἄλλων θεῶν διαίτης· ἴσασι γὰρ καὶ αὐτοὶ τοῦ πάθους ἡττώμενοι· σὺ δ' ἄνθρωπος οὖσα, οὐκ ἀνέξῃ ταὐτὸ παθοῦσα; ἐχρῆν ἄρ' ἐπὶ ῥητοῖς σε σπαρεῖναι παρὰ τοῦ πατρὸς, ἢ ἐφ' ἑτέρων θεῶν δυναστείας, εἰ μὴ τοῖς τῶν ὑπαρχόντων ἀρέσκοιο νόμοις· πόσους γὰρ δοκεῖς εὖ φρονοῦντας προσποιεῖσθαι μὴ ὁρᾶν, ὁρῶντας τὴν ἑαυτῶν εὐνὴν ἐξυβριζομένην; πόσους δὲ πατέρας συμφέρειν τὸ πάθος παισὶ κρατηθεῖσι; σοφὸν δὲ μόνον τὰ θνητῶν ἐγκαλύπτειν, ἃ γνωσθέντα αἰσχύνην φέρει· θνητοὺς γὰρ ὄντας, οὐ χρὴ πρὸς τὸ ἀκριβέστατον τῆς ἀρετῆς ἐθέλειν διευθύνειν τὸν βίον· οὐδὲ γὰρ οἰκίαν πω ἀτρεκεῖ κανόνι ἡ τέχνη ἐστέγασε· σὺ δὲ χειμαζομένη ἐν τοῖς τοῦ ἔρωτος κύμασι, πῶς ἂν διαδράσειας τὸ ἐκ τούτων ναυάγιον; νῦν δ' ἄνθρωπος οὖσα, εὐδαιμονεστάτην νόμιζε σεαυτὴν τῷ τὰ χρηστὰ τῶν μὴ χρηστῶν πολλῷ πλείω ἔχειν. Ἀλλ' ὦ φίλον τέκνον, παῦσαι μὲν φρονοῦσα κακῶς, παῦσαι

---

σειαν] ἐν ἄλλοις δὲ κεῖται οὕτω· ἢ κατηρεφεῖς δόμοι κανὼν ἀκριβώσει' ἄν.
473. Ἐκνεῦσαι] ἐκνήξασθαι, ἀπὸ τοῦ ἐκνέω, οὐχὶ δὲ ἐκνεύω· φυλάττει δὲ

Λῆξον δ' ὑβρίζουσ'· οὐ γὰρ ἄλλο πλὴν ὕβρις
Τάδ' ἐστὶ, κρείσσω δαιμόνων εἶναι θέλειν.
Τόλμα δ' ἐρῶσα· θεὸς ἐβουλήθη τάδε.
Νοσοῦσα δ' εὖ πως, τὴν νόσον καταστρέφου.
Εἰσὶν δ' ἐπῳδαὶ καὶ λόγοι θελκτήριοι,
Φανήσεταί τι τῆσδε φάρμακον νόσου:
Ἦ τ' ἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἂν,
Εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.
ΧΟ. Φαίδρα λέγει μὲν ἥδε χρησιμώτερα
Πρὸς τὴν παροῦσαν ξυμφορὰν, αἰνῶ δὲ σέ.
Ὁ δ' αἶνος οὗτος δυσχερέστερος λόγων
Τῶν τῆσδε καὶ σοὶ μᾶλλον ἀλγίων κλύειν.
ΦΑ. Τοῦτ' ἔσθ', ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
Δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι.
Οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνά δεῖ λέγειν,
Ἀλλ' ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.
ΤΡ. Τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
Δεῖ σ', ἀλλὰ τἀνδρός· ὡς τάχος διϊστέον,
Τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
Εἰ μὲν γὰρ ἦν σοι μὴ 'πὶ συμφοραῖς βίος
Τοιαῖσδε, σώφρων δ' οὖσ' ἐτύγχανες γυνὴ,
Οὐκ ἄν ποτ' εὐνῆς οὕνεκ' ἡδονῆς τε σῆς
Προσῆγον ἄν σε δεῦρο· νῦν δ' ἀγὼν μέγας
Σῶσαι βίον σὸν, κοὐκ ἐπίφθονον τόδε.

---

ὀρθῶς τὴν μεταφορὰν πρὸς τὸ Τύχην, ὡς πρὸς τρικυμίαν θαλάσσης. 483. Ἦ τ' ἄρ' ὀψέ.] εἰ μὴ εὕροιμεν, φησὶ, μηχανὰς τοῦ ἰᾶσθαι τὰ τοιαῦτα ῥαδίως, γυναῖκες οὖσαι (διὰ τὸ πανοῦργον), σχολῇ γ' ἂν οἱ ἄνδρες ἐξεύροιεν, ἀδρανεῖς ὄντες καὶ ἄγονοι τὰ τοιαῦτα. 486. αἰνῶ δέ σε] ὡς μὴ θέλουσαν νεῦσαι τοῖς ὑπ' ἐκείνης λεγομένοις· καίτοι οἶδα ἀλγίων οὐμὸς ἐστιν ἔπαινος τῶν λό-

δὲ καὶ εἰς θεοὺς αὐτοὺς ἐξυβρίζουσα· τὸ γὰρ κρεῖσσον' ἐθέλειν εἶναι θεῶν ὕβρις ἄντικρυς εἰς ἐκείνους ἐξελέγχεται ὄν· θάῤῥει τοίνυν πραϋνομένη τῷ πάθει· θεοῦ γὰρ τοῦτο βουλή· νοσοῦσα δὲ, εὖ πως ἰῶ τὴν νόσον· εἰσὶ γὰρ εἰσὶν ἡμῖν ἐπῳδαὶ καὶ λόγοι, θέλγητρ' ἄττα πρὸς τὴν ἴασιν ἔχοντες· εὑρεθήσεταί τι φάρμακον ἀκεσώδυνον· εἰ γὰρ ἡμεῖς, γυναῖκες οὖσαι, ἀποροῖμεν πρὸς ταῦτα, οὐδέποτ' ἄν, ἢ ἄγαν ὀψὲ εὐπορήσειαν τούτων οἱ ἄνδρες.

ΧΟ. Φαίδρα, οἱ μὲν λόγοι τῆςδε χρησιμώτεροι πρὸς τὴν παροῦσαν εἴρηνται συμφοράν· ἔγωγε δ' οὖν ἐπαινῶ καί σε τῆς γνώμης, καίτοι οἶδα τὸν ἔπαινον τοῦτον δυσχερέστερόν τε καὶ ἀλγεινότερον τῶν λόγων ἐκείνης τοῖς σοῖς ὠσὶ προσπεσόντα.

ΦΑ. Τοῦτο δὴ οἴκους τε ὅλους καὶ πόλεις εὖ οἰκουμένας ἀπώλεσε τὸ κατὰ χάριν λέγειν· οὐ γὰρ δεῖ τὰ ἡδέα λέγειν πρὸς τέρψιν· ἀλλ' ἐξ ὧν τις μέγ' ἂν ἄροιτο κλέος, ταῦτα διδάσκειν.

ΤΡ. Πρὸς τί σοι τὸ τῶν λόγων τοῦτο ἤσκηται εὐπρεπές; οὐ γὰρ καιρός σοι ζητεῖν εὐπροσώπως σεμνολογεῖν, ἀλλὰ τὸν ἄνδρα· διὸ πεῖραν τῆς γνώμης ἐκείνου ληπτέον, ἐξειπόντας τὴν νόσον· εἰ μὲν γὰρ ἦν τὸ πάθος, οἷον μὴ ἐπικίνδυνον εἶναι, οὐκ ἄν ποτέ σε εἰς τοῦθ' ἕνεχ' ἡδονῆς μόνης προὔτρεπον· νῦν δ' ἀγῶνος πολλοῦ ὄντος διασωθῆναί σε τοῦ ἐπικειμένου κινδύνου, οὐδεὶς φθόνος τὸ τοιαῦτά με συμβουλεύειν.

---

γων ἐκείνης. 394 Διϊςέον] διακριτέον· ἐν ἄλλοις δὲ κεῖται, διζητέον παρὰ τῷ

ΦΑ. Ὦ δεινὰ λέξασ', οὐχὶ συγκλήσεις στόμα.
Καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;
ΤΡ. Αἴσχρ', ἀλλ' ἀμείνω τῶν καλῶν τάδ' ἔστι σοι.
Κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει γέ σε.
Ἢ τοὔνομ', ᾧ σὺ κατθανῇ γαυρουμένη.
ΦΑ. Καὶ μή γε πρὸς θεῶν (εὖ λέγεις γὰρ, αἰσχρὰ δὲ)
Πέρα προβῇς τῶνδ', ὡς ὑπείργασμαι μὲν εὖ
Ψυχὴν ἔρωτι, τἀσχρὰ δ' ἢν λέγῃς καλῶς,
Ἐς τοῦθ', ὃ φεύγω νῦν, ἀναλωθήσομαι.
ΤΡ. Εἴ τοι δοκεῖ σοι· χρῆν μὲν οὔ σ' ἁμαρτάνειν·
Εἰ δ' οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάρις.
Ἔστιν κατ' οἴκους φίλτρα μοι θελκτήρια
Ἔρωτος· ἦλθε δ' ἄρτι μοι γνώμης ἔσω,
Ἅ σ' οὔτ' ἐπ' αἰσχροῖς, οὔτ' ἐπὶ βλάβῃ φρενῶν
Παύσει νόσου τῆσδ', ἢν σὺ μὴ γένῃ κακή.
Δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
Σημεῖον, ἢ λόγον τιν', ἢ πέπλων ἄπο
Λαβεῖν, ξυνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.
ΦΑ. Πότερα δὲ χριστὸν, ἢ ποτὸν, τὸ φάρμακον;
ΤΡ. Οὐκ οἶδ'· ὄνασθαι, μὴ μαθεῖν, βούλου, τέκνον.
ΦΑ. Δέδοιχ', ὅπως μοι μὴ λίαν φανῇς σοφή.

διζήμεναι τὸ ζητεῖν. 506. Ὑπείργασμαι] λόγοι οὗτοι τῆς γραός ἐστιν ἐπαινούσης τὸν ἔρωτα, ὅτι καλῶς τὴν ψυχὴν τῆς Φαίδρας ὑπέθαλψε, καὶ διὰ τοῦτο δεῖν αὐτὴν εἰς ἔργον ἐλθεῖν· διὸ ὡς ἐ ἤθει προφέρει τὰ ἑπόμενα ἡ Φαίδρα· ὡς εἰ ἔλεγε, νομίζεις σὺ, ὡς εἰ καλῶς λέγεις τὰ αἰσχρὰ, ἐγὼ περιπεσοῦμαι τούτῳ (τῇ πράξει, ἢ τῇ αἰσχύνῃ] ὃ νῦν ἀποφεύγω. 509. Εἴτοι δοκεῖσοι] ἔξω ταῦθ' οὕτω, φησὶν, ἀλλ' ἐχρῆν μηδὲ τὴν ἀρχὴν κατασχεθῆναι τῷ πάθει· νῦν δὲ

ΦΑ. Ὦ δεινὸς λόγος οὗτος! τί φὴς σύγε; οὐ συῤῥάψεις τὸ στόμα, ἀτρεκῶς δακοῦσα τὴν γλῶσσαν, ὥστε μηκέτι τοιοῦτον φθέγξασθαι ῥῆμα;

ΤΡ. Αἰσχρὰ μὲν ταῦτ', ὦ τέκνον, ἀλλὰ τῶν καλῶν πολλῷ κρείττω· κρεῖττον γὰρ δή που ἔργον σωτήριον, ἢ λόγος ὀλέθριος, εὐπρεπῆ ἔχων δόκησιν εὐδοξίας.

ΦΑ. Εὖ μὲν λέγεις, αἰσχρὰ δ' ἄλλως· μὴ οὖν πρὸς θεῶν πρόβαινε περαιτέρω, λέγουσα, ὡς ὑποθάλπομαι καλῶς τῷ ἔρωτι, καὶ παντοίως ἀποσεμνύνουσα τὰ αἰσχρά· μὴ γὰρ οἰηθῇς, οὕτω λέγουσα, πείσειν με περιπεσεῖν, οἷς νῦν ἐγὼ φεύγω.

ΤΡ. Εἶεν οὕτως· ἀλλ' ὤφειλες τὴν ἀρχὴν μὴ περιπεσεῖν τοιαύτῃ γε συμφορᾷ· εἰ δ' οὖν, χρεών σε τοῖς ἐμοῖς προσχεῖν λόγοις· δευτέρας δὲ ταύτης θεραπείας τυχεῖν ἀξιῶ· νυνὶ γὰρ ἐνενόησα φίλτρ' ἄττα κείμενά μοι οἴκοι θελκτήρια· ἅ, εἴ μοι πείθοιο, ῥᾷστ' ἂν ἀπαλλάξειέ σε τῆς νόσου, μήτε τὸ σῶφρόν σοι διαλυμαινόμενα, μήτε τὰς φρένας ἐξαλλοιοῦντα· δεῖ δέ με τῶν τοῦ ἐρωμένου τι ἔχειν, ἢ πλόκον τῆς κόμης, ἢ ῥάκος τι τῶν αὐτοῦ ἱματίων, ὅπως ἂν ἐκ δυοῖν μίαν συνθεῖμεν ἀμφοτέροις φιλότητα.

ΦΑ. Τὸ δὲ φάρμακον τοῦτο, πότερον ἐπίχριστόν ἐστιν, ἢ ποτόν;

ΤΡ. Οὐκ οἶδα· σὺ δ' οὐ μαθεῖν, ἀλλ' ὄνασθαι τούτου βούλου.

ΦΑ. Δέδοικα γὰρ τὸ τῆς σῆς σοφίας περιττόν.

---

παθοῦσα, ἄκουσόν μου δεύτερόν σοι ἴαμα προσφερούσης. 516. Λόγον] ἄμειτον πλόκον ὡς ἐν ἄλλοις· βούλεται δὲ ταῖς ἐπῳδαῖς ἐνσπεῖραι καὶ τῷ Ἱππολ[illegible]

ΤΡ. Πάντ' ἂν φοβηθεῖσ' ἴσθι. δειμαίνεις δὲ τί;
ΦΑ. Μή μοί τι Θησέως τῶνδε μηνύσῃς τόκῳ.
ΤΡ. Ἔασον, ὦ παῖ· ταῦτ' ἐγὼ θήσω καλῶς,
Μόνον σύ μοι, δέσποινα ποντία Κύπρι,
Ξυνεργὸς εἴης. τἄλλα δ', οἷ' ἐγὼ φρονῶ,
Τοῖς ἔνδον ἡμῖν ἀρκέσει λέξαι φίλοις.
ΧΟ. Ἔρως, Ἔρως, ὃ κατ' ὀμμάτων (Στρ. ά.)
Στάζεις πόθον, εἰσάγων γλυκεῖαν
Ψυχαῖς χάριν, οἷς ἐπιςρατεύσῃ,
Μή μοί ποτε σὺν κακῷ φανείης,
Μήδ' ἄῤῥυθμος ἔλθοις.
Οὔτε γὰρ πυρὸς οὔτ'
Ἄστρων ὑπέρτερον βέλος,
Οἷον τὸ τᾶς Ἀφροδίτας
Ἵησιν ἐκ χερῶν
Ἔρως, ὁ Διὸς παῖς.
Ἄλλως, ἄλλως παρά τ' Ἀλφεῷ, (Ἀντ. ά.)
Φοίβου τ' ἐπὶ Πυθίοις τεράμνοις,
Βούταν φόνον Ἑλλὰς αἶ' ἀέξει·
Ἔρωτα δὲ, τὸν τύρανον ἀνδρῶν,
Τὸν τᾶς Ἀφροδίτας
Φιλτάτων θαλάμων
Κληδοῦχον, οὐ σεβίζομεν,
Πέρθοντα καὶ διὰ πάσας
Ἰόντα συμφορᾶς
Θνατοῖς, ὅταν ἔλθῃ.
Τὰν μὲν Οἰχαλίᾳ (Στρ. β'.)
Πῶλον, ἄζυγα λέκτρων,
Ἄνανδρον τὸν πρὶν καὶ

---

τῳ τὸν ἔρωτα, ἵνα ῥᾷον αὐτῷ χρήσηται πρὸς τὸ πεῖσαι. 521. Πάντ' ἂν

ΤΡ. Οὕτω σὺ πάνθ' ἁπλῶς εἰς ὑπόνοιαν στρέφεις· τί γάρ δεδίττεταί σε;

ΦΑ. Μή τι τούτων ἐκφήνῃς τῷ τοῦ Θησέως.

ΤΡ. Θάῤῥει· ἐμοὶ μελήσει καλῶς πάντα θέσθαι· σοὶ δ', ὦ δέσποινα Κύπρις, εὔχομαί γε συμπρᾶξαί μοι πάντα· τὰ δ' ἄλλα, ἃ κατ' ἐμαυτὴν ἐννοῶ, μόνοις τοῖς ἔνδον φίλοις ἐρῶ.

ΧΟ. Ὦ ἔρως, ἔρως, ὃς διὰ τῶν ὀμμάτων γλυκεῖαν εἰσπέμπων χάριν, ἐνστάζεις θέλγητρον ταῖς ψυχαῖς τῶν, ἐφ' οὓς ἂν ἐπιστρατεύσῃ, φείδου μου, δέομαι, μηδὲ ῥαγδαῖος καὶ ἄμετρός μοι ἐπέλθοις· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὔτε πυρὸς, οὔτ' ἄστρων τοιοῦτον βέλος, οἷον τὸ Ἀφροδίτης, ὃ Ἔρως ὁ τοῦ Διὸς ἀφίησιν ἐκ χειρός.

Μάτην ἄρα, μάτην θύομεν παρά τε Ἀλφειῷ Διῒ Ὀλυμπίῳ, καὶ Ἀπόλλωνι τῷ Πυθίῳ, ὁπότε δὴ Ἔρωτα τὸν τύραννον τῶν ἀνθρώπων, καὶ τῶν τῆς Ἀφροδίτης φιλτάτων θαλάμων κλειδοῦχον, καὶ μυρίων συμφορῶν τοῖς ἀνθρώποις, ὅτῳ ποτ' ἔλθοι, γιγνόμενον αἴτιον, μὴ τιμῶμεν τὰ εἰκότα.

Κύπρις γὰρ ἐν Οἰχαλίᾳ κόρην ἄπειρον γάμου, ἀναν-

---

φοβηθεῖσα ἴσθι] εἰ γὰρ φοβηθείης τοῦτο, ἴσθι ὡς οὐκ ἔσθ' ὃ μὴ ἂν φοβηθείης. 530. Μήποτέ μοι σὺν κακῷ φανείης] παράβαλε ταῦτα τοῖς ἐν τῇ Μηδείᾳ στιχ. 627. καὶ ἑξῆς. πάντα ἄξια καὶ σοφά. 537. Παράτ' Ἀδελφειῷ] ἐν Ὀλυμπίοις τῷ Διῒ καὶ ἐν Πυθίοις τῷ Ἀπόλλωνι. 539. Βούταν φόνον] βουθυσίαν· τόδε, Ἑλλὰς αἰ' ἀέξει, ἐν ἄλλοις κεῖται, Ἑλλὰς ἀρ' ἀέξει δή· ὅ ἐστιν, αὔξει, πλουσίαν προσφέρει θυσίαν. 547. Τὰν μὲν Οἰχαλίᾳ] οὕτως ἐχέτω μᾶλλον· ἀντὶ τοῦ, τὰν μὲν Οἰχαλίαν· περὶ δὲ τῆς Ἰόλης τῆς Εὐρύτου ὁ λόγος. τοῦ γὰρ γάμου ταύτης προκειμένου ἔπαθλον τοξείας, νικήσας ὁ Ἡρακλῆς, οὐ λαμβάνει, μὴ διδόντων τῶν ἀδελφῶν· ἐπιστρατεύσας τοίνυν, τήν τε πόλιν Οἰχαλίαν εἷλε, καὶ τὴν Ἰόλην ἔλαβεν, ἀνελὼν αὐτῆς τοὺς ἀδελφούς. ἴδε Σο-

Ἄνυμφον, οἴκων
ζεύξασ' ἀπ' εἰρεσίᾳ δρομάδα
Τὰν ἄϊδος ὥστε βάκχαν,
Σὺν αἵματι, σὺν καπνῷ
Φονίοις θ' ὑμεναίοισιν
Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν.
Ὦ τλάμων ὑμεναίων. (Ἀντ. β'.)
Ὦ Θήβας ἱερὸν
Τεῖχος, ὦ στόμα Δίρκας,
Συνείποιτ' ἂν, οἷον
Ἁ Κύπρις ἕρπει.
Βροντᾷ γὰρ ἀμφιπύρῳ, τοκάδα
Τὰν Διογόνοιο Βάκχου
Νυμφευσαμέναν πότμῳ
Φονίῳ τε κατεύνασε.
Δεινὰ γὰρ τὰ πάντ' ἐπιπνεῖ, μέλισσα δ'
Οἵα τις πεπόταται.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΙΠΠΟΛΥΤΟΣ, ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ, ΧΟΡΟΣ.

ΦΑ. Σιγήσατ', ὦ γυναῖκες, ἐξειργάσμεθα·

---

φοκλ. Τραχ. 550. Ἄνυμφον] κἀν τοῖς τρισὶ τούτοις στίχοις διάφορος ἡ γραφὴ ἐν ἄλλοις· ἔστι γὰρ ἐν οἷς μὲν οὕτω,
» Ἄνυμφον, οἴκῳ
» Ζεύξασ' ἀπειρεσίαν δρομάδα,
» Τὰν ναΐδα ὅπως τε Βάκχαν.

δρον, ἄνυμφον ὅλως, ἀναρπάσασά ποτε ἀπὸ μέσων τῶν πατρῴων οἴκων δρομάδα σὺν τρόμῳ, ὥσπερ Βάκχαν τοῦ Ἅδου, δι' αἵματος καὶ πυρὸς, καὶ φονικῶν ὑμεναίων, τῷ τῆς Ἀλκμήνης αὐτὴν ἐξέδωκεν υἱῷ· ὦ δειλαία ἐκείνη γε τῶν τοιούτων ὑμεναίων.

Ὦ ἱερὸν τεῖχος Θηβῶν, ὦ στόμα Δίρκης, δεῦτε μαρτυρεῖτέ μοι, οἷα ἡ Κύπρις πράττει· αὕτη γὰρ ἀμφιπύρῳ βροντῇ τὴν μητέρα τοῦ Βάκχου τοῦ ἐκ Διὸς, νυμφευομένην ἐμπρήσασα, ὀλεθρίῳ θανάτῳ ἀπώλεσε· περιίπτεται γὰρ, ὥσπερ μέλισσα, δεινόν τι ἐμπνέουσα.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΙΠΠΟΛΥΤΟΣ, ΤΡΟΦΟΣ, ΦΑΙΔΡΑ, ΧΟΡΟΣ.

ΦΑ. Σιγῶμεν, ὦ φίλαι· ἀπωλόμεθα.

---

Ἐν οἷς δ' αὖ οὕτω·

» Ἄνυμφον, οἴκων
» Ζεύξασ' ἄπο τρομερὰν δρομάδα,
» Τιν' Ἀΐδος ὥστε Βάκχαν.

Ἐγὼ δ' εἱλόμην ἐν τῇ παραφράσει τὸ δεύτερον. 558. Δίρκης] πηγὴ, καὶ ποταμὸς πλησίον ἦν Θηβῶν ἡ Δίρκη. περὶ ἧς πολὺς ὁ λόγος ἐν Φοινίσσαις. 60. Ἕρπει] ἐσέρπει, εἰσδύεται, ἐπέρχεται. 561. Τοκάδα] Σεμέλην τὴν ἐκ Διὸς τεκοῦσαν τὸν Βάκχον· οὕτω δὲ ὑπ' ἔρωτος ἠτήσατο τὸν Δία ἐλθεῖν εἰς αὐτὴν θεοπρεπῶς, πᾶσι τοῖς παρασήμοις, τῇ ἀστραπῇ, τῇ βροντῇ, τῷ κεραυνῷ· ὑπακούσαντος δὲ τοῦ Διὸς, μὴ δυναμένη ἐκείνη ἀντισχεῖν, τέθνηκε τῷ πυρὶ, ἢ κατεκάη ὅλως. 564 κατεύνασε] ἐν ἄλλοις κατεκοίμισε. 567. Ἐξειργάσμεθα] ἀπολώλαμεν. ἤκουσε γὰρ ἡ Φαίδρα θορύβου ἔνδον, καὶ τετάρακται;

ΧΟ. Τί δ' ἐστὶ, Φαίδρα, δεινὸν ἐν δόμοισι σοῖς;
ΦΑ. Ἐπίσχετ'· αὐδὴν τῶν ἔσωθεν ἐκμάθω.
ΧΟ. Σιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.
ΦΑ. Ἰώ μοι, αἶ αἶ!
Ὦ δυςάλαινα τῶν ἐμῶν παθημάτων!
ΧΟ. Τίνα θροεῖς αὐδάν; τίνα βοᾷς λόγον; (Στρ. ά.)
Ἔνεπε, τίς φοβεῖ σε φήμα, γύναι,
Φρένας ἐπίσσυτος;
ΦΑ Ἀπωλόμεσθα. ταῖσδ' ἐπιςᾶσαι πύλαις
Ἀκούσαθ', οἷος κέλαδος ἐν δόμοις πιτνεῖ.
ΧΟ. Σὺ παρὰ κλῇθρα· σοὶ μέλει πομπίμα (Στρ. β'.)
Φάτις δωμάτων.
Ἔνεπε δ', ἔνεπέ μοι, τί ποτ' ἔβα κακόν;
ΦΑ. Ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾷ
Ἱππόλυτος, αὐδῶν δεινὰ πρόσπολον κακά.
ΧΟ. Ἰαχὰν μὲν κλύω, σαφὲς δ' οὐκ ἔχω (Αντ. β'.)
Γεγωνεῖν ὅπα·
Διὰ πύλας ἔμολεν, ἔμολέ σοι βοά.
ΦΑ. Καὶ μὴν σαφῶς γε τὴν κακῶν προμνήςριαν,
Τὴν δεσπότου προδοῦσαν ἐξαυδᾷ λέχος.
ΧΟ· Ὤ μοι ἐγὼ κακῶν! προδέδοσαι φίλα· (Αντ. ά.)
Τί σοι μήσομαι; τὰ κρύπτ' ἄρα πέφηνε.
Νε· διὰ δ' ὄλλυσαι.
ΦΑ. Αἶ αἶ, ἒ ἔ!
ΧΟ. Πρόδοτος ἐκ φίλων.
ΦΑ. Ἀπώλεσέν μ', εἰποῦσα συμφορὰς ἐμὰς,
Φίλως, καλῶς δ' οὔ, τήνδ' ἰωμένη νόσον.

---

σφόδρα. 575. Ἐπίσσυτος] ἔξωθεν ὁρμηθεῖσα εἰς τὴν ψυχήν σου. 583. Σαφὲς ἐν ἄλλοις κεῖται Σαφῆ ἐπιθετικῶς πρὸς τὸ ὅπα, ὅ ἐστι τὴν φωνὴν, τὸ δὲ γεγωνεῖν, διακρίνειν, ἢ ἀκούειν δηλοῖ ἐνταῦθα. 594. Φίλως, καλῶς] διττὴ φέρεται ἡ γραφὴ αὕτη. οἷον,

ΧΟ. Τί δὲ δεινὸν, ὦ Φαίδρα, πράττεται ἔνδον;

ΦΑ. Ἐπίσχεθ', ὅπως τὴν ἐντὸς φωνὴν διακρίνω.

ΧΟ. Σιγῶμεν· ἀλλ' οὐ καλὸν ὁρῶ τὸ προοίμιον τοῦτο.

ΦΑ. Ἰώ μοι, αἶ, αἶ, αἶ, αἶ· ὦ δυςάλαινα τῶν ἐμῶν συμφορῶν.

ΧΟ. Τίνα ταύτην προῆκες φωνήν; εἰπὲ ἡμῖν, ὦ φίλη, τίνα τοῦτον ἐξεφώνησας λόγον; τίς φήμη ἐξελθοῦσα, ἐξεφόβησέ σε τοσοῦτον;

ΦΑ. Ἀπωλόμεθα· προσελθοῦσαι ταῖς πύλαις ταῖςδε, ἀκούσαθ' οἷος θόρυβός ἐςιν ἔνδον.

ΧΟ. Σὺ ἤδη πρὸς τοῖς κλείθροις αὐτοῦ ἐγγὺς οὖσα, καὶ τὰ οἴκοθεν ἐν φροντίδι, οἷα εἰκὸς, ποιουμένη, λέγε καὶ ἡμῖν, λέγε, τί ποτε κακὸν συνέβη τοῖς ἔνδον;

ΦΑ. Ὁ τῆν Ἀμαζόνος παῖς καταβοᾷ πολλὰ τῆς τροφοῦ.

ΧΟ. Φωνῆς μὲν ἀκούω ἀδιακρίτου· οὐκ ἔχω δὲ ξυμβαλεῖν τἀτρεκὲς ὅ,τι εἴη· σοὶ δ', οἶμαι, διῆξέ τις φωνὴ εὐκρινὴς ἐγγὺς αὐτοῦ οὔσῃ.

ΦΑ. Καὶ μὴν τὴν τῶν κακῶν προμνήστριαν βοᾷ τὴν τοῦ δεσπότου προδοῦσαν τὴν εὐνήν.

ΧΟ. Προδέδοσαι, φίλη· τίσοι συμβουλεύω, τῶν ἀποῤῥήτων σοι ἀποκαλυφθέντων; ἀπόλωλας ὅλως—

ΦΑ. Αἶ, αἶ, ἒ, ἔ.

ΧΟ. Ὑπὸ τῶν φίλων τοῦτο παθοῦσα.

ΦΑ. Ἀπώλεσέ με, τὴν ἐμὴν ἐξειποῦσα συμφορὰν, εἰλικρινῶς μὲν, ἀλλ' οὐ καλῶς τὴν ἐμὴν νόσον ἐθελήσασα θεραπεῦσαι.

---

» Φίλως, καλῶς δ' οὐ, τήνδ' ἰωμένη νόσον.

» Φίλως μὲν, οὐ καλῶς δ' ἰωμένη νόσον.

ΧΟ. Πῶς οὖν, τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα;
ΦΑ. Οὐκ οἶδα, πλὴν ἕν, κατθανεῖν ὅσον τάχος,
Τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.
ΙΠ. Ὦ γαῖα μῆτερ, ἡλίουτ' ἀναπτυχαὶ,
Οἵων λόγων ἄῤῥητον εἰσήκουσ' ὄπα!
ΦΑ. Σίγησον, ὦ παῖ, πρίν τιν' αἰσθέσθαι βοῆς.
ΙΠ. Οὐκ ἔς', ἀκούσας δείν', ὅπως σιγήσομαι·
ΦΑ. Ναὶ πρός σε τῆς σῆς δεξιᾶς εὐωλένου.
ΙΠ. Οὔ μοι προσοίσεις χεῖρα, μήδ' ἅψῃ πέπλων.
ΦΑ. Ὦ πρός σε γονάτων, μηδαμῶς μ' ἐξεργάσῃ.
ΙΠ. Τί δ', εἴπερ, ὡς φὴς, μηδὲν εἴρηκας κακόν;
ΦΑ. Ὁ μῦθος, ὦ παῖ, κοινὸς οὐδαμῶς ὅδε.
ΙΠ· Τά τοι κάλ' ἐν πολλοῖσι κάλλιον λέγειν.
ΦΑ. Ὦ τέκνον, ὅρκους μηδαμῶς ἀτιμάσῃς.
ΙΠ. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.
ΦΑ. Ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσῃ;
ΙΠ. Ἀπέπτυσ'· οὐδεὶς ἄδικός ἐςὶ μοι φίλος.
ΤΡ. Σύγγνωθ', ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.
ΙΠ. Ὦ Ζεῦ, τί δὴ, κίβδηλον ἀνθρώποις κακὸν,
Γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας;
Εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
Οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε·
Ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
Ἢ χρυσὸν, ἢ σίδηρον, ἢ χαλκοῦ βάρος,
Παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος
Τῆς ἀξίας ἕκαςον· ἐν δὲ δώμασιν

602. Ναὶ πρὸς σε] σύνηθες τοῦτ' Εὐριπίδῃ· ἔχει δ' ἔλλειψιν τοῦ ἱκετεύω.

ΧΟ. Τί οὖν σύγε ποιήσεις, ὦ παναθλιωτάτη;

ΦΑ. Οὐδὲν, ἢ θανεῖν ὅσον τάχος· τοῦτο γὰρ μόνον τῶν κακῶν ἐστιν ἄκος.

ΙΠ. Ὦ μῆτερ γῆ, καὶ φῶς τοῦ ἡλίου λαμπρόν· οἵους λόγους ἀῤῥήτους ἀκήκοα τήμερον, ἀπροσδοκήτως τοῖς ἐμοῖς εἰσπεσόντες ὠσί.

ΦΑ. Σίγησον, ὦ παῖ, μήτις αἴσθηται ταῦτα.

ΙΠ. Οὐκ ἂν δυναίμην, δεινότατ' ἀκούσας.

ΦΑ. Πρός τῆσδε τῆς δεξιᾶς, δέομαί σου.

ΙΠ. Μή μου ἅπτου, ὡς ποῤῥωτάτω στῆθι.

ΦΑ. Ὦ πρὸς τῶν γονάτων, μή μ' ἀπολέσῃς οὕτως·

ΙΠ. Πῶς τοῦτο, μηδὲν κακὸν, ὡς φὴς, εἰποῦσαν;

ΦΑ. Ταῦτα, ὦ τέκνον, τοῖς πολλοῖς οὐκ ἐκφορητέα.

ΙΠ. Τὰ καλὰ τί κωλύει κοινὰ τοῖς πᾶσιν εἶναι;

ΦΑ. Τούς γ' ὅρκους, ὦ παῖ, οὓς ὤμοσας, σέβου.

ΙΠ. Ἡ μὲν γλῶσσα εἶπεν, ἡ δὲ ψυχὴ ἠγνόει.

ΦΑ. Τί δρᾷς, ὦ τέκνον; τοὺς σαυτοῦ φίλους φθείρεις;

ΙΠ. Ἀπέπτυσα· φίλος πᾶς ἄδικος ἐῤῥέτω.

ΦΑ. Σύγγνωστόν ἐστιν ἀνθρώποις ἁμαρτάνειν.

ΙΠ. Ὦ Ζεῦ, τί δήποθ' οὕτω κίβδηλον γένος τὸ γυναικῶν ἀνδράσι συνῴκισας ἐν τῷ βίῳ; ἐχρῆν γὰρ, εἴπερ τὸ τῶν ἀνθρώπων ἐβούλου συντηρεῖσθαι γένος, μὴ ἐκ γυναικῶν τοῦτ' αὐτοῖς εἶναι· ἀλλ' εἴ τισι γένοιτο πόθος ποιήσασθαι τέκνωσιν, τούτους ἐλθόντας εἰς τοὺς σοὺς ναοὺς, σπέρματι αὐτόθεν λαβεῖν, χαλκοῦ, ἢ σιδήρου, ἢ χρυσοῦ ἀξίως πριαμένους τοῦ τιμήματος ἕκαστον·

Ναίειν ἐλευθέροισι θηλειῶν ἄτερ.
Νῦν δ' ἐς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν
Μέλλοντες, ὄλβον δωμάτων ἐκτίνομεν.
Τούτῳ δὲ δῆλον, ὡς γυνὴ κακὸν μέγα·
Προσθεὶς γὰρ ὁ σπείρας τε κἀκθρέψας πατὴρ
Φερνὰς ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ·
Ὁ δ' αὖ λαβὼν ἀτηρὸν ἐς δόμους φυτὸν
Γέγηθε, κόσμον προστιθεὶς ἀγάλματι
Καλὸν κακίστῳ, καὶ πέπλοισιν ἐκπονεῖ,
Δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.
Ἔχει δ' ἀνάγκην· ὥστε κηδεύσας καλοῖς
Γαμβροῖσι, χαίρων σώζεται πικρὸν λέχος·
Ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς
Λαβὼν, πιέζει τἀγαθῷ τὸ δυστυχές.
Ῥᾶστον δ', ὅτῳ τὸ μηδὲν, ἀλλ' ἀνωφελὴς
Εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
Σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
Εἴη φρονοῦσα πλεῖον, ἢ γυναῖκα χρή.
Τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις
Ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ
Γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη.
Χρὴν δ' ἐς γυναῖκας πρόσπολον μὲν οὐ περᾶν,
Ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη

631. Ἔχει δ' ἀνάγκην] ἀναγκάζεται δυοῖν θάτερον, ἢ κακὴν φέρειν γυναῖκα δι' ἀρετὴν τῶν αὐτῆς συγγενῶν· ἢ κακοὺς συγγενεῖς δι' ἀρετὴν τῆς γυναικός· αἱρεῖται δὲ τὴν ἁπλουστάτην, ὡς μὴ πολυπραγμονοῦσαν τὰ τῆς Κύπριδος ἔργα. 641. Μωρίαν] τὴν ἁμαρτίαν, μοιχίαν· ἀνύποπτος

οὕτω δ' ἐλευθέρους ἡμᾶς διαιτᾶσθαι ἄνευ θηλειῶν· νῦν δὲ καὶ πρὶν οἴκαδε εἰσαγαγεῖν τὸ κακὸν τοῦτο, πολλὰ εἰς αὐτὰς δαπανῶμεν, καὶ εἰσαγόμενοι, πλείω· ὅτι γυνὴ κακὸν, δῆλον κἀκεῖθεν· ὁ γὰρ σπείρας καὶ θρέψας αὐτὴν πατὴρ, ἕδνα δοὺς, ὡς κακοῦ τινος αὐτῆς ἀπαλλάττεται· ὁ δὲ εἰσαγαγὼν τὸ κακὸν τοῦτο φυτὸν ἑαυτῷ, ἀγάλλεται μὲν, ἀνόητος ὢν, ἐπ' ἐκείνῳ, καλὸν κόσμον κακίςῳ ἀγάλματι ἐπιθεὶς, καὶ ἐσθῆτι βαρυτίμῳ ἐκ πολλῆς κοσμήσας δαπάνης· ἀναγκάζεται δὲ πρὸς τούτοις φέρειν καὶ ἕτερόν τι δυςύχημα ἡδονῇ μεμιγμένον· φαύλης μὲν γάρ τις τυχὼν γυναικὸς, χρηςῶν δὲ τῶν αὐτῇ προσηκόντων, στέργει τὸ κακὸν τοῦτο λέγος σιωπῇ δι' ἐκείνους· τοὐναντίον δὲ, χρηςὴν μὲν γυναῖκα εὑρὼν, ἀχρήστους δὲ συγγενεῖς, ἀναγκάζεται συγκαλύπτειν τῇ εὐτυχίᾳ τὴν δυςυχίαν· μετριώτερον δὲ τὸ κακὸν γένοιτ' ἂν, εἴ τῳ μηδὲν τούτων συμβαίη, ἀλλὰ γυνὴ εἰσελθοῦσα, κάθηται οἴκοι εὐηθείᾳ καὶ ἁπλότητι μᾶλλον κεκοσμημένη· σοφὴν γὰρ ἐγὼ μισῶ· μὴ γὰρ εἴη μοι ἀγαγέσθαι τοιαύτην, οἵαν πλέον φρονεῖν, ἢ κατὰ γυναῖκα. ταῖς γὰρ τοιαύταις ἡ Ἀφροδίτη χαίρει μᾶλλον ἐγχεῖν τὴν πρὸς τὰ ἄτοπα πανουργίαν, οἷς αἱ εὐήθεις τῷ μικρὰ φρονεῖν οὐκ ἐνέξονται· ἐχρῆν δ' οὖν εἰς τὴν γυναικωνῖτιν θεραπαίναις μηδέποτε εἶναι εἰσιτητέα· ταῖς δὲ γυναιξὶν ἄφωνα συνοικίζειν θηρία, ἵνα μηδὲν

γὰρ αὕτη· διὰ τὸ εὔηθες καὶ ἀμήχανον. 643. Δάκη θηρῶν] τὰ δηλητήρια.

Θηρῶν, ἵν' εἶχον μήτε προσφωνεῖν τινὰ,
Μήτ' ἐξ ἐκείνων φθέγμα δέξασθαι πάλιν.
Νῦν δ' αἱ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ
Βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόσπολοι.
Ὡς καὶ σύ γ' ἡμῖν πατρὸς, ὦ κακὸν κάρα,
Λέκτρων ἀθίκτων ἦλθες ἐς συναλλαγάς.
Ἃ 'γὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,
Ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακὸς,
Ὃς, οὐδ' ἀκούσας τοιάδ', ἁγνεύειν δοκῶ;
Εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σώζει, γύναι.
Εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ᾑρέθην,
Οὐκ ἄν ποτ' ἔσχον, μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.
Νῦν δ' ἐκ δόμων μὲν, ἔς τ' ἂν ἔκδημος χθονὸς
Θησεὺς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα.
Θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ,
Πῶς νιν προσόψῃ καὶ σὺ καὶ δέσποινα σή·
Τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.
Ὄλοισθε. μισῶν δ' οὔ ποτ' ἐμπλησθήσομαι
Γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν·
Ἀεὶ γὰρ οὖν πως εἰσὶ κἀκεῖναι κακαί.
Ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
Ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

---

654. **Εἰ γὰρ μή . . . ᾑρέθην**] ἐν ἄλλοις δὲ ἀντὶ τοῦ ᾑρέθην κεῖται εὑρέθην οὐ καλῶς· ἔχει γὰρ ὧδε· εἰ μὴ γὰρ, ἄφρακτος ὢν, ᾑρέθην ὅρκοις θεῶν· ὅ ἐστιν, ἀπρόσεκτος ὢν καὶ ἄφρακτος πρὸς λόγους, ὤμωσα πρὸς μηδένα ἐξοισειν· εἰ μὴ οὖν ἦν εἰλημμένως τοῖς ὅρκοις τούτοις, οὐκ ἂν ἐσιώπουν, μὴ οὐχὶ εἰπεῖν αὐτὰ τῷ

κοινὸν αὐταῖς ἦν πρὸς τοὺς ἄνδρας, μηδὲν πρὸς μηδένας πρόσφθεγμα μήτ' ἐκπεμπούσαις, μήτ' εἰσδεχομέναις· νῦν δ' αὐτῶν αἱ κακαὶ, αἱ μὲν ἔνδον ἐν τῷ κρυπτῷ πανουργοῦσιν· αἱ δὲ πρόσπολοι ἐκφέρουσιν εἰς τοὺς ἄνδρας τὰ πανουργήματα· καθάπερ καὶ σὺ νῦν, κακὴ κεφαλὴ, ἐλθοῦσ' ἐτόλμησας κατὰ τῆς εὐνῆς τοῦ ἐμοῦ πατρὸς πρὸς ἐμὲ πραγματεύσασθαι· πρὸς ὃ πολλῶν ῥυάκων δεήσει μοι ἀποκλύσαι τὰ ὦτα, ἐφ' ᾧ πᾶν τὸ μίασμα ἀπομόρξασθαι· πῶς οὖν αὖ ἔγωγ' ἔπραξα τοιοῦτον ἀτόπημα, οὗ καὶ τὴν ἀκοὴν μέγιστον τίθεμαι μίασμα; Ἴσθι τοίνυν σύγ', ὦ γύναι, διὰ τὴν ἐμὴν σωζομένη εὐσέβειαν· εἰ γὰρ μὴ ὅρκοις τῶν θεῶν ἀπροσδοκήτως οὕτως ἔτυχον εἰλημμένος, οὐκ ἂν ποτ' ἠνεισχόμην μὴ οὐχὶ πάντ' ἐξειπεῖν ἐλθόντι τῷ πατρί· νῦν δὲ μέχρις ἂν ἐκεῖνος ἀποδημῇ, ἐκποδὼν τῆς οἰκίας ἔσομαι ταυτησὶ, μηδὲν πρὸς μηδένα κοινούμενος· ἐλθόντα δ' ἐκεῖνον ὄψομαι, οἵοις ὄμμασι σύτε καὶ ἡ σὴ δέσποινα ἐς ἐκεῖνον προσβλέπειν τολμήσετε· τότε δὴ τότε καὶ τὴν σὴν ἀναίδειαν μᾶλλον, ἧς πεπείραμαι ἤδη, εἴσομαι. Ἔῤῥετε, ἐξόλοισθε· οὐδέποτε τοῦ πρὸς τὸ τῶν γυναικῶν φῦλον μίσους κόρος μοι ἔσται, κἂν με μέμψηταί τις, ὅτι συχνός μοι ἐπ' ἐκείνας οὗτος γίνεται λόγος· οὐδὲ γὰρ αὗταί γε λήγουσι κακαὶ περὶ τοὺς ἄνδρας γιγνόμεναι. Οὐκοῦν ἢ καὶ αὐτὰς διδαξάτω τις σωφρονεῖν, ἢ κἀμὲ ἐάτω ἀεὶ οὕτως αὐταῖς ἐπιτίθεσθαι.

---

πατρί. 658. Σὺν πατρὸς μολὼν ποδὶ] ἐλθὼν σὺν τῷ πατρὶ ἐλθόντι. περιφρα-

ΧΟ. Τάλανες ὦ κακοτυχεῖς (Ἀντ.)
Γυναικῶν πότμοι!
Τίνανυν ἢ τέχναν ἔχομεν, ἢ λόγον,
Σφαλεῖσαι, κάθαμμα λυσειν λόγου;
ΦΑ. Ἐτύχομεν δίκας, ἰὼ γᾶ καὶ φῶς!
Πᾶ ποτ' ἐξαλύξω τύχας;
Πῶς δὲ πῆμα κρύψω, φίλαι;
Τίς ἂν θεῶν ἀρωγός; ἢ τίς ἂν βροτῶν
Πάρεδρος, ἢ ξύνεργος ἀδίκων ἔργων
Φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος
Παρὸν, δυσεκπέρατον ἔρχεται βίου.
Κακοτυχεστάτα γυναικῶν ἐγώ!
ΧΟ Φεῦ φεῦ. πέπρακται, κοὐ κατώρθωνται τέχναι,
Δέσποινα, τῆς σῆς προσπόλου, κακῶς δ' ἔχει.
ΦΑ. Ὦ παγκακίστη, καὶ διαφθορεῦ φίλων,
Οἷ' εἰργάσω με! Ζεύς σ' ὁ γεννήτωρ ἐμὸς
Πρόῤῥιζον ἐκτρίψειεν, οὐτάσας πυρί.
Οὐκ εἶπον, οὐ σῆς προὐνοησάμην φρενὸς,
Σιγᾶν, ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;
Σὺ δ' οὐκ ἀνέσχου· τοιγὰρ οὐκέτ' εὐκλεεῖς
Θανούμεθ'. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.
Οὗτος γὰρ, ὀργῇ συντεθηγμένος φρένας,
Ἐρεῖ καθ' ἡμῶν πατρὶ σὰς ἁμαρτίας,
Ἐρεῖ δὲ Πιτθεῖ τῷ γέροντι συμφορὰς,
Πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.

---

σικῶς· 669. Κάθαμμα λύσειν λόγου] ἐν ἄλλοις κεῖται χωρὶς, καθ' ἅμμα· ἵνα ᾖ, καταλῦσαι τὸ ἅμμα τῆς αἰτίας· τὸν δεσμὸν τοῦτον καὶ τὴν πλοκὴν τῶν πραγ-

ΧΟ. Ὦ τύχαι γυναικῶν δυςυχεῖς· τίς λόγος, ἢ τέχνη ἡμῖν ὑπολείπεται, νῦν σφαλείσαις, πρὸς τὸ τὸν δεσμὸν τοῦτον λύσασθαι τῆς αἰτίας;

ΦΑ. Καὶ δὴ ἄξια, ὧν διενοήθημεν, ἀπολαμβάνομεν· ὦ γῆ, καὶ φῶς, πῶς ἂν θῶμαι καλῶς τὰ παρόντα; τίς θεῶν ἀρωγός; ἢ τίς ἀνθρώπων ἐν ἀδίκοις πράξεσί μοι γένοιτ' ἂν συνεργός; τὸ γὰρ ἡμέτερον πάθος τοῦτο, μέχρις ἂν αὐτὴ ζῶ, δυσκλεέςατόν τε καὶ ἀνεξάλειπτον ὅλως ἔςαι· ὦ δυςυχεςάτη ἐγὼ πασῶν γυναικῶν!

ΧΟ. Φεῦ, φεῦ· μηδὲν, ὦ δέσποινα, τῶν τῇ τροφῷ μεμελετημένων, εὐτυχὲς εἴληφε τέλος· καὶ νῦν ὁρῶ οὐ καλῶς σοι τὰ πράγματα ἔχοντα.

ΦΑ. Ὦ παγκάκιςε, καὶ φίλων διαφθορεῦ, οἷά μ' ἔδρασας; ἀλλ' ὁ Ζεὺς οὑμὸς προπάτωρ κακὴν κακῶς σε τῷ κεραυνῷ ἐξολέσειεν· οὐ καλῶς ἐγὼ, τὴν σὴν προμαντευσαμένη αὐθάδειαν, ἐκέλευσα διὰ σιγῆς ἔχειν πάντα, ἐφ' οἷς ἄλγος νῦν ἐπ' ἄλγει λαμβάνω; σὺ δ' οὐκ ἐπέσχες· ὥςε καὶ τὸ θανεῖν μοι οὕτως οὐκέθ' ὁμοίως ὁρῶ ἐσόμενον εὐκλεές· καὶ νῦν δεῖ μοι λόγων καινῶν πρὸς ταῦτα ἐξ ὑπαρχῆς· οὗτος γὰρ χαλεπήνας, τί οὐκ ἄν μου πρὸς Θησέα κατείποι; τί δὲ πρὸς Πιτθέα τὸν γεραιὸν, πᾶσαν

---

μῆτων πρὸς τὸν Ἱππόλυτον. παροιμιῶδες ἐκ τοῦ Γορδίου δεσμοῦ, (εἰ γνωστὰ ταῦτ' ἦν Εὐριπίδῃ τότε) ὃν ἔλυσεν Ἀλέξανδρος. Ἀῤῥι Β'. 3. 1. τὸ δὲ καταλύσειν ἐν μέλλοντι χρόνῳ οὐ πάνυ ὀρθὸν, εἰ μὴ ἐκλάβοιμεν τὸ Λόγον ἀντὶ τοῦ Ἐλπίδα. 681. Ὁ γεννήτωρ οὑμὸς] Διὸς γὰρ ἐξ Εὐρώπης ὁ Μίνως. Μίνω δὲ, Φαίδρα. 686. Καινῶν λόγων] ἀνάφερε ταῦτα ἀνωτέρω. ςίχ. 496. ἢ δεῖ με καινὰ ἤδη

Ὄλοιο καὶ σὺ χὤστις ἄκοντας φίλους
Πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.

ΤΡ. Δέσποιν', ἔχεις μὲν τἀμὰ μέμψασθαι κακά·
Τὸ γὰρ δάκνον σου τὴν διάγνωσιν κρατεῖ·
Ἔχω δὲ κἀγὼ πρὸς τάδ', εἰ δέξῃ, λέγειν·
Ἔθρεψά σ', εὔνους τ' εἰμί· τῆς νόσου δέ σοι
Ζητοῦσα φάρμαχ' εὗρον οὐχ ἃ 'βουλόμην.
Εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦν·
Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

ΦΑ. Ἦ γὰρ δίκαια ταῦτα κἀξαρκοῦντά μοι,
Τρώσασαν ἡμᾶς, εἶτα συγχωρεῖν λόγοις;

ΤΡ. Μακρηγοροῦμεν· οὐκ ἐσωφρόνουν ἐγώ.
Ἀλλ' ἔστι κἀκ τῶνδ', ὥστε σωθῆναι, τέκνον.

ΦΑ. Παῦσαι λέγουσα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶς
Παρῄνεσάς μοι, κἀπιχείρησας κακά.
Ἀλλ' ἐκποδὼν ἄπελθε, καὶ σαυτῆς πέρι
Φρόντιζ'· ἐγὼ γὰρ τἀμὰ θήσομαι καλῶς.
Ὑμεῖς δὲ, παῖδες εὐγενεῖς Τροιζήνιαι,
Τοσόνδε μοι παράσχετ' ἐξαιτουμένῃ,
Σιγῇ καλύψαθ', ἃ 'νθάδ' εἰσηκούσατε.

ΧΟ. Ὄμνυμι σεμνὴν Ἄρτεμιν, Διὸς κόρην,
Μηδὲν κακῶν σῶν ἐς φάος δείξειν ποτέ.

ΦΑ. Καλῶς ἔλεξας· ἓν δὲ προτρέπουσ' ἐγὼ
Εὕρημα δή τι τῆσδε συμφορᾶς ἔχω,
Ὥστ' εὐκλεᾶ μὲν παισὶ προσθεῖναι βίον,

---

λέγειν πρὸς ἀπολογίαν. 700. Κἀξαρκοῦντα] τί δέ; νομίζεις, ὅτι ταῦθ' ἱκανά ἐστι πρὸς τὰ ἁμαρτήματά σου, ὥστε τοιαύτῃ παῤῥησίᾳ ἐμοὶ διελέγεσθαι;

τὴν γῆν αἰσχίςων ἐμπλήσας λόγων; Ὄλοιο σύ τε, καὶ ὅςτις ποτὲ φίλους ἄκοντας ἕτοιμός ἐστι μὴ καλῶς θεραπεύειν.

ΤΡ. Δέσποινα, δίκαια ταῦτα μοι καταμέμφῃ· πρὸς γὰρ τὸ δάκνον ἀεὶ τὸ κρίνον ῥέπει· ἀλλ᾽ ἔςι κἀμοὶ δίκαια πολλὰ πρὸς σὲ λέγειν, εἴ μου καταδέξῃ ἀκούειν· σύνοισθα γὰρ ἐμὲ θρέψασάν σε, καὶ πολλήν σοι ἔχουσαν εὔνοιαν· καὶ νῦν φάρμακον μέν σοι ζητοῦσαν τῆς νόσου, μὴ εὑροῦσαν δὲ, ἅ μοι ἦν βουλομένῃ· εἰ δὲ κατώρθουν, πολὺς ἂν ἦν μοι ἔπαινος παρὰ σοῦ· οὕτω γὰρ οἱ ἄνθρωποι πρὸς τὰς πιπτούσας τύχας τὰς κρίσεις ποιούμεθα.

Α Καὶ πῶς ἂν εἴη δίκαια καὶ ἐξαρκοῦντά μοι ταῦθ᾽, ὥσθ᾽ οὕτω με βλάψασαν, τοιαύτῃ αὖ χρήσασθαι πρὸς ἡμᾶς παῤῥησίᾳ, ὥςε κἀπὸ τοῦ ἴσου λέγειν;

Ρ Παυώμεθα μακρῶν λόγων· ὁμολογῶ ἡμαρτηκέναι· ἀλλ᾽ ἔςι κἀκ τούτων, ὦ τέκνον, ἐλπίζειν σωτηρίαν.

Α. Παῦσαι λέγουσα· δῆλον γὰρ κἀκ τῶν προτέρων σου παραινέσεων, οἷον ἡμῖν (οὐ γάρ;) γέγονεν ὄφελος· οὐκ ἂν οὖν φθάνοις ἀπιοῦσα ἐντεῦθεν, αὐτὴ περὶ σεαυτῆς τοῦ λοιποῦ φροντίδα ποιησομένη; τῶν δ᾽ ἐμαυτῆς ἐμοί γε αὐτῇ μελλήσει ὡς κάλλιςα ταῦτα θέσθαι. Ὑμεῖς δ᾽, ὦ Τροιζήνιαι, χάριν μοι δότε ταύτην, μηδὲν, ὧν ἀκηκόατ᾽ ἤδη, πρὸς μηδένα ἐξενεγκεῖν.

. Μὰ τὴν Ἄρτεμιν τὴν Διὸς καὶ Λητοῦς, οὐ μὴ ἐκφήνω μηδὲν τῶν τῇδέ σοι συμβάντων.

. Εὖ τοῦτ᾽ ἔχει· νῦν δὲ πολλὰ ἀνακυκλώσασα κατὰ νοῦν, ἓν προειλόμην ἴαμα λαβεῖν τῆς παρούσης συμφορᾶς, ὥστε τούς τε παῖδας τοὺς ἐμοὺς εὐκλεῶς ἐπιζῆσαι, καὶ

Αὐτὴ τ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα.
Οὐ γάρ ποτ' αἰσχυνῶ γε Κρησίους δόμους,
Οὐδ' ἐς πρόσωπον Θησέως ἀφίξομαι
Αἰσχροῖς ἐπ' ἔργοις οὕνεκα ψυχῆς μιᾶς.

ΧΟ. Μέλλεις δὲ δή τοι δρᾶν ἀνήκεστον κακόν;

ΦΑ. Θανεῖν· ὅπως δὲ, τοῦτ' ἐγὼ βουλεύσομαι.

ΧΟ. Εὔφημος ἴσθι.

ΦΑ. Καὶ σύ γ' εὖ με νουθέτει.
Ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυσί με,
Ψυχῆς ἀπαλλαχθεῖσα τῇδ' ἐν ἡμέρᾳ,
Τέρψω· πικροῦ δ' ἔρωτος ἡσσηθήσομαι.
Ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι
Θανοῦσ', ἵν' εἰδῇ, μὴ 'πὶ τοῖς ἐμοῖς κακοῖς
Ὑψηλὸς εἶναι· τῆς νόσου δὲ τῆσδέ μοι
Κοινῇ μετασχὼν σωφρονεῖν μαθήσεται.

ΧΟ. Ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν, (Στρ. ά.)
Ἵνα με πτεροῦσσαν ὄρνιν
Θεὸς ἐν πταναῖς ἀγέλαισιν θείη.
Ἀρθείην δ' ἐπὶ πόντιον
Κῦμα τᾶς Ἀδριηνᾶς
Ἀκτᾶς Ἠριδανοῦ θ' ὕδωρ·
Ἔνθα πορφύρεον σταλάσσουσ'
Εἰς οἶδμα πατρὸς τριτάλαιναι
Κόραι Φαέθοντος οἴκτῳ δακρύων

729. σωφρονεῖν] ἐν ἤθει ἀναγνωστέον· ἔοικε γὰρ λέγειν, ὅτι τιμωρηθεὶς καὶ αὐτὸς ἐκ συκοφαντίας ὑπὸ τοῦ πατρὸς ὡς ἐρῶν, μαθήσεται μηκέτι μεγαφρονεῖν ἐπὶ σωφροσύνῃ. 730. γενοίμαν] ἐν ἄλλοις οὐ καλῶς γεννοίμαν ἀπὸ τοῦ

με τοσούτοις περιπεπτωκυῖαν δεινοῖς, καλῶς τούτων ἀπαλλαγῆναι· οὐκέτι γὰρ ἐμὸν οὔτε τὴν πατρῴαν καταισχύναι οἰκίαν, οὔτ' ἐς πρόσωπον ἐλθεῖν τοῦ Θησέως πρὸς μόνον τὸ σῶσαι τὴν ἐμαυτῆς ψυχὴν μίαν οὖσαν, τοσούτων αἰσχρῶν πεπραγμένων.

**ΧΟ.** Τί φής; πρὸς ἀνήκεστον κακὸν σπεύδεις σύγε;

**ΦΑ.** Θανεῖν· ὅπως δὲ, τοῦτ' ἐγὼ οἶδα μόνη.

**ΧΟ.** Εὔφημα δὴ λέγε· μηδὲ τοιαῦτα τόλμα.

**ΦΑ.** Καὶ σύγε χρηστά με νουθέτει· ἐγὼ γὰρ τήμερον ἀποθανοῦσα ὅτῳ γε τρόπῳ, κεχαρισμένα ποιήσω Κύπριδι, ἥ ἀπώλεσέ με τῷ πικρῷ τοῦ ἔρωτος οἴστρῳ· ἀλλ' οὐμὸς θάνατος αἴτιος κακῶν καὶ ἑτέρῳ γενήσεται, ἵν' ε ἰδῇ ἐκεῖνός γε μηκέτ' ἐπὶ τῇ ἐμῇ συμφορᾷ γαυριᾶν, μήδ' ἀνθρώπου φύσιν λαχὼν, φρονεῖν ὑπὲρ ἄνθρωπον· ἀλλ' ὡς ὁμοιοπαθὴς ὢν, καὶ τῆς αὐτῆς νόσου μετασχὼν, σωφρονεῖν.

**ΧΟ.** Εἴθε μοι εἴη ὑπ' αὐτὰς τὰς ἠλιβάτους καὶ πολυβαθεῖς γενέσθαι με πέτρας, ἔνθα θεὸς ἐναρίθμιόν μοι θείη ταῖς τῶν πτηνῶν ἀγέλαις ἐκ πτεροφυΐας, ἵν' ἔχοιμι τὸ τοῦ Ἀδρίαντος κῦμα, καὶ τὸ ῥεῦμα τοῦ Ἠριδανοῦ τῷ πτερῷ ὑπερπτῆναι, ὅπου αἱ Ἡλιάδες τὸ τοῦ Φαέθοντος οἰκτεί-

---

γεννῶμαι· φυγὴν δὲ ἀπὸ τῶν παρόντων κακῶν ζητεῖ ὁ Χορός. Ἀδρινᾶς ἀκτῆς, τὴν Ἰὼ τοῦ Ἰνάχου αἰνίττεται, ὡς ἐξ οἴστρου κἀκείνην τὸν Ἰόνιον τοῦτον κόλπον τοῦ Ἀδρίαντος ἀποπλανηθεῖσαν· καὶ τὰς θυγατέρας τοῦ Ἡλίου τρεῖς ἀδελφὰς, τὰς εἰς αἰγείρους μεταβαλούσας, καὶ θρηνούσας τὸ πάθος τοῦ ἀδελφοῦ Φαέθοντος, ὧν τὰ δάκρυα καταῤῥέοντα εἰς τὸν Ἠριδανὸν, εἰς ἤλεκτρον μετα-

Τὰς ἠλεκτροφαεῖς αὐγάς.
Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν (Ἀντ. ά.)
Ἀνύσαιμι τᾶν ἀοιδᾶν,
Ἵν' ὁ ποντομέδων πορφυρέας λίμνας
Ναύταις οὐκ ἔθ' ὁδὸν νέμει,
Σεμνὸν τέρμονα κύρων
Οὐρανοῦ, τὸν Ἄτλας ἔχει.
Κρῆναι τ' ἀμβρόσιαι χέονται
Ζηνὸς μελάθρων παρὰ κοίταις,
Ἵν' ὀλβιόδωρος αὔξει ζαθέα
Χθὼν εὐδαιμονίαν θεοῖς.
Ὦ λευκόπτερε Κρησία (Στρ. β'.)
Πορθμὶς, ἃ διὰ πόντιον
Κῦμ' ἁλίκτυπον ἅλμας
Ἐπόρευσας ἐμὰν ἄνασσαν ὀλβίων ἀπ' οἴκων,
Κακονυμφοτάταν ὄνασιν.
Ἢ γὰρ ἀπ' ἀμφοτέρων,
Ἢ Κρησίας ἐκ γᾶς, δύσορνις
Ἔπτατο κλεινὰς Ἀθάνας,
Μουνύχου δ' ἀκταῖσιν ἐκδή-
Σαντο πλεκτὰς πεισμάτων ἀρ-
Χὰς ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.
Ἀνθ' ὧν οὐχ ὁσίων ἐρώ- (Ἀντ. β'.)
Των δεινᾷ φρένας Ἀφροδί-
Τας νόσῳ κατεκλάσθη·
Χαλεπᾷ δ' ὑπέραντλος οὖσα συμφορᾷ, τεράμνων

---

βάλλει. 740. Ἑσπερίδων] Ἑσπερίδες Νύμφαι ἦσαν τρεῖς, αἷς πολλὰ καὶ διά-

ρουσαι πάθος, δάκρυα ἠλεκτροειδῆ καταχέουσιν ἀπὸ τῶν ὀφθαλμῶν εἰς τὸ ῥεῦμα.

Γένοιτό μοι ἀναπτῆναι πρὸς τὰς Ἑσπερίδας τὰς μελῳδοὺς, ἔνθ' εἰσὶ τὰ χρύσεα μῆλα, ὅπου ὁ θαλάσσης κρατῶν θεὸς οὐκέτι συγχωρεῖ τοῖς πλωϊζομένοις προελθεῖν περαιτέρω, τὸν μέγαν καὶ σεμνὸν ὅρον προσορίζων τοῦ οὐρανοῦ, ὃν Ἄτλας ἐπ' ὤμων φέρει· κρῆναί τε παρὰ ταῖς εὐναῖς ἐν τῷ τοῦ Διὸς ἄλλαι ἄλλῃ θεοῖς νέκταρ ῥέουσιν· ἡ δὲ ὀλβιόδωρος γῆ φύει αὐτοῖς ἄφθονον ἀμβροσίαν. Ὦ λευκόπτερος ναῦς ἐκ Κρήτης, ἡ τὴν ἐμὴν ἐκ τῶν ὀλβιωτάτων ἐκεῖθεν οἴκων διὰ πολλῶν κυμάτων διαπορθμεύσασα δέσποιναν πρὸς τὸν κακόνυμφον τοῦτον ὑμέναιον, οὗ ὄνησις οὐδεμία· ἀμφοτέρωθεν γὰρ, ἢ ἐκ μόνης τῆς Κρήτης μετ' οὐχ ὁσίων οἰωνῶν εἰς τὰς κλεινὰς ἔπλευσεν Ἀθήνας, ἔνθ' ἀποβάντες εἰς τὴν Μουνυχίαν, ἀνήρτησαν τὰ πρυμνήσια ἀπὸ τῶν ἑρμάτων.

Διὸ νόσος αὐτῇ δεινὴ παρανόμων ἐρώτων ἐνσκήψασα ὑπὸ Ἀφροδίτης, διέστρεψεν αὐτῆς τὸ φρονοῦν· καὶ

φορα ἀποδιδόασιν ὀνόματα· κατ' ἄλλους δ' ἦσαν ἑπτὰ αἱ αὐταὶ καὶ Πλειάδες. Ἑσπερίδες δὲ κέκληνται, ὅτι ἐπὶ τῆς δύσεως ἦσαν φύλακες τοῦ κήπου, ὅπου μηλέα τις ἔφερε μῆλα χρυσᾶ ἱερὰ τῇ Ἀφροδίτῃ· ζητεῖ δὲ ὁ Χορὸς τόπους, ἔνθα γεγόνασί ποτε θρῆνοι, ἵνα θρηνήσῃ. 745. Ἄτλας] οὗτος ἀστρονομίαν διδάξας Ἡρακλέα, μυθολογεῖται ὅτι φέρει τὴν οὐράνιον σφαῖραν ἐπὶ τῶν ὤμων· ἔστι δὲ καὶ ὄρος αὐτοῦ πρὸς τὸ τέρμα τῆς Ἀφρικῆς καταντικρὺ τῶν Γαδείρων ὀνομαζόμενον Ατλας ὑπερύψηλον. 754. Ὄνησιν] ἣν ὁ γάμος οὐδόλως ὠφέλησε. 755. Ἢ γὰρ ἀπ' ἀμφοτέρων] ἡ ναῦς, φησὶν, ἦλθε δύσορνις, ὅ ἐστι σὺν κακοῖς οἰωνοῖς, ἢ ἀπὸ μέρους ἀμφοτέρων τῶν Ἀθηνῶν καὶ τῆς Κρήτης,

Ἀπὸ νυμφιδίων κρεμαςὸν
Ἅψεται ἀμφὶ βρόχον
Λευκᾷ καθαρμόζουσα δείρᾳ,
Δαίμονα στυγνὸν καταιδε-
Σθεῖσα, τάν τ᾽ εὔδοξον ἀνθαι-
Ρουμένα φάμαν, ἀπαλλάσ-
Σουσά τ᾽ ἀλγεινὸν φρενῶν ἔρωτα.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΘΗΣΕΥΣ, ΙΠΠΟΛΥΤΟΣ.

ΑΓ. Ἰοὺ, ἰού.
Βοηδρομεῖτε πάντες οἱ πέλας δόμων.
Ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.
ΧΟ. Φεῦ, φεῦ. πέπρακται· βασιλὶς οὐκ ἔτ᾽ ἐςι δὴ
Γυνὴ, κρεμαςοῖς ἐν βρόχοις ἠρτημένη.
ΑΓ. Οὐ σπεύσετ᾽; οὐκ οἴσει τις ἀμφιδέξιον
Σίδηρον, ᾧ τόδ᾽ ἅμμα λύσομεν δέρης;
ΗΜ. Φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾷν δόμους,
Λῦσαί τ᾽ ἄνασσαν ἐξ ἐπισπαςῶν βρόχων;
ΗΜ. Τί δ᾽; οὐ πάρεισι πρόσπολοι νεανίαι;
Τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου.
ΕΞ. Ὀρθώσατ᾽ ἐκτείνοντες ἄθλιον νέκυν,
Πικρὸν τόδ᾽ οἰκούρημα δεσπόταις ἐμοῖς.
ΧΟ. Ὄλωλεν ἡ δύςηνος, ὡς κλύω, γυνή.
Ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.

ἤδη ὑποβρύχιος τῇ συμφορᾷ γενομένη, βρόχον ἅψασα ἀπὸ τῶν ἐν θαλάμῳ τεράμνων, ἀπάγξεται, ἑλομένη μᾶλλον ἐνδόξως ἀποθανεῖν, ἀπαλλαττομένη τοῦ πάθους, ἢ ζῆν κακοδαιμόνως, στένουσα διὰ βίου.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΘΗΣΕΥΣ, ΙΠΠΟΛΥΤΟΣ.

**ΑΓ.** Ἰοὺ, ἰού· δράμετε, δράμετε πανταχόθεν οἱ ἐκ τῶν δόμων· ἡ γὰρ δέσποινα ᾤχετ' ἀπαγξαμένη.

**ΧΟ.** Φεῦ, φεῦ, τετέλεσται ἄρα· οὐκέθ' ἡμῖν ἐστι Φαίδρα, χρησαμένη ἀγχόνῃ.

**ΑΓ.** Οὐ ταχυνεῖτε; οὐκ οἴσει τις σιδήριόν τι, ᾧ τεμοῦμεν τὸν βρόχον ἀπὸ τῆς δέρης;

**ΗΜ.** Τί δρῶμεν, φίλαι; πότερον, εἰσίωμεν ἀπαλλάξουσαι τοῦ βρόχου τὴν δέσποιναν, ἢ τί δοκεῖ;

**ΗΜ.** Τί δε; οὐ ποιοῦσι τοῦθ' οἱ θεράποντες ἔνδον; ἡμῖν γὰρ τὸ ὑπὲρ τὸ δέον πολυπραγμονεῖν τὰ τοιαῦτα οὐκ ἀσφαλές.

**ΕΞ.** Εὐθετίσατ', ἐκτείναντες τὸν ἄθλιον τοῦτον νεκρὸν, τὸ πικρὸν τοῖς ἐμοῖς δεσπόταις οἰκούρημα.

**ΧΟ.** Ἀπόλωλεν ἄρ' ἡ δύστηνος, ὡς ἐξ ὧν ἀκούω ἐστὶν εἰκάσαι· ἤδη γὰρ προτιθέασι τὸν νεκρὸν αὐτῆς ἔνδον·

---

ἡ ἐκ μόνης τῆς Κρήτης. 783. Ὀρθώσατε] ὅσιον τοῦτο ἐποιοῦντο πρῶτον οἱ Ἕλληνες πρὸς τοὺς νεκροὺς, τὸ περιστέλλειν τὸ σῶμα ἐκτείναντες ἐν τάξει,

ΘΗ. Γυναῖκες, ἴστε, τίς ποτ' ἐν δόμοις βοή;
Ἠχὼ βαρεῖα προσπόλων μ' ἀφίκετο.
Οὐ γάρ τί μ' ὡς θεωρὸν ἀξιοῖ δόμος,
Πύλας ἀνοίξας, εὐφρόνως προσεννέπειν.
Μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;
Πρόσω μὲν ἤδη βίοτος· ἀλλ' ὅμως ἔτ' ἂν
Λυπηρὸς ἡμῖν τούσδ' ἂν ἐκλίποι δόμους.
ΧΟ. Οὐκ ἐς γέροντας ἥδε σοι τείνει τύχη,
Θησεῦ· νέοι θανόντες ἀλγυνοῦσί σε.
ΘΗ. Οἴ μοι· τέκνων μοι μή τι συλᾶται βίος;
ΧΟ. Ζῶσιν, θανούσης μητρὸς ὡς ἄλγιστά σοι.
ΘΗ. Τί φής; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;
ΧΟ. Βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.
ΘΗ. Λύπῃ παχνωθεῖσ', ἢ 'πὸ συμφορᾶς τινός;
ΧΟ, Τοσοῦτον ἴσμεν· ἄρτι γὰρ κἀγὼ δόμους,
Θησεῦ, πάρειμι, σῶν κακῶν πενθήτρια.
ΘΗ. Αἶ, αἶ. τί δῆτα τοῖσδ' ἀνέστεμμαι κάρα
Πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;
Χαλᾶτε κλῇθρα, πρόσπολοι, πυλωμάτων,
Ἐκλύσαθ' ἁρμοὺς, ὡς ἴδω πικρὰν θέαν
Γυναικὸς, ἥ με κατθανοῦσ' ἀπώλεσεν.
ΧΟ· Ἰὼ ἰὼ τάλαινα μελέων κακῶν!
Ἔπαθες, εἰργάσω
Τοσοῦτον, ὥστε τούσδε συγχέαι δόμους.
Αἶ, αἶ τόλμας! ὦ βιαίως θανοῦσ'

789. Θεωρὸν] ἦσαν δὲ θεωροὶ οἱ δημοσίᾳ πεμπόμενοι προσοίσοντες θυσίας πρὸς

ΘΗ. Γυναῖκες· ἴστε γὰρ ὑμεῖς· τίς ἡ βοὴ αὕτη τῶν θεραπόντων ἐξέρχεται ἔνδοθεν; οὐδὲ γὰρ ὡς ἔθος, ἀνοίξαντες τὰς θύρας, προὐπαντῶσί μοι ἥκοντι θεωρῷ· μήτι Πιτθεὺς ὁ γέρων ἀπηλλάγη τοῦ βίου; ἐς γὰρ βαθὺ μὲν γῆρας τυγχάνει ἐληλακώς· ἀλλ᾽ ὅμως λυπήσει ἡμᾶς οὐκ ὀλίγον, ἀπολιπών.

ΧΟ. Οὐκ ἐς γέροντας τὰ τῆς τύχης σοι, Θησεῦ, τείνει ἤδη, ἀλλὰ νεωτέρων λυπήσει σε θάνατος.

ΘΗ. Οἴμοι, μήτις τῶν παίδων κατέστρεψε;

ΧΟ. Ζῶσι μὲν οὗτοι, ἀλλ᾽ οἰκτροὶ, τῆς μητρὸς ϛερηθέντες.

ΘΗ. Τί φής; ἡ ἐμὴ τέθνηκε γυνή; τῷ τρόπῳ;

ΧΟ. Ἀγχόνῃ χρησαμένη ἤδη ἐν τῷ θαλάμῳ.

ΘΗ. Ἐκ λύπης τινὸς, ἢ ἑτέραν αἰτίαν σχοῦσά τινα;

ΧΟ. Οὐκ ἔχω συμβαλεῖν· ἄρτι γὰρ χ᾽ ἡμεῖς τυγχάνομεν ἐλθοῦσαι, τὰς σὰς συμπενθήσουσαι συμφοράς.

ΘΗ. Αἶ, αἶ! τί ταῦτα φέρω ἐπὶ κεφαλῆς, στέφανον τουτονὶ ἐστεμμένος, θεωρὸς φροῦδος ἥκων, ἀνοίξαθ᾽ ὑμεῖς οἱ πρόσπολοι τὰς θύρας, λύσατε τοὺς ἁρμοὺς, ὡς ἴδω τὴν δυϛυχῆ γυναῖκα, ἣ ἀπολωλυῖα, συναπώλεσε κἀμέ.

ΧΟ. Ἰὼ, ἰὼ, ὦ τάλαινα τῶν κακῶν, οἷα μὲν ἔπαθες, οἷα δ᾽ ἔδρασας, ἅπαντα τὸν οἶκον συνταράξασα τοῦτον· φεῦ,

---

τινα; τῶν θεῶν· ἢ οἱ ἰόντες χρησόμενοι, ὥσπερ ἤδη καὶ ὁ Θησεύς· ἐπανήρχοντο δὲ ἐϛεφανωμένοι. 797. Ζῶσι μὲν ἐκεῖνοι, ἀλλὰ τέθνηκεν ἡ μήτηρ. 800. Αὐτῇ παχνωθεῖσα] ὑπὸ λύπης καταταχεῖσα· ἀπὸ μεταφορᾶς τῆς πάχνης

Ἀνοσίῳ τε συμφορᾷ. σᾶς χερὸς
Πάλαισμα μελέας!
Τίς ἄρα σὰν, τάλαν', ἀμαυροῖ ζωάν;
ΘΗ. Ὤμοι ἐγὼ πόνων, ὧν ἔπαθον τάλας,
Τὰ μάκις' ἐμῶν κακῶν! ὦ τύχα,
Ὥς μοι βαρεῖα καὶ δόμοις ἐπεστάθης,
Κηλὶς ἄφραστος ἐξ ἀλαστόρων τινός!
Κατακονα μὲν οὖν, ἀβίωτος βίος.
Κακῶν δ' ὁ τλάμων πέλαγος εἰσορῶ
Τοσοῦτον, ὥςε μήποτ' ἐκνεῦσαι πάλιν,
Μήδ' ἐκπεράσαι κῦμα τῆσδε συμφορᾶς.
Τίνα λόγον τάλας, τίνα τύχαν σέθεν
Βαρύποτμον γύναι, προσαυδῶν τύχω;
Ὄρνις γὰρ ὥς τις ἐκ χερῶν ἄφαντος εἶ,
Πήδημ' ἐς ᾅδου κραιπνὸν ὁρμήσασά μοι.
Αἶ αἶ αἶ αἶ μέλεα μέλεα, τάδε πάθη!
Πρόσωθεν δέ ποθεν ἀνακομίζομαι
Τύχαν δαιμόνων ἀμπλακίαισι τῶν
Πάροιθέν τινος.
ΧΟ. Οὐ σοὶ τάδ', ὦναξ, ἦλθε δὴ μόνῳ κακά.
Πολλῶν μετ' ἄλλων δ' ὤλεσας κεδνὸν λέχος.
ΘΗ. Τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας
Μετοικεῖν σκότῳ θανὼν ὁ τλάμων,
Τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας.
Ἀπώλεσας γὰρ μᾶλλον, ἢ κατέφθισο.
Τίνος δὴ κλύω, πόθεν θανάσιμος
Τύχα σὰν ἔβα, γύναι, καρδίαν;
Εἴποι τις ἂν τὸ πραχθὲν, ἢ μάτην ὄχλον
Στέγει τύραννον δῶμα προσπόλων ἐμῶν;

φεῦ, τῆς τόλμης καὶ τοῦ δράματος τούτου, αὐτοχειρὶ τοιούτῳ χρησαμένης παλαίσματι· τίς γὰρ δαίμων ἠμαύρωσέ σοι τὸ ζῆν, ὥστε μηκέτι εἶναι;

ΘΗ. Οἴμοι τῷ δυστήνῳ, οἷα πάσχω ὁ τάλας· οἴμοι τῶν κακῶν· ὦ τύχη, ὡς βαρεῖα ἐπέθου μοι οἴκοι· ἀλάστωρ τὶς τὴν κηλῖδα μοι ἐπέπεμψε τήνδε, ἀβίωτον ὅλως τὸν ἐμὸν ἀπεργαζόμενος βίον· ἐν γὰρ τοιούτῳ ὁρῶ γεγενημένος πελάγει, ὥςε μὴ ἂν οἷόν τε εἶναι, μήτε πάλιν ἀπονηξάμενον σώζεσθαι, μήτε περάσαντα ἀπαλλαγῆναι ὅλως τῆς συμφορᾶς. Τί οὖν εἰπὼν ὁ τάλας, τὴν σὴν τύχην ἀξίως εἴπω; ὡς γὰρ ὄρνις ἀπὸ μέσων τῶν χειρῶν ἐκπτάσα, οὐκέτι φαίνῃ, πήδημα τοῦτ' ἐς Ἅδου ταχὺ ἐκπηδήσασα· αἶ, αἶ, αἶ, αἶ· μεγίστη αὕτη δὴ συμφορά· ἀρχαίων ἁμαρτημάτων, ὡς ἔοικε, τῶν προγόνων τινὸς, εἰς ἐμὲ ἀποτεταμιευμένων, θεοῖς τίνω δίκην.

ΧΟ. Ἀλλ' οὐ μόνος, ὦ ἄναξ, αὐτὸς τοιαύτης πεπείρασαι συμφορᾶς, ἀλλὰ καὶ ἄλλοις πολλοῖς κοινὸν τὸ πάθος τοῦτο.

ΘΗ. Οὐκέθ' ὁ βίος μοι ἡδὺς, τῆς σῆς ὁμιλίας ἀποςερηθέντι· ἥδιςον δέ μοι, ἥδιςον μάλα τὸ σκότος ἤδη τοῦ Ἅδου· ἔνθα ἐφίεμαι μετοικῆσαι· οὐ γὰρ ἀπόλωλας μᾶλλον αὐτὴ, ἢ συναπώλεσας κἀμέ· ἀλλὰ παρὰ τίνος μάθω τὴν τύχην; τί ποτ' εἰς τοῦτο συμφορᾶς ἐξεβίασέ σε, ὦ γύναι; οὐκ ἔςθ', ὃς ἐρεῖ μοι, ὅπως συνέβη ταῦτα, ἢ μάτην τοσοῦτος ὄχλος ὧδε τρέφεται θεραπόντων; ἰοὺ, ἰού μοι

τῆς καταῤῥικνούσης καὶ μαραινούσης τὰ φυτά. 819. Κατακονὰ] καταφθοράς· ἄλλοι δὲ γράφουσι, κατακονᾷ, μαραίνει, φθείρει. 821. Ἐκνεῦσαι] ἴδε ἀνωτέρω

Ὤμοι μοι σέθεν.
Μέλεος, οἷον εἶδον ἄλγος δόμων,
Οὐ τλητὸν, οὐδὲ ῥητόν! ἀλλ' ἀπωλόμην·
Ἔρημος οἶκος, καὶ τέκν' ὀρφανεύεται.

ΧΟ. Ἔλιπες, ἔλιπες, ὦ φίλα γυναικῶν
Ἀρίστα θ', ὁπόσας ἐφορᾷ
Φέγγος ἀελίου τε καὶ
Νυκτὸς ἀστερωπὸς σελάνα.
Ἰὼ τάλας, ὦ τάλας! ὅσον κακὸν ἔχει δόμος!
Δάκρυσί μου βλέφαρα
Καταχυθέντα τέγγεται σᾷ τύχᾳ·
Τὸ δ' ἐπὶ τῷδε πῆμα φρίσσω πάλαι.

ΘΕ. Ἔα, ἔα·
Τί δή ποθ' ἥδε δέλτος ἐκ φίλης χερὸς
Ἠρτημένη θέλει τι σημῆναι νέον;
Ἀλλ' ἦ λέχους μοι καὶ τέκνων ἐπιστολὰς
Ἔγραψεν ἡ δύστηνος ἐξαιτουμένη;
Θάρσει, τάλαινα· λέκτρα γὰρ τὰ Θησέως
Οὐκ ἔστι, δῶμά θ' ἥτις εἴσεισιν γυνή.
Καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου
Τῆς οὐκέτ' οὔσης τῆσδε προσσαίνουσί με.
Φέρ' ἐξελίξας περιβολὰς σφραγισμάτων
Ἴδω, τί λέξαι δέλτος ἥδε μοι θέλει.

ΧΟ. Φεῦ φεῦ! τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς
Ἐπιφέρει θεὸς κακόν· ἐμοὶ μὲν οὖν
Ἀβίωτος βίου τύχα πρὸς τὸ κραν-

423. 852. Τὸ δὲ ἐπὶ τῷδε πῆμα] τὸν Ἱππόλυτον αἰνίττεται, μήτι πάθῃ. 856.

τῆς σῆς συμφορᾶς· οἷον, οἷον ὁρῶ τὸ πάθος, ἀνύποιστον, ἄῤῥητον· ἀπόλωμαι ὅλως· ἔρημος μὲν ἀπολείπεται οἶκος, ὀρφανοὶ δὲ οἱ παῖδες.

ΧΟ. Ἀπήλλαξας τῶν τῆδε, ἀπῆλθες ἀφ' ἡμῶν, ὦ φίλη Φαίδρα, ἡ πασῶν γυναικῶν, ὅσας ἥλιος ὁρᾷ, καὶ σελήνη ἡ σελαγίζουσα νύκτωρ, ἀρίστη γεγενημένη· ἰὼ τάλας σύγε, οἵᾳ συμφορᾷ περιπέπτωκέ σοι ὁ οἶκος· δάκρυά μου τῶν παρειῶν καταῤῥεῖ, τὴν σὴν τύχην ἀναλογιζομένης· τὸ δ' ἐκ τούτων ἐκβησόμενον καὶ μᾶλλον φρίσσω πάλαι.

ΘΗ. Ἔα, ἔα· τί τοῦθ' ὁρῶ; δέλτος ἥδε ἐκ χειρὸς τοῦ νεκροῦ ἐστιν ἐξηρτημένη· τί μοι ἄρα σημανεῖ νέον; μῶν περὶ γάμων νέων, ἢ περὶ τῶν παίδων ἐρεῖ μοί τι; θάῤῥει, ὦ τάλαινα, γάμος Θησεῖ οὐκέτ' ἔσται οὐδεὶς οὐδαμοῦ, οὐδὲ γυνὴ εἰς τὴν οἰκίαν τοῦ λοιποῦ εἰσιτητέα· καὶ μὴν ὅδ' ὁ τύπος τῆς σφραγίδος, αὐτῆς ταύτης ὢν τῆς τεθνηκυίας, ἡδέως τοῖς ἐμοῖς ὀφθαλμοῖς προσπίπτει· φέρε δὴ λύσας τὴν σφραγίδα, ἴδω ὅ,τι καὶ λέγει.

ΧΟ. Φεῦ, φεῦ· ἄλλο ἄλλου νέον παλαιοῦ κακὸν ὁ θεὸς ἐπιφέρει διάδοχον· ἔμοιγε μὲν οὖν ἀβίωτος ὅλως ὁ βίος

---

Λέχους ἐπιστολὰς] ἐντολάς τινὰς περὶ δευτέρου γάμου, καὶ περὶ τῶν παρόντων τέκνων. 860. Σφενδόνης] Σφενδόνη ἐστιν ὁ κύκλος τοῦ δακτυλίου· λαμβάνεται δ' ἐνταῦθα ἀντὶ τῆς σφραγίδος, ἐν ᾗ ἰδὼν τὸν τύπον, ἔγνω τῆς τεθνηκυίας εἶναι· τὸ οὖν προσσαίνουσιν ἀπὸ μεταφορᾶς τῶν κυνῶν, ὅταν ἀπαντῶσι τοῖς δεσπόταις, οὕτω καὶ ἡ σφαγὶς ἡδεῖα καὶ γνωστὴ αὐτῷ γίνεται. 866. Ἀβίωτος βίος εἴη] πότερον εὐκτικῶς ἐκλειπτέον τοῦτο, ἢ ἀποφαντικῶς· οἷον, ὤφειλον μὴ εἶναι ζῶσα ἐν τῷ βίῳ ἕνεκα τῶν γιγνομένων, ἢ οὐκ ἔσται μοι βιω-

Θὲν εἴη τυχεῖν.
Ὀλομένους γὰρ, οὐκέτ᾽ ὄντας λέγω,
Φεῦ φεῦ, τῶν ἐμῶν τυράννων δόμους.
Ὦ δαῖμον, εἴπως ἐστὶ, μὴ σφήλῃς δόμους,
Αἰτουμένης δὲ κλῦθί μου· πρὸς γάρ τινος
Οἰωνὸν, ὥστε μάντις, εἰσορῶ κακοῦ.
ΘΗ. Οἴμοι! τόδ᾽ οἷον ἄλλο πρὸς κακῷ κακὸν
Οὐ τλητὸν, οὐδὲ λεκτόν! ὦ τάλας ἐγώ!
ΧΟ. Τί χρῆμα, λέξον, εἴ τί μοι λόγου μέτα.
ΘΗ. Βοᾷ βοᾷ δέλτος ἄλαστα· πᾷ φύγω
Βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι,
Οἷ᾽ οἷον εἶδον ἐν γραφαῖσιν μέλος
Φθεγγόμενον τλάμων!
ΧΟ. Αἶ αἶ, κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.
ΘΗ. Τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις
Καθέξω δυσεκπέρατον, ὀλοὸν κακόν· ὦ πόλις!
Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν
Βίᾳ, τὸ σεμνὸν Ζηνὸς ὄμμ᾽ ἀτιμάσας.
Ἀλλ᾽ ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
Ἀρὰς ὑπέσχου τρεῖς, μιᾷ κατέργασαι
Τούτων ἐμὸν παῖδ᾽, ἡμέραν δὲ μὴ φύγοι
Τήνδ᾽, εἴπερ ἡμῖν ὤπασας σαφεῖς ἀράς.
ΧΟ. Ἄναξ, ἀπεύχου ταῦτα πρὸς θεῶν πάλιν.
Γνώσῃ γὰρ αὖθις ἀμπλακών· ἐμοὶ πιθοῦ.
ΘΗ. Οὐκ ἔστι· καὶ πρός γ᾽ ἐξελῶ σφε τῆσδε γῆς,
Δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται·
Ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς Ἅιδου δόμους

πρὸς τὸ συμβὰν ἐστὶ τοῦ λοιποῦ· ὁρῶ γὰρ, φεῦ, φεῦ, τὰ τῶν ἐμῶν δεσποτῶν πράγματ' οὐκέθ' ἕξοντα καλῶς. Ἀλλ' ὦ δαίμων, ἄκουσον κἀμοῦ δεομένης, μηκέτι σφάλῃς, εἴγ' ἔξεστι, τὸν οἶκον τοῦτον· συνορῶ γὰρ, καθάπερ μάντις, κακοῦ αὖθίς τινος οἰωνόν.

ΘΗ. Οἴμοι τῷ παναθλίῳ· ἀπέκειτό μοι ἄρα πρὸς τῷ κακῷ καὶ ἕτερον κάκιον ἰδεῖν τοῦτο, οὐ τλητὸν, οὐ ῥητὸν οὔτ' ἰδεῖν, οὔτ' ἀκοῦσαι· ὦ τάλας ἐγώ.

ΧΟ. Τί τοῦτο φής; εἰπέ μοι, εἰ δεῖ κἀμὲ τοῦτ' εἰδέναι.

ΘΗ. Βοᾷ, βοᾷ, ἡ δέλτος αὕτη φθέγγεται τρανῶς· ποῦ φύγω τοσούτων κακῶν ἐπικείμενον βάρος; ἀπώλυμαι, ὤλυμαι ὁ δύστηνος ἐγώ· οἷον, οἷον μέλος ἀκούω τῆς γραφῆς φθεγγομένης ὁ τάλας.

ΧΟ. Αἶ, αἶ· ἕτερα κακὰ, ὡς ἔοικεν, ἄρχῃ λέγειν.

ΘΗ. Τοῦτ' οὐκ ἂν δυναίμην παρασιωπῆσαι, καίτοι φρικτὸν ὂν ἀκοῦσαι· ὦ πόλις, πόλις! Ἱππόλυτος τὴν ἐμὴν εὐνὴν ἐξεβίασεν, αὐτὸν Δία πρῶτον ἄνωθεν ἐφορῶντα εἰς οὐδὲν λογισάμενος. Ἀλλ' ὦ πάτερ Πόσειδον, μιᾷ τῶν ἀρῶν, ἃς ὑπέσχου μοι τρεῖς, ἀπόλεσον, ὄλεσον τὸν ἐμὸν υἱὸν τοῦτον αὐθημερὸν, εἰ ἀληθῶς μοι τυγχάνεις τοῦθ' ὑπεσχημένος.

ΧΟ. Ὦ ἄναξ, ἀπεύχου πρὸς θεῶν ταῦτα πάλιν· αὐτίκα γὰρ εἴσῃ, μὴ καλῶς ταῦτ' εὐξάμενος· πείθου μοι ταῦτα.

ΘΗ. Οὐκ ἔστι τοῦτο· ἀλλὰ καὶ τῆς γῆς ταύτης ὑπερόριος ἔσται· ἵνα δυοῖν αὐτῷ κακῶν προκειμένοιν περιπέσῃ θατέρῳ· ἢ γὰρ Ποσειδῶν αὐτὸς κακῶς κακὸν ἀπολέσει,

---

τὸν τοῦ λοιποῦ; ἄμφω δυνατά. 871. Πρὸς γὰρ τίνος] ἡ συνθήκη οὕτως· εἰσορῶ γὰρ, ὡς μάντις, πρὸς οἰωνὸν κακοῦ τινος (τοῦ Ἱππολύτου)

Θανόντα πέμψει, τὰς ἐμὰς ἀρὰς σέβων·
Ἢ τῆσδε χώρας ἐκπεσὼν ἀλώμενος
Ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσει βίον.

ΧΟ. Καὶ μὴν ὅδ' αὐτὸς παῖς σὸς ἐς καιρὸν πάρα,
Ἱππόλυτος· ὀργῆς δ' ἐξανεὶς κακῆς, ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.

ΙΠ. Κραυγῆς ἀκούσας σῆς ἀφικόμην, πάτερ,
Σπουδῇ· τὸ μέντοι πρᾶγμ', ἐφ' ὧτινι στένεις,
Οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
Ἔα, τί χρῆμα; σὴν δάμαρθ' ὁρῶ, πάτερ,
Νεκρόν· μεγίστου θαύματος τόδ' ἄξιον·
Ἣν ἀρτίως ἔλειπον, ἣ φάος τόδε
Οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
Τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;
Πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα. —
Σιγᾷς; σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς·
Ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
Κἀν τοῖς κακοῖσι λίχνος οὖσ' ἁλίσκεται.
Οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους,
Κρύπτειν δίκαιον σὰς, πάτερ, δυσπραξίας.

ΘΗ. Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
Τί δὴ τέχνας μὲν μυρίας διδάσκετε,
Καὶ πάντα μηχανᾶσθε, κἀξευρίσκετε;
Ἓν δ' οὐκ ἐπίστασθ', οὐδ' ἐθηράσασθέ πω,
Φρονεῖν διδάσκειν, οἷσιν οὐκ ἔνεστι νοῦς;

ΙΠ. Δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
Τοὺς μὴ φρονοῦντας δυνατὸς ἔστ' ἀναγκάσαι.
Ἀλλ' (οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ)
Δέδοικα μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.

ΘΕ. Φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον

καταπέμψας εἰς Ἅδου, τὴν ἐμὴν ἐκπληρώσας ἀράν· ἢ τῆσδε τῆς γῆς ἐκπεσὼν, δυστυχὴς ἔσται, εἰς τὴν ἀλλοδαπῆ τὸν ἅπαντα αἰῶνα πλανώμενος.

ΧΟ. Καὶ μὴν ἴδε σὸς παῖς Ἱππόλυτος οὗτος παραγίνεται ὧδε· σὺ δ', ὦ δέσποτα, ὅρα ὅπως ἀφεὶς τὸ ὀργίλον, πράξεις σεαυτῷ τὰ συνοίσοντα.

ΙΠ. Κραυγῆς ἀκούσας τῆς σῆς, ὦ πάτερ, ἔσπευσα· τὸ μέν τοι πρᾶγμα, δι' ὃ τοσοῦτον στένεις, οὐκ ἔχω πω ξυμβαλεῖν· βουλοίμην δὲ παρὰ σοῦ μαθεῖν ὅ,τι ποτ' εἴη τοῦτο. Ἔα· τί χρῆμα τόδε; τὴν σὴν γυναῖκ', ὦ πάτερ, ὁρῶ τεθνηκυῖαν· ὦ θαῦμα μέγιστον τοῦτο, ἣν ἀρτίως ζῶσαν ἔλιπον ὧδε· τί δὲ παθοῦσα, οὕτως ἀπροσδοκήτως, κατέστρεψε; παρὰ σοῦ, ὦ πάτερ, ἀξιῶ μαθεῖν τοῦτο· τί σιγᾷς; τὰ πράγμαθ' ἡμῖν ἤδη οὐκ ἔστι σιγητέα· ἡ γὰρ ψυχὴ, πάντ' ἐφιεμένη μαθεῖν, οὐδ' ἐν κακοῖς ἀφαιρεῖται τὸ λίχνον· σὲ δ', ὦ πάτερ, οὐ δεῖ φίλους καὶ μᾶλλόν τι, ἢ φίλους, κρύπτειν τὰς σαυτοῦ δυστυχίας.

ΘΗ. Ὦ πολλὰ πονοῦντες ἄνθρωποι μάτην· τί γὰρ δὴ μυρίας μὲν διδάσκετε τέχνας, πάντα μηχανώμενοι κᾀξευρίσκοντες· ἓν δ', ὃ κράτιστόν ἐστιν, οὐδέπω ἐπίστασθε, νοῦν, οἷς οὐκ ἔνεστιν, ἐντιθέναι;

ΙΠ. Δαιμόνιον δήπου τοῦτον εἴρηκας ἄνδρα, εἴτις δύναιτο τοὺς μὴ φρονοῦντας φρενοῦν· ἀλλ' οὐκ ἐν τούτῳ σοι νῦν, ὦ πάτερ, τὰ πράγματ' ἐστὶν, ὥστε φιλοσοφεῖν περὶ τῶν τοιούτων· ἐμὲ δὲ καὶ ὑπόνοιά τις ἐκείνη ὑπέρχεται, μή σου ἡ γλῶσσα ἐκπεπληγμένη ὑπὸ τῶν κακῶν, παραπαίει.

ΘΗ. Φεῦ, φεῦ. ἔδει γὰρ σημεῖον εἶναί τι τοῖς ἀνθρώποις, ᾧ

Σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
Ὅστις τ' ἀληθής ἐστιν, ὥστε μὴ, φίλος.
Δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
Τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν,
Ὡς ἡ φρονοῦσα τἄδικ', ἐξηλέγχετο
Πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.

ΙΠ Ἀλλ' ἦ τις ἐς σὸν οὖς με διαβαλὼν ἔχει
Φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες αἴτιοι;
Ἔκ τοι πέπληγμαι· σοὶ γὰρ ἐκπλήσσουσί με
Λόγοι, παραλλάσσοντες ἔξεδροι φρενῶν.

ΘΗ. Φεῦ τῆς βροτείας, ποῖ προβήσεται, φρενός;
Τί τέρμα τόλμης καὶ θράσους γεννήσεται;
Εἰ γὰρ κατ' ἀνδρὸς βίοτος ἐξογκώσεται,
Ὁ δ' ὕστερος τοῦ πρόσθεν εἰς ὑπερβολὴν
Πανοῦργος ἔσται, θεοῖσι προσβαλεῖν χθονὶ
Ἄλλην δεήσει γαίαν! ἣ χωρήσεται
Τοὺς μὴ δικαίους καὶ κακοὺς πεφυκότας.
Σκέψασθε δ' ἐς τόνδ', ὅστις ἐξ ἐμοῦ γεγὼς
Ἤσχυνε τἀμὰ λέκτρα κἀξελέγχεται
Πρὸς τῆς θανούσης ἐμφανῶς κάκιστος ὤν.
Δεῖξον δ', ἐπειδή γ' ἐς μίασμ' ἐλήλυθας,
Τὸ σὸν πρόσωπον δεῦρ' ἐναντίον πατρί.
Σὺ δὴ θεοῖσιν, ὡς περισσὸς ὢν ἀνὴρ,
Σύνει; σὺ σώφρων καὶ κακῶν ἀκήρατος;
Οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγὼ,
Θεοῖσι προσθεὶς ἀμαθίαν φρονεῖν κακῶς.
Ἤδη νυν αὔχει καὶ δι' ἀψύχου βορᾶς

τοὺς ἀγαθοὺς ἂν τῶν φαύλων διαγινώσκοιμεν φίλους· δισσάς τε φωνὰς ἐνεῖναι, τὴν μὲν δικαίαν, τὴν δὲ τοὐναντίον, ἵν' ἡ φρονοῦσα τἄδικα ἐξηλέγχετο εὐθὺς ὑπὸ τῆς δικαίας πρὸς ἀποφυγὴν τῆς ἀπάτης.

ΙΠ. Μή τις, ὦ πάτερ, τῶν φίλων ἐνέπλησέ σου τὰς ἀκοὰς τῶν πρὸς ἐμὲ διαβολῶν, καὶ μισούμεθα μηδενὸς ὄντες αἴτιοι; ἐγὼ γὰρ τοιαῦτ' ἀκούων παρὰ σοῦ, οὐ πάνυ κατὰ λόγον συνείροντος, ἐκπέπληγμαι ὅλως.

ΘΠ. Φεῦ, τίς ποθ' ὅρος ἔσται τῆς φθορᾶς τῶν ἠθῶν; τί τέρμα τῆς τόλμης καὶ τοῦ θράσσους γενήσεται τοῖς ἀνθρώποις; εἰ γὰρ ὁ βίος ἑκάστου προκόψειεν ἐπὶ πολὺ πανουργίᾳ, ὁ δὲ ἐπιγενόμενος ἀεὶ ὑπερβάλοι καὶ τοῦτον, δεήσει καὶ ἑτέραν γῆν τοὺς θεοὺς τῇ ὑπαρχούσῃ προσθεῖναι, ἥτις δέξοιτ' ἂν τοὺς ἀδίκους καὶ κακοὺς πεφυκότας· βλέψατε γὰρ εἰς τόνδε, ὃς παῖς ἐμοῦ ὤν, οὐκ ὤκνησε τὴν ἐμὴν εὐνὴν καταισχύναι· καὶ ἐξελέγχεται ὑπὸ τῆς ἀποθανούσης ταυτησὶ πάντων ἀνθρώπων κάκιστος ὤν. Εἰς δὲ τοιοῦτον τόλμημα αὐτὸς ἐληλακώς, βλέψον πρὸς ἐμὲ τὸν γεννήτορα· σὺ εἶ ὁ σοφὸς ἀνήρ, καὶ ἀεὶ τοῖς θεοῖς συνών; σὺ ὁ σώφρων καὶ κακῶν ἀμέτοχος πάντων; οὐκ ἄν με πείσαις, κόμπους λόγων συνείρων· οὐδ' ἂν τῶν θεῶν ἄγνοιαν τῶν καλῶν καταγνοίην· ἤδη φωρα-

---

925. Σαφές τι σημεῖον, ὅμοιον δὲ τοῦθ', οἷς ἐν Μηδείᾳ λέγει. στιχ. 517. 937. Βίοτος] οὕτως ἀντὶ βίοτον. 951. Ἀψύχου βορᾶς] τροφῆς ἀναίμου· ὡς ἔοικε Πυθαγόρειον βίον

Σίτοις καπήλευ', Ὀρφέα τ' ἄνακτ' ἔχων
Βάκχευε, πολλῶν γραμμάτων τιμῶν καπνούς,
Ἐπεὶ γ' ἐλήφθης· τοὺς δὲ τοιούτους ἐγὼ
Φεύγειν προφωνῶ πᾶσι· θηρεύουσι γὰρ
Σεμνοῖς λόγοισιν, αἰσχρὰ μηχανώμενοι.
Τέθνηκεν ἥδε· τοῦτό σ' ἐκσώσειν δοκεῖς;
Ἐν τῷδ' ἁλίσκῃ πλεῖστον, ὦ κάκιστε σύ.
Ποῖοι γὰρ ὅρκοι κρείσσονες, τίνες λόγοι
Τῆσδ' ἂν γένοιτ' ἄν, ὥστε σ' αἰτίαν φυγεῖν;
Μισεῖν σε φήσεις τήνδε καὶ τὸ δὴ νόθον
Τοῖς γνησίοισι πολέμιον πεφυκέναι;
Κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγεις,
Εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ' ὤλεσεν.
Ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
Γυναιξὶ δ' ἐμπέφυκεν; οἶδ' ἐγὼ νέους
Οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
Ὅταν ταράξῃ Κύπρις ἡβῶσαν φρένα·
Τὸ δ' ἄρσεν αὐτοὺς ὠφελεῖ προσκείμενον.
Νῦν οὖν τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις,
Νεκροῦ παρόντος μάρτυρος σαφεστάτου;
Ἔξεῤῥε γαίας τῆσδ' ὅσον τάχος φυγάς,
Καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
Μήτ' εἰς ὅρους γῆς, ἧς ἐμὸν κρατεῖ δόρυ.
Εἰ γὰρ παθών γε σοῦ τάδ' ἡσσηθήσομαι,

---

ἤσκει καὶ πρὶν ἐκείνου Ἱππόλυτος. 962. Κακὴν ἔμπορον βίου] ἀνόητον ἄρα φὴς αὐτὴν ἥτις, ὡς κακὸς ἔμπορος μικρὰ μεγάλων ἀντηλλάξατο, τοὺς παῖδας ἑαυτῆς (ἢ τὸ ζῆν αὐτὸ) ἕνεκα τῆς δυσμενείας προδοῦσα. 968. Τὸ δὲ ἄῤῥεν] καλύπτει

θεὶς οἷος εἶ, αὔχει πρὸς τοὺς ἔξω καὶ φενάκιζε πολλοὺς, ἐμψύχου τροφῆς ἀπεχόμενος. Ὀρφέα τε διδάσκαλον ἔχων, βάκχευε, πολλῶν ἀρχαίων γραμμάτων τύφον συνειλοχὼς σεαυτῷ· ἐγὼ δὲ τοὺς τοιούτους φευκτέους εἶναι δεῖν πᾶσι κηρύξω· σεμνοῖς γὰρ λόγοις ἀεὶ προσαγόμενοι τοὺς συνόντας, αἰσχρὰ αὐτοῖς μηχανῶνται· σὺ δ', ὦ κάκιστε, τὸν θάνατον τῆςδε σωτηρίαν σεαυτῷ νομίζεις γενήσεσθαι, κακῶς εἰδὼς, ὡς ἐν τούτῳ μᾶλλον ἁλίσκῃ· τίνες γὰρ ὅρκοι; τίνες γένοιτ' ἂν λόγοι κρείττους τῆςδε, ὥςε φυγεῖν τὴν αἰτίαν; ἐρεῖς δ' ἴσως ὑπὸ ταύτης μισεῖσθαι, καὶ τοὺς νόθους πολεμίους τοῖς γνησίοις τῶν παίδων ἀεὶ πεφυκέναι· ἀλλὰ πολλὴν εὐήθειαν καταγινώσκεις ταύτης, εἰ τοῦ σοῦ μίσους ἕνεκα τοὺς ἑαυτῆς παῖδας κατέλιπεν ὀρφανοὺς, τὸ πρὸς ὀλίγον πάθος, ὡς φαῦλος ἔμπορος, ἀνταλλαξαμένη παντὸς τοῦ βίου· ἀλλ' ὅτι ἀνδράσι μὲν οὔποτε, γυναιξὶ δὲ ἐμπέφυκεν ἡ μωρία; ἐρεῖς γὰρ ἴσως καὶ τοῦτο· ἀλλ' οἶδ' ἐγὼ νέους πολλῷ ἀσελγεςέρους τῶν γυναικῶν, ὁπόθ' ἡ Κύπρις συνταράξειεν αὐτῶν τὰς φρένας τοῖς ἔρωσι· συγκαλύπτουσι δὲ τοῦτο μόνῳ τῷ ἄῤῥενας εἶναι· καὶ τί δεῖ τὰ πολλὰ πρὸς τοὺς σοὺς ἁμιλλᾶσθαί με λόγους, τοῦ νεκροῦ τοῦδε σαφέστατα μαρτυροῦντος; Ἐκφθείρου ὡς τάχος τῆς χώρας ταύτης, μηκέτι μήτ' Ἀθήνας πότ' ἰδὼν ὀφθαλμοῖς τοῦ λοιποῦ, μήθ' ὅσης ἐγὼ ἄρχω· εἰ γὰρ τοιαῦτα παθὼν, ἡττηθήσομαί σου, ἀρνήσεται πάν-

---

γὰρ αὐτοὺς τὸ ἄῤῥενας εἶναι· γυναιξὶ δὲ τὸ ἐρᾶν μεῖζον πολλῷ κακόν.

Οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις ποτὲ
Κτανεῖν ἑαυτὸν, ἀλλὰ κομπάζειν μάτην,
Οὐδ' αἱ θαλάσσης σύννομοι Σκειρωνίδες
Φήσουσι πέτραι, τοῖς κακοῖς μ' εἶναι βαρύν.

ΧΟ. Οὐκ οἶδ', ὅπως εἴποιμ' ἂν εὐτυχεῖν τινα
Θνητῶν· τὰ γὰρ δὴ πρῶτ' ἀνέστραπται πάλιν.

ΙΠ. Πάτερ, μένος μὲν ξύστασίς τε σῶν φρενῶν
Δεινή· τὸ μέντοι πρᾶγμ', ἔχον καλοὺς λόγους,
Εἴ τις διαπτύξειεν, οὐ καλὸν τόδε.
Ἐγὼ δ' ἄκομψος, εἰς ὄχλον δοῦναι λόγον,
Ἐς ἥλικας δὲ κὠλίγους σοφώτερος.
Ἔχει δὲ μοῖραν καὶ τόδ'· οἱ γὰρ ἐν σοφοῖς
Φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν.
Ὅμως δ' ἀνάγκη, συμφορᾶς ἀφιγμένης,
Γλῶσσάν μ' ἀφεῖναι· πρῶτα δ' ἄρξομαι λέγειν,
Ὅθεν μ' ὑπῆλθες πρῶτον ὡς διαφθερῶν,
Κοὐκ ἀντιλέξοντ'· εἰσορᾷς φάος τόδε
Καὶ γαῖαν; ἐν τοῖσδ' οὐκ ἔνεστ' ἀνὴρ ἐμοῦ,
Οὐδ' ἢν σὺ μὴ φῇς, σωφρονέστερος γεγώς.
Ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν,
Φίλοις τε χρῆσθαι, μὴ 'δικεῖν πειρωμένοις,

---

975. Σίνις] Ἰσθμοῖ Σίνις ἐγένετο· ὃς κλίνην ἔχων καθ' ὁδὸν, ἐν ᾗ κατακλίνων τοὺς παριόντας, προσεμέτρει· καὶ οὓς εὕρισκε μακροτέρους, περιῄρει τὸ περιττεῦον· τοῦτον οὖν Θησεὺς ἐφόνευσεν· ἦν δ' οὗτος υἱὸς Πήμονος περὶ τὸν Ἰσθμὸν ξενοκτονῶν, ὁ καὶ Πιτυοκάμπτης. ἴδε Πλουτ. Θησ. Ξενοφ. Ἀπομν. Β'. ά, 14. 977. Σκειρωνίδες] Σκείρων ἐν Μεγάροις ἦν τύραννος· ὃς χελώνην τοῖς τῶν ξένων ἔτρεφε σώμασιν· ἀναγκάζων γὰρ αὐτοὺς νίπτειν αὐτοῦ τοὺς πόδας, ἐλάκτιζε, καὶ ἀποκτείνων, παρεδίδου τῇ χελώνῃ βορὰν γενέσθαι· τοῦτον οὖν

τως καὶ Σίνις ὁ Ἴσθμιος ὑπ᾽ ἐμοῦ ποτε ἀνηρῆσθαι, ἀλλὰ μάτην ἐμὲ τὰ τοιαῦτα φήσει ἀλαζονεύεσθαι· οὐδ᾽ αἱ παράλιοι πέτραι, τὰς Σκειρωνίδας λέγω, οὐδ᾽ αὗται μαρτυρήσουσί μοι τὸ χαλεπόν με κακούργοις γενέσθαι.

**ΧΟ.** Ἐγὼ μὲν οὐκ οἶδ᾽ ὅπως ἄν τις εὐδαιμονήσειέ τι τῶν ἀνθρώπων, ὁπόθ᾽ οἱ ἄρχοντες αὐτῶν ἐσχάταις περιπίπτουσι συμφοραῖς.

ΙΠ. Ὁρῶ, ὦ πάτερ, τὴν σὴν ψυχὴν ῥαγδαίαν μου καταφερομένην πολλῷ τῷ θυμῷ· τὸ μέντοι πρᾶγμα τοῦτο, καίτοι σοι πολλοὺς λόγους εὐπρεπεῖς δοκεῖ σοι παρέχειν, ἀλλ᾽ εἴ τις ὀρθῶς ἐξετάσειε, φωραθήσεται ἄλλως ἔχον· ἐγὼ δ᾽ οὖν πρὸς ὄχλον μὲν οὕτω λέγειν, οὐ πάνυ τοι πέφυκα· ἐν δὲ σοφοῖς καὶ ὁμοίοις εἰμί γε σοφώτερος· καί γε εἰκότως· οἱ γὰρ παρὰ σοφοῖς μηδενὸς λόγου ἄξιοι, παρ᾽ ὄχλῳ λαλίστεροι γίγνονται· συμφορᾶς ὅμως νῦν μοι παρεμπεσούσης τοιαύτης, ἀνάγκη λύσαι τὴν σιωπήν· ἄρξομαι δὲ πρῶτον, ὅθεν ὥρμησας ἀπολέσαι με, ὡς δῆθεν μὴ ἕξονθ᾽ ὅλως ὅ,τι ἀπολογησαίμην. Ὁρᾷς, ὦ πάτερ, τὸ μέγα καὶ λαμπρὸν τοῦτο φῶς τοῦ ἡλίου, καὶ τὴν γῆν πᾶσαν τὴν ὑπ᾽ ἐκείνου φωτιζομένην; ἐν ταύτῃ οὐκ ἔστιν ἀνὴρ μήθ᾽ ὑπ᾽ ἐκείνου σελαγιζόμενος, μήτε ταύτην οἰκῶν, ἐμοῦ σωφρονέστερος, κἂν αὐτὸς μὴ ὁμολογῇς τοῦτο· ἐπίσταμαι γὰρ πρῶτον μὲν σέβειν θεούς· ἔπειτα χρῆσθαι φίλοις, οὐ τοῖς ἀδικεῖν εἰθισμένοις, ἀλλ᾽ οἷς φίλον ἐστὶ

---

Θησεὺς ἀποκτείνας, ἔῤῥιψε κατὰ τῶν πετρῶν, αἳ Σκειρωνίδες ἀπὸ τούτου προσηγορεύθησαν. 986. Ἔχει δὲ μοῖραν καὶ τόδε] ἔχει δέ τινα λόγον καὶ τόδε

Ἀλλ' οἷσιν αἰδὼς, μήτ' ἐπαγγέλλειν κακὰ,
Μήτ' ἀνθυπουργεῖν αἰσχρὰ τοῖσι χρωμένοις.
Οὐκ ἐγγελαστὴς τῶν ὁμιλούντων, πάτερ,
Ἀλλ' ὡυτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλοις.
Ἑνὸς δ' ἄθικτος, ᾧ με νῦν ἑλεῖν δοκεῖς.
Λέχους γὰρ ἐς τόδ' ἡμέρας ἁγνὸν δέμας.
Οὐκ οἶδα πρᾶξιν τήνδε, πλὴν λόγῳ κλύων,
Γραφῇ τε λεύσσων· οὐδὲ ταῦτα γὰρ σκοπεῖν
Πρόθυμός εἰμι, παρθένον ψυχὴν ἔχων.
Καὶ δὴ τὸ σῶφρον τοὐμὸν οὐ πείθει σ' ἴσως.
Δεῖ δή σε δεῖξαι, τῷ τρόπῳ διεφθάρην.
Πότερα τὸ τῆσδε σῶμ' ἐκαλλιστεύετο
Πασῶν γυναικῶν; ἢ σὸν οἰκήσειν δόμον,
Ἔγκληρον εὐνὴν προσλαβὼν, ἐπήλπισα;
Μάταιος ἄρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.
Ἀλλ' ὡς τυραννεῖν ἡδύ; τοῖσι σώφροσιν
Ἥκιστά γ', εἰ μὴ τὰς φρένας διέφθορε
Θνητῶν ὅσοισιν ἁνδάνει μοναρχία.
Ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
Πρῶτος θέλοιμ' ἄν· ἐν πόλει δὲ δεύτερος
Σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις·
Πράσσειν τε γὰρ πάρεστι· κίνδυνός τ' ἀπὼν,
Κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
Ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις.
Εἰ μὲν γὰρ ἦν μοι μάρτυς, οἷος εἰμ' ἐγὼ,

999 Ἀλλ' ὡυτὸς] οὕτως ἀντὶ αὐτὸς, ὡς ἐν Ἀλκ. στίχ. 142. 1009. Ἔγκληρον] ἢ ἁπλῶς πολλὰ κτήματα ἔχουσαν, ἢ ἀντὶ τοῦ ἐπίκληρον, ἤτοι μονογενῆ

μάλιστα μήτε προβάλλειν αἰσχρὰ, μήτ' ἀνθυπουργεῖν τοῖς προβάλλουσι ταῦτα· ἴσθι γάρ με, ὦ πάτερ, οὐκ ἐμπαίζοντα φίλοις, ἀλλ' ὁ αὐτὸς ἀεὶ εἰμὶ τοῖς αὐτοῖς καὶ παροῦσι καὶ μὴ παροῦσιν· ἑνός τε ἄγευστος καὶ ἄπειρος ὅλως, ᾧ οἴει μάλιστα ἤδη με ἔνοχον ἔχειν· ἴσθι γὰρ, ὡς μέχρις ἄρτι γυναικὸς μηδόλως ἡψάμην· οὐδέ τοὔργον εἶδον τοῦτ' ὀφθαλμοῖς, παρ' ὅσον ἀκούω λόγῳ, καὶ ἐν βίβλοις ἀναγινώσκω, καίτοι κἀνταῦθα ἐν παρέργῳ διέρχομαι, ἵνα μήτ' ἐν διανοίᾳ κιβδηλεύσω τὴν παρθενίαν- εἰ δὲ τοῦτ' ἄπιστόν σοι εἶναι δοκεῖ, δεῖξον αὐτὸς, ὦ πάτερ, ὅτῳ δήποτε τρόπῳ διέφθαρμαι· πότερον, ὅτι κάλλει ἥδε ὑπερέβαλε πάσας; ἢ κληρονόμον γήμας, ἤλπισα διάδοχος ἔσεσθαι τῶν πραγμάτων; μάταιος ἄρ' ἦν ἐγὼ, καὶ ὅλως ἔξω φρενῶν· ἀλλ' ἡδὺ μοναρχία; ἥκιστα τοῖς γε σώφροσιν ἡμῖν τοῦτο γίγνεται· περὶ δὲ τῶν ἀφρόνων, οἷς πόθος ἐστὶ μοναρχεῖν, οὐδεὶς λόγος· ἐμοὶ δὲ εἴη ἐν μὲν ἀγῶσι τοῖς τῶν Ἑλλήνων νικᾷν τὰ πρῶτα· ἐν δὲ τῇ πόλει τὰ δεύτερα ἔχοντα, συνευτυχεῖν τοῖς ἀρίστοις τῶν φίλων· ἐν γὰρ τούτῳ ἔμοιγε τὸ εὐδαιμονεῖν, ἔνθα πᾶς κίνδυνος ἀπὼν, μᾶλλον τῆς τυραννίδος τέρπει· ἓν δ' ἔθ' ὑπόλοιπόν μοι λέγειν· εἰ γὰρ ἦν μοι μάρτυρα ἔχειν, ὦ πάτερ, τῶν ἐμῶν

---

οὖσαν καὶ κληρονομοῦσαν τὴν πατρῴαν οὐσίαν· λέγει δὲ ταῦθ' ὡς πρὸς τὴν Ἀμαζόνα, μὴ οὖσαν γνησίαν. 1010. Μὲν οὖν φρενῶν] μήτι γραπτέον Εὖ. φρονῶν; ἐν ἄλλοις δὲ κεῖται Ἦν. 1018. Πράσσειν τε γὰρ] ἐν ἄλλοις πράσσειν τε εὖ. 1020. Μάρτυς] τῶν πεπραγμένων· ἐννοεῖ δὲ τὴν γραῦν, ὡς εἰ ἔλεγεν, εἰ μὲν ἐβούλετό μοι μαρτυρεῖν τὸ γραΐδιον ἐπὶ ζώσης

Καὶ τῆσδ' ὁρώσης φέγγος, ἠγωνιζόμην,
Ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών.
Νῦν δ' Ὅρκιόν σοι Ζῆνα καὶ πέδον χθονὸς
Ὄμνυμι, τῶν σῶν μήποθ' ἅψασθαι γάμων,
Μηδ' ἂν θελῆσαι, μηδ' ἂν ἔννοιαν λαβεῖν.
Ἦ τἄρ ὀλοίμην ἀκλεὴς, ἀνώνυμος,
Ἄπολις, ἄοικος, φυγὰς ἀλητεύων χθόνα,
Καὶ μήτε πόντος, μήτε γῆ δέξαιτό μου
Σάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
Εἰ δ' ἥδε δειμαίνουσ', ἀπώλεσεν βίον,
Οὐκ οἶδ'· ἐμοὶ γὰρ οὐ θέμις λέγειν πέρα.
Ἐσωφρόνησεν, οὐκ ἔχουσα σωφρονεῖν,
Ἡμεῖς δ' ἔχοντες, οὐ καλῶς ἐχρώμεθα.

ΧΟ Ἀρκοῦσαν εἶπας αἰτίας ἀποστροφὴν,
Ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν θεῶν.

ΘΗ. Ἆρ' οὐκ ἐπῳδὸς, οὐ γόης πέφυχ' ὅδε,
Ὃς τὴν ἐμὴν πέποιθεν εὐοργησίᾳ
Ψυχὴν κρατήσειν, τὸν τεκόντ' ἀτιμάσας;

ΙΠ. Καὶ σοῦ γε κάρτα ταῦτα θαυμάζω, πάτερ.
Εἰ γὰρ σὺ μὲν παῖς ἦσθ', ἐγὼ δὲ σὸς πατὴρ,
Ἔκτεινά τοι σ' ἂν, κοὐ φυγαῖς ἐζημίουν,
Εἴπερ γυναικὸς ἠξίους γ' ἐμῆς θιγεῖν.

ΘΗ. Ὡς ἄξιον τόδ' εἶπας· οὐχ οὕτω θανεῖν,
Ὥσπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον.

---

καὶ ἐκείνης, εἶδες ἂν τὴν ἐμὴν μὲν ἀθωότητα, ταύτης δὲ τὴν κακίαν. 1032. Ἐσωφρόνησε] τοῦτο δὲ καθ' ἑαυτὸν δοκεῖ λέγειν μεταστάς. λογιζόμενος καθ' ἑαυτόν φησι· πῶς ἀνέστραπται ἡ ἔννοια αὕτη· ἐκείνη μὲν, μὴ ἔχουσα σωφρονεῖν, ἐφύλαξε τοῦτο· ἐγὼ δὲ ὁ καὶ δυνάμενος καὶ λεγόμενος σωφρονεῖν, διέφθειρα τοῦτο· ὦ τῆς ἐναλλαγῆς τῶν πραγμάτων, καὶ τῆς τῶν ἀνθρώπων

ἀποῤῥήτων, οἷός εἰμι ἐγὼ αὐτὸς, καὶ εἰ πρὸς ζῶσαν ἠγωνιζόμην, ἔργῳ ἂν ἐξετάσας, τοὺς κακοὺς διεγίνωσκες· νῦν δὲ μὴ ἐξὸν τοῦτο, ὄμνυμί σοι Δία τὸν ὅρκιον καὶ γαῖαν αὐτὴν, ἦ μὴν μηδέποτ' ἐξυβρίσαι σε ταῦτα, μήτε κατ' ἐπίνοιαν ἐνδοιασθῆναί γε πώποτε· εἰ δὲ μὴ, ἀπολοίμην ἀκλεὴς, ἀνώνυμος, ἄπολις, ἄοικος, φυγὰς ἐκ γῆς εἰς γῆν μεταβαίνων ἀλήτης· καὶ μήτε θάλαττα, μήτ' ἤπειρος δέξαιτό μου τὸ σῶμα ἀποθανόντος, εἰ ἐγὼ τοιούτῳ τυγχάνω περιπεπτωκὼς ἀτοπήματι. εἰ δὲ δέος τι ἐξεβίασε τήνδε ἀπαλλαγῆναι οὕτω τοῦ βίου, ἐγὼ μὲν οὐκ οἶδα· οὐ γὰρ θέμις ἔμοιγε περαιτέρω τούτων ἐκβῆναι. Ἐκείνη μὲν μὴ ἔχουσα σωφρονεῖν, ἐσωφρόνησεν· ἡμεῖς δ' ἔχοντες τοῦτο, οὐ καλῶς ἐχρησάμεθα.

ΧΟ. Ἱκανῶς ἀπολύει σε τῆς αἰτίας τὸ τοσούτους καὶ τοιούτους ὅρκους, τὴν μεγίστην πίστιν τῶν θεῶν, παρασχεῖν.

ΘΗ. Ἆρ' οὐκ ἀπατεὼν καὶ γόης οὗτός ἐστιν· ὃς τοιαῦτα πράξας πρὸς ὕβριν τοῦ πατρὸς, εὐλογίᾳ καὶ ἐπιεικείᾳ ᾠήθη μὲ φενακίσειν;

ΙΠ. Ἀλλ' ἔγωγε πάλαι θαυμάζω σου, ὦ πάτερ, τί δήποτε φυγῇ ζημιῶσαί με βούλει, καὶ οὐκ ἀποκτείνεις; ἐγὼ γὰρ εἰ πατήρ σου ἦν, καὶ ᾐσθόμην σε εἰς τὴν ἐμὴν γυναῖκα ἐξυβρικότα, ἔπραξ' ἂν τοῦτ', οὐκ ἐκεῖνο.

ΘΗ. Σὺ μὲν ὡς ἄξια σεαυτοῦ φής· ἀλλ' οὐκ ἀποθανῇ παρ' ἐμοῦ, ὥσπερ σεαυτῷ τοῦτον ἔθηκας νόμον· οἱ γὰρ συ-

---

ἀπάτης· ἐν εἰρωνείᾳ δὲ προενεκτέον, καὶ ὡς ἀπὸ τοῦ Θησέως. ἢ οὕτως· ἐκείνη μὲν μὴ ἔχουσα σωφρονεῖν, φρονίμως ἐσώθη, ἀποθανοῦσα· ἐγὼ δὲ δυνάμενος τοῦτο, πρὸς ζημίαν ἔδοξα χρήσασθαι. 1037. Εὐοργησίᾳ] διὰ πρᾳότητος καὶ ἐπιεικείας· ἐν ἄλλοις δὲ κεῖται, εὐορκησίᾳ, οἷον εὐπροσώποις ὅρκοις] 1041. Ἔκτεινά σε] τῷ πολλῷ νικώμενος πάθει, ταῦτα λέγει

Ταχὺς γὰρ ᾅδης ῥᾷστος ἀνδρὶ δυστυχεῖ.
Ἀλλ' ἐκ πατρῴας φυγὰς ἀλητεύων χθονὸς,
Ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον·
Μισθὸς γάρ ἐστιν οὗτος ἀνδρὶ δυσσεβεῖ.

ΙΠ. Οἴ μοι, τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
Δέξῃ καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾷς χθονός;

ΘΗ. Πέραν γε πόντου τερμόνων τ' Ἀτλαντικῶν,
Εἴπως δυναίμην, ὥς σὸν ἐχθαίρω κάρα.

ΙΠ. Οὐδ' ὅρκον, οὐδὲ πίστιν, οὐδὲ μάντεων
Φήμας ἐλέγξας, ἄκριτον ἐκβαλεῖς με γῆς;

ΘΗ. Ἡ δέλτος ἥδε, κλῆρον οὐ δεδεγμένη,
Κατηγορεῖ σου πιστά· τοὺς δ' ὑπὲρ κάρα
Φοιτῶντας ὄρνις πόλλ' ἐγὼ χαίρειν λέγω.

ΙΠ. Ὦ θεοὶ, τί δῆτα τοὐμὸν οὐ λύσω στόμα,
Ὅςτις γ' ὑφ' ὑμῶν, οὓς σέβω, διόλλυμαι;
Οὐ δῆτα· πάντως οὐ πίθοιμ' ἂν, οὕς με δεῖ·
Μάτην δ' ἂν ὅρκους, συγχέαιμ', οὓς ὤμοσα·

ΘΗ. Οἴ μοι· τὸ σεμνὸν ὥς μ' ἀποκτείνει τὸ σόν.
Οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;

ΙΠ. Ποῖ δῆθ' ὁ τλήμων τρέψομαι; τίνος ξένων
Δόμους ἔσειμι, τῇδ' ἐπ' αἰτίᾳ φυγών;

---

πρὸς ἀπολογίαν, μέγα κακὸν τὴν μοιχίαν ποιῶν. 1049. Μηνυτὴν χρόνον] ὡς εἰ ἔλεγεν, ἀνάβαλε τὸν χρόνον τῆς φυγῆς, ἵνα μάθῃς παρ' αὐτοῦ τἀληθές. 1055. Ἡ δέλτος ἥδε κλῆρον οὐ δεδεγμένη] εἰώθασιν οἱ μάντεις ἀπὸ σημείων τινῶν δεδομένων προφητεύειν τὰ μέλλοντα. τὰ δὲ σημεῖα ταῦτα ὠνόμαζον κλήρους. καὶ πρὸς τὸ εὐμνημόνευτα εἶναι ἔγραφον ταῦτα ἐν δέλτοις· ἀλλ' ἡ

νειδότες ἑαυτοῖς ἁμαρτόντες, ἡδέως προσφεύγουσιν εἰς τὸν Ἅδην· ἀλλ' ἐπὶ τῆς ἀλλοδαπῆς φυγὰς πλανηθήσῃ μακρὰν τῆς πατρίδος· οὗτος γὰρ μισθὸς ἄξιος ἀνδρὶ ἀνοσίῳ.

ΙΠ. Οἴμοι, τί δράσεις; οὐκ ἀναβαλεῖς μικρὸν, ὅπως ὁ χρόνος αὐτὸς ἀξιόχρεώς σοι ἐξηγητὴς τοῦ πράγματος γένηται, ἀλλ' οὕτως ἄκριτον ἐξελάσεις με τῆς πατρίδος;

ΘΗ. Οὐδαμῶς· ἀλλ' εἰ ἐδυναίμην καὶ πέραν θαλάσσης, καὶ τῶν ὅρων ἔξω τῶν Ἀτλαντικῶν ἐφυγάδευσα ἄν σε· τοσαύτη γάρ μοι πρὸς σὲ ἐνέφυ ἀπέχθεια.

ΙΠ. Τοὺς δ' ὅρκους, ὦ πάτερ, καὶ τὴν πίστιν τῶν θεῶν, ἢ τὰς τῶν μάντεων φήμας, ποῦ θέμενος ἐν ὑστέρῳ, ἀνεξέλεκτον ἐκβαλεῖς με;

ΘΗ. Ἡ δέλτος ἥδε, κρείττων οὖσα μαντείας, σαφῶς σου κατηγορεῖ· τοὺς δ' ὑπὲρ τῆς κεφαλῆς περιϊπταμένους οἰωνοὺς πολλὰ χαίρειν κελεύω.

ΙΠ. Ὦ θεοὶ, τί μοι λοιπὸν πρὸς σωτηρίαν; πότερον δεῖ, ἀπολεσθῆναί με σεβόμενον ὑμᾶς, ἢ διασωθῆναι ἐκφήναντα τὰ ἀπόῤῥητα; ἄμεινόν γε σιγᾶν· πρὸς γὰρ τῷ μηδὲν ἂν κατορθῶσαι, καὶ τοὺς ὅρκους μάτην, οὓς ὤμοσα, παραβήσομαι.

ΘΗ. Ὢ τῆς ἐμῆς δυςυχίας, ὅπως τὸ σεμνολόγημ' ἀπάγχει με τούτου· οὐκ ἐκποδὼν εἶ ὡς τάχις' ἐντεῦθεν;

ΙΠ. Καὶ ποῖ δήποτ' ἐκπέμπεις μ', ὦ πάτερ; πρὸς τίνας ξένους; ποῖ τράπωμαι, ἐπὶ τοιαύτῃ φεύγων αἰτίᾳ;

---

παροῦσα δέλτος κατηγορεῖ σου, φησὶ, καὶ μὴ δεξαμένη τοιοῦτον κλῆρον καὶ σημεῖον· τοιοῦτον δὲ καὶ τὸ ἐν Φοινίσσαις ςίχ. 838. καὶ ἑξῆς.

ω Κλήρους τ' ἐμοὶ φύλασσε παρθένῳ χερί.

ΘΗ. Ὅστις γυναικῶν λυμεῶνας ἥδεται
Ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.
ΙΠ. Αἶ, αἶ· πρὸς ἧπαρ δακρύων τ' ἐγγὺς τόδε,
Εἰ δὴ κακός τε φαίνομαι δοκῶ τέ σοι.
ΘΗ. Τότε στενάζειν καὶ προγιγνώσκειν σ' ἐχρῆν,
Ὅτ' ἐς πατρῴαν ἄλοχον ὑϐρίζειν ἔτλης.
ΙΠ. Ὦ δώματ', εἴθε φθέγμα γηρύσαισθέ μοι,
Καὶ μαρτυρήσαιτ', εἰ κακὸς πέφυκ' ἀνήρ.
ΘΗ. Ἐς τοὺς ἀφώνους μάρτυρας φεύγεις; σαφῶς
Τόδ' ἔργον οὐ λέγον σε μηνύει κακόν.
ΙΠ. Φεῦ·
Εἴθ' ἦν ἐμαυτὸν προσϐλέπειν ἐναντίον
Στάνθ', ὡς ἐδάκρυσ', οἷα πάσχομεν κακά.
ΘΗ. Πολλῷ γε μᾶλλον σαυτὸν ἤσκησας σέϐειν,
Ἢ τοὺς τεκόντας ὅσια δρᾷν, δίκαιος ὤν.
ΙΠ. Ὦ δυστάλαινα μῆτερ, ὦ πικραὶ γοναί!
Μηδείς ποτ' εἴη τῶν ἐμῶν φίλων νόθος.
ΘΗ. Οὐχ ἕλξετ' αὐτὸν, δμῶες; οὐκ ἀκούετε
Πάλαι ξενοῦσθαι τόνδε προὐννέποντά με;
ΙΠ. Κλάων τις αὐτὸν ἆρ' ἐμοῦ γε θίξεται.
Σὺ δ' αὐτὸς, εἴ σοι θυμὸς, ἐξώθει χθονός.

---

1075. Τόδ' ἔργον] πότερον, τὸ ἐπικαλεῖσθαι τὰ ἄφωνα, ἢ τὸ προκείμενον κρεμασθὲν σῶμα; ἔοικε μᾶλλον τὸ δεύτερον. 1077. Εἴθε ἦν] ἐκφέρεται ὑπὸ τοῦ πάθους, ὥστε εὔχεται ἐξελθεῖν ἑαυτοῦ, καὶ στάντα ἐναντίον, προσειδεῖν τὸ ἑαυτοῦ πρόσωπον, ἐν οἷς γέγονεν κακοῖς, ἐπειδὴ ὁ πατὴρ, οὐ βλέπει αὐτόν· τὴν αὐτὴν ἔννοιαν περιέχει καὶ τὸ ἐν Ἑκάϐῃ στιχ. 790.

» Οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς,
» Ἰδοῦ με, κἀνάθρησον, οἷ' ἔχω κακά.

ΘΗ. Ὃς ἥδεται δεχόμενος παρ᾽ ἑαυτῷ τοιούτους γυναικῶν λυμεῶνας καὶ κακῶν συγκομιστὰς, οὗτος ὑποδέξεταί γε καὶ σὲ παρ᾽ ἑαυτῷ καταλύσαι.

ΙΠ. Αἶ, αἶ· πρὸς τὸ ἧπαρ, πάτερ, τοῦτο χωρεῖ, καὶ δακρύων ἐστὶ μεστὸν, κακόν τε φαίνεσθαι, καὶ δοκεῖν σοι τοιοῦτον εἶναι.

ΘΗ. Νῦν στενάζεις; τότ᾽ ἐχρῆν προσκοπεῖσθαι, ὅτ᾽ ἐτόλμας εἰς τὴν ἐμὴν ἐξυβρίζειν γυναῖκα.

ΙΠ. Ὦ δώματα, εἴθε μοι φωνὴν προσλαβόντα, μαρτυρήσαι τέ μοι, εἰ κακὸς ἐγενόμην ἀνήρ.

ΘΗ. Πρὸς τἄφωνα καταφεύγεις; τὸ ἔργον τοῦτο καὶ σιγῶν, σαφῶς καταμαρτυρεῖ σου.

ΙΠ. Ὦ πῶς ἂν εἴη μοι, ἐκτὸς ἐμαυτοῦ γεγονότα, προσβλέπειν ἐμαυτὸν ἐναντίον, ἐν οἵαις εἰμὶ συμφοραῖς.

ΘΗ. Δέον γὰρ σέβειν σὲ τοὺς τεκόντας μᾶλλον, ἢ σεαυτὸν, εἴπερ ἦς δίκαιος, σὺ ἔπραξας τοὐναντίον.

ΙΠ. Ὦ δυστάλαινα, μῆτερ, ὦ πικραὶ γοναί· μηδεὶς τῶν ἐμῶν φίλων γένοιτό ποτε νόθος.

ΘΗ. Οὐχ ἕλξετ᾽ αὐτὸν ὑμεῖς οἱ θεράποντες ἔξω; ἢ οὐκ ἠκούσατέ μου πάλαι κελεύοντος αὐτὸν ἐξελασθῆναι;

ΙΠ. Ἀλλ᾽ ὁ πρῶτος ἀψάμενός μου οἰμώξεται ψαύσας· σὺ δ᾽ αὐτὸς, ὦ πάτερ, εἰ βούλει, τὸν σαυτοῦ ἐξώθει παῖδα.

---

1079. Πολλῷ γε μᾶλλον] ἐπειδὴ Ἱππόλυτος δεινοπαθεῖ πρὸς τὴν παροῦσαν συμφορὰν, ὁ πατὴρ ἐπιφέρει, οἷον ἐρηδόμενος, τοιαῦτα πάσχεις, ὅτι ἐμελέτησας μᾶλλον ποιῆσαι σεμνὸν σεαυτον, ἢ τιμᾷν τοὺς τεκόντας, καὶ ταῦτα κομπολογῶν δίκαιος εἶναι· σκοτεινὸν δ᾽ οὖν τοῦτ᾽ ἐστι. 1085. Κλαίων τις] οὐ δέχεται ὑπὸ δούλων τοῦτο παθεῖν, ἐλεύθερος ὤν· διὸ ἀπειλήσας ὁ πατὴρ,

ΘΗ. Δράσω τάδ', εἰ μὴ τοῖς ἐμοῖς πείσῃ λόγοις·
Οὐ γάρ τις οἶκτος σῆς μ' ὑπέρχεται φυγῆς.
ΙΠ. Ἄραρεν, ὡς ἔοικεν· ὦ τάλας ἐγώ!
Ὡς οἶδα μὲν ταῦτ', οἶδα δ' οὐχ', ὅπως φράσω.
Ὦ φιλτάτη μοι δαιμόνων, Λητοῦς κόρη,
Σύνθακε, συγκύναγε, φευξούμεσθα δὴ
Κλεινὰς Ἀθήνας· ἀλλὰ χαιρέτω πόλις
Καὶ γαῖ' Ἐρεχθέως· ὦ πέδον Τροιζήνιον,
Ὡς ἐγκαθηβᾷν πόλλ' ἔχεις εὐδαίμονα,
Χαῖρ'· ὕστατον γάρ σ' εἰσορῶν προσφθέγγομαι.
Ἴτ', ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
Προσείπαθ' ἡμᾶς καὶ προπέμψατε χθονός·
Ὡς οὔ ποτ' ἄλλον ἄνδρα σωφρονέστερον
Ὄψεσθε, καὶ μὴ ταῦτ' ἐμῷ δοκεῖ πατρί.
ΧΟ. Ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ', ὅταν φρένας ἔλθῃ, (Στ. ά.)
Λύπας παραιρεῖ·
Ξύνεσιν δέ τιν' ἐλπίδι κεύθων,
Λείπομαι, ἔν τε τύχαις θνατῶν καὶ ἐν ἔργμασι λεύσσων.
Ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται,
Μετὰ δ' ἵσταται ἀνδράσιν αἰὼν
Πολυπλάνητος αἰεί.
Εἴθε μοι εὐξαμένᾳ θεόθεν τάδε μοῖρα παράσχοι, (Ἀντ. ά.)
Τύχαν μετ' ὄλβου
Καὶ ἀκήρατον ἄλγεσι θυμόν·
Δόξα δὲ μήτ' ἀτρεκὴς, μήτ' αὖ παράσημος ἐνείη·

---

..τι δράσει τοῦτο, ἐξέρχεται τῆς ὀρχήστρας, ὡς δράσων τοῦτο. 1101. Με.

ΘΗ. Ὄψει τοῦτ' αὐτίκα δὴ μάλα, εἰ μή σε λόγος πείθει· οὐδὲ γὰρ οἰκτείρω σε τῆς φυγῆς.

ΙΠ. Ἄραρεν ἄρα· δέδοκται ταῦτ', ὦ τάλας ἐγὼ, ὃς οἶδα μὲν πάντα, οὐκ οἶδα δ' ὅπως ἐκφράσω· ὦ φιλτάτη θεῶν Ἄρτεμις, κόρη Λητοῦς, σύνεδρε, καὶ συγκυνηγὲ, χαῖρε σύγε· ἡμεῖς δὲ τὰς κλεινὰς καταλιπόντες Ἀθήνας, φευξούμεθα· χαιρέτω πόλις καὶ ἡ γῆ Ἐρεχθέως· ὦ πεδίον Τροιζῆνος, ὡς εὐτυχὲς εἶ πρὸς εὐδαιμονίαν τοῖς νέοις, χαῖρέ μοι· τοῦτο γὰρ ὕστατόν σοι πρόσφεγμα παρ' ἐμοῦ· δεῦτ', ὦ νέοι, καὶ ὁμήλικες τῆσδε τῆς γῆς Τροιζηνίας ἴτε, προπέμψαθ' ἡμᾶς· οὐ γὰρ ἐμοῦ σωφρονέστερον ἄνδρ' ἴδοιτ' ἂν, κἂν τῷ ἐμῷ πατρὶ μὴ δοκῇ ταῦτα.

ΧΟ. Ἐπειδὰν μὲν τὴν τῶν θεῶν λογίζωμαι πρόνοιαν, συνορῶ ἐμαυτὸν πάσης λύπης ἀπαλλαττόμενον, ἀλλ' ἐν τῷ πεποιθέναι ταῦθ' οὕτως ἔχειν, στρέψας πάλιν τὸ ὄμμα πρὸς τὰς τῶν ἀνθρώπων τύχας, εὐθὺς τῆς ἐλπίδος ἐκείνης ἐκπίπτω· οὐδὲν γὰρ ὁρῶ ἐν αὐτοῖς, ἣ ἄλλῃ ἄλλα μάτην φερόμενα· ὁ γὰρ βίος τῶν ἀνθρώπων ἐν ἀντιθέτῳ μεταβολῇ ἀεὶ ταλαντεύεται.

Γένοιτο δέ μοι θεόθεν τύχης μὲν τυχεῖν, ὅσον ἐξαρκεῖν πρὸς εὐδαιμονίαν, ψυχῆς δὲ πάθεσιν ἀκυμάντου, δόξης δὲ μήτ' ἄκρας, μήτε κιβδήλου πάνυ καὶ ἀδοκί-

---

δήματα] ὅταν μὲν φιλοσοφῶ, φησὶ, περὶ θεῶν, εὑρίσκω τὴν πρόνοιαν αὐτῶν διοίκουσαν μέχρι τῶν ἐσχάτων, κἀντεῦθεν ἀφαιροῦμαι πᾶσαν λύπην· ὅταν ὅμως βλέπω τὰς τύχας τῶν ἀνθρώπων (ὥσπερ καὶ τὴν τοῦ Ἱππολύτου) ἄλ-

Ῥάδια δ' ἤθεα τὸν αὔριον
Μεταϐαλλομένα χρόνον ἀεὶ
Βίον συνευτυχοίην.
Οὐκέτι γὰρ καθαρὰν φρέν' ἔχω, παρὰ δ' ἐλπίδα λεύσσω·
Ἐπεὶ τὸν Ἑλλανίας (Στρ. β'.)
Φανερώτατον ἀστέρ' Ἀθάνας
Εἴδομεν, εἴδομεν ἐκ πατρὸς ὀργᾶς
Ἄλλαν ἐπ' αἶαν ἱέμενον·
Ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς,
Δρυμός τ' ὄρειος, ὅθι κυνῶν
Ὠκυπόδων ἐπέϐας μετὰ θῆρας ἐναίρων
Δίκτυνναν ἀμφὶ σεμνάν.
Οὐκέτι συζυγίαν πώλων Ἐνετᾶν ἐπιϐάσῃ (Ἀντ. ϐ'.)
Τὸν ἀμφὶ Λίμνας τρόχον,
Κατέχων ποδὶ γυμνάδας ἵππους.
Μοῦσα δ' ἄϋπνος ὑπ' ἄντυγι χορδᾶν
Λήξει πατρῷον ἀνὰ δόμον·
Ἀστέφανοι δὲ κόρας ἀνάπαυλαι
Λατοῦς βαθεῖαν ἀνὰ χλόαν·
Νυμφιδία δ' ἀπόλωλε *** φυγᾷ σᾷ
Λέκτρων ἅμιλλα κούραις.

---

λως φερομένας, ἀπώλεσα τὴν ἐκ τῆς προνοίας ἐλπίδα. 1112. Μεταϐαλλομένα] μεταϐάλλουσα ἐμαυτὴν αὔριον ῥαδίως εἰς τὸ συμπίπτον ἦθος, εὐτυχοίην· βούλεται δὲ εἰπεῖν. ὡς ὁ μέσος καὶ μέτριος βίος ῥαδίως συσχηματιζόμενος ταῖς ἐκ τοῦ χρόνου μεταϐολαῖς, ἐλάχιστον πάσχει· τὸ δὲ ἄκρον μέγαν παρέ-

μου· οὕτω μεταβαλλόμενον ἀεὶ πρὸς τὰ συμβαίνοντα εὐμαρῶς τὸν ἅπαντα χρόνον διαβιῶναι μετ' ἀλυπίας.

Ἄλλως γὰρ οὐκέθ' ὁρῶ τήνδε μοι τὴν ἡδονὴν ἐσομένην· ἐπειδὴ παρὰ πᾶσαν ἐλπίδα εἴδομεν αὐτοῖς ὀφθαλμοῖς τὸν φαεινὸν ἀςέρα τῶν Ἀθηνῶν ἤδη ὀργῇ πατρὸς φυγάδα γεγενημένον· ὦ ψάμαθοι τῆς κατὰ τὴν Τροιζῆνα ἀκτῆς, καὶ δρυμοὶ τῶν ὀρέων, ἔνθ' αὐτὸς ἀνέβης πολλάκις μετὰ τῶν ὠκυπόδων κυνῶν τῆς θεᾶς, τοὺς ἐν τούτοις θῆρας μετ' ἐκείνης ἐξελαύνων ἐκεῖθεν.

Οὐκέτι διφρεύσεις ἐν τῷ περὶ τὴν Λίμνην σταδίῳ, Ἐνέτας γυμνάζων ἵππους· καὶ ἡ ἄϋπνος μοῦσα ἐν τῷ πατρῴῳ οἴκῳ παύσεται ἀπὸ τῶν τῆς κιθάρας χορδῶν φθεγγομένη· αἵ τε ἐν βαθείᾳ τῇ ὕλῃ τῆς Ἀρτέμιδος διατριβαὶ τῶν συνήθων στεφάνων στερήσονται· καὶ ἡ σὴ φυγὴ ἀφεῖλεν ὅλως τὴν περὶ τὸν γάμον ἅμιλλαν τῶν παρθένων.

---

ει τὸν ψόφον πεσόν· οἷον νῦν τὸ τοῦ Ἱππολύτου. 1124. Ἐπέβας μέτα] ἐν ἄλλοις, ἐπέβας θεᾶς μέτα. ἡ δὲ συνθήκη οὕτως· ὅτι ἐπέβας μετὰ κυνῶν ὠκυπόδων, ἐναίρων (φονεύων) θῆρας, ἀμφὶ Δίκτυνναν· ὅ ἐστιν, ἀκολουθῶν τῇ Ἀρτέμιδι. 1128. Κατέχων ποδὶ] περιφραστικῶς τοῦθ', ὡς πεποῦ δοκοῦντος τοῦ, ποδί· τὸ δ' ὅλον οὕτως. Οὐκέτ' ἐπιβήσῃ συζυγίαν πώλων Ἐνετῶν ἀμφὶ τὸν τρόχον (στάδιον) τῆς Λίμας (ἴδε ἀνωτέρω. στίχ. 230.) κατέχων (τῷ σαυτοῦ) ποδὶ γυμνάδας ἵππους. Παράβαλε δὲ ταῦτα τοῖς ἀνωτέρω ςίχ. 110. 1129. Ἀντυγι] ὑπὸ τῇ περιφερείᾳ τῆς λύρας· τὸ δὲ Χορδᾶν, ἄμεινον συντάττειν κτητικῶς πρὸς τὸ Μοῦσαν. 1134. Ἅμιλλα] νυμφιδία ἐπιθετι-

Ἐγὼ δὲ σᾷ δυστυχίᾳ (ἐπῳδός.)
Δάκρυσι διοίσω
Πότμον ἄποτμον· ὦ τάλαινα
Μᾶτερ, ἔτεκες ἀνόνατα· φεῦ,
Μανίω θεοῖσιν·
Ἰὼ ἰὼ συζυγίαι Χάριτες,
Τί τὸν τάλαν' ἐκ πατρῴας γᾶς
Οὐδὲν ἄτας αἴτιον
Πέμπετε τῶνδ' ἀπ' οἴκων.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΑΓΓΕΛΟΣ, ΘΗΣΕΥΣ, ΑΡΤΕΜΙΣ, ΙΠΠΟΛΥΤΟΣ, ΧΟΡΟΣ.

ΧΟ. Καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
Σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.
ΑΓ. Ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
Εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε, μοι
Σημήνατ'· ἆρα τῶνδε δωμάτων ἔσω;
ΧΟ. Ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.
ΑΓ. Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον
Σοὶ καὶ πολίταις, οἵ τ' Ἀθηναίων πόλιν
Ναίουσι καὶ γῆς τέρμονας Τροιζηνίας.
ΘΗ. Τί δ' ἐστί; μῶν τις συμφορὰ νεωτέρα
Δισσὰς κατείληφ' ἀστυγείτονας πόλεις;
ΑΓ. Ἱππόλυτος οὐκ ἔτ' ἐστὶν, ὡς εἰπεῖν ἔπος·
Δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.

Ἐγὼ δὲ δάκρυα ἀπὸ τῶν ὀφθαλμῶν τῆς σῆς καταλείβω συμφορᾶς, τὴν τύχην σου ὀδυρόμενος· ὦ τάλαινα μῆτερ, ὡς ἀνόνητα ἔτεκες· φεῦ, μέμφομαι θεούς· ἰὼ, ἰὼ χάριτες αἱ τῆς ἑνώσεως τῶν καλῶν τὴν ἐπιμέλειαν ἔχουσαι, τί ποθ' οὕτω τὸν μηδενὸς ἐπαίτιον ὄντα τῆς πατρῴας διαζεύγνυτε γαίας;

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΑΓΓΕΛΟΣ, ΘΗΣΕΥΣ, ΑΡΤΕΜΙΣ, ΙΠΠΟΛΥΤΟΣ, ΧΟΡΟΣ.

ΧΟ. Καὶ μὴν Ἱππολύτου θεράποντ' ἐκεινονὶ ὁρῶ ὡς μάλιςα σκυθρωπὸν σπεύδονθ' ὧδε.

ΑΓ. Γυναῖκες, ποῖ ἂν ἐλθὼν εὕροιμι Θησέα τὸν κρατοῦντα τῆς χώρας τῆσδε; ἆρ' ἔνδον ἐστίν; εἴπατέ μοι εἰδυῖαι.

ΧΟ. Ἴδ' ἐκεῖνος ἤδη ἔξεισι τῆς οἰκίας.

ΑΓ. Θησεῦ, ἥκω σοι λόγον ἐρῶν, οἷον σοί τε καὶ πολίταις καὶ πᾶσιν Ἀθηναίοις καὶ Τροιζηνίοις ἄξιον ἀκοῦσαι.

ΘΗ. Τίς ἔσθ' ὁ λόγος οὗτος; μῶν συνέβη καινόν τι ταῖς πόλεσιν ἀμφοῖν;

ΑΓ. Ἱππόλυτος οὐκέτ' ἐστί σοι, ὡς εἰπεῖν, εἰ μὴ μικρὸν ἐμπνέων ἔτι.

---

κῶς· ἐν ἄλλοις Νυμφίδια λέχη φέρεται. 1137. Μανίω] μηνίω, χαλεπαίνω· πολὺ τὸ πάθος ὑπὲρ τοῦ Ἱππολύτου δεικνύει ἐνταῦθα ὁ Χορὸς, ὥστε καὶ πρὸς τὴν Πρόνοιαν μεμπτικῶς ἀποτείνεσθαι. 1138. Συζυγίαι Χάριτες] αἱ τὰ καλὰ

ΘΗ. Πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος,
Ὅτου κατῄσχυν' ἄλοχον, ὡς πατρὸς, βίᾳ;
ΑΓ. Οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος,
Ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ τῷ πατρὶ
Πόντου κρέοντι παιδὸς ἠράσω πέρι.
ΘΗ. Ὦ θεοὶ, Πόσειδόν θ', ὡς ἄρ' ἦσθ' ἐμὸς πατὴρ
Ὀρθῶς, ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
Πῶς καὶ διώλετ', εἰπέ· τῷ τρόπῳ Δίκης
Ἔπαισεν αὐτὸν ῥόπτρον, αἰσχύναντ' ἐμέ.
ΑΓ. Ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
Ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας
Κλᾴοντες. ἦλθε γάρ τις ἄγγελος λέγων,
Ὡς οὐκ ἔτ' ἐν γῇ τῇδ' ἀναστρέψοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
Ὁ δ' ἦλθε ταὐτὸ δακρύων φέρων μέλος
Ἡμῖν ἐπ' ἀκταῖς· μυρία δ' ὀπισθόπους
Φίλων ἅμ' ἔστειχ' ἡλίκων ὁμήγυρις.
Χρόνῳ δὲ δή ποτ' εἶπ', ἀπαλλαχθεὶς γόων·
Τί ταῦτ' ἀλύω; πειστέον πατρὸς λόγοις.
Ἐντείναθ' ἵππους ἅρμασι ζυγηφόρους,
Δμῶες· πόλις γὰρ οὐκ ἔτ' ἐστὶν ἥδε μοι,
Τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο,
Καὶ θᾶσσον, ἢ λέγοι τις, ἐξηρτυμένας
Πώλους παρ' αὐτὸν δεσπότην ἐστήσαμεν.
Μάρπτει δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,

---

καλῶς καὶ χαριέντως ζευγνῦσαι, τί ἀποπέμπετε. 1165. Ἐκτενίζομεν] ἴδε ἐν

ΘΗ. Πρὸς τοῦ παθὼν τοῦτο; μῶν τὴν γυναῖκά τινος, ὡς τὴν τοῦ πατρὸς κατήσχυνε βίᾳ;

ΑΓ. Οὔμενουν ἀλλ' ὑπὸ τοῦ ἰδίου ἀπώλετο ἅρματος, καὶ τῶν ἀρῶν, ἃς σὺ αὐτὸς πρὸς τοῦ σοῦ πατρὸς τοῦ κρατοῦντος θαλάσσης, ἠράσω αὐτῷ γενέσθαι.

ΘΗ. Ὦ θεοὶ, καὶ σὺ, ὦ Πόσειδον, ὡς ἄρ' ἐμὸς εἶ πατὴρ, κατὰ τρόπον τῆς ἐμῆς εὐχῆς ἐπακούσας· νῦν δ' εἴποις μοι ἂν, ὅτῳ διώλετο τρόπῳ, τῷ τῆς δίκης οὕτω καταραχθεὶς ῥοπάλῳ, ὡς ἐς τὴν ἐμὴν ἐξυβρίσας γυναῖκα.

ΑΓ. Ἐτυγχάνομεν ἡμεῖς ἐπὶ τῆς ἀκτῆς τοὺς ἵππους ψήχοντες ψήκτραις σὺν δάκρυσιν, ἀγγελθὲν ἡμῖν μηκέτ' ἂν Ἱππόλυτον ὧδε μεῖναι, φυγὴν πρὸς σοῦ ἤδη καταγνωσθέντα· ἐν δὲ τούτῳ ὁρῶμεν καὶ αὐτὸν τοῦτον ἐρχόμενον, ὑπὸ μυρίων μὲν περιεστειχισμένον φίλων, τὴν αὐτὴν δ' ἐκ τῶν δακρύων φήμην ἡμῖν, καθημένοις ἐπὶ τῶν ἀκτῶν, ἔργῳ ἐπιβεβαιοῦντα· χρόνῳ δ' ὕστερον ἀναλαβὼν ἑαυτὸν ἀπὸ τῶν θρήνων, ἔφη τοιάδε· Τί ποθ' οὕτως ἀλύω; πείθεσθαι δεῖ, οἷς ὁ πατὴρ κελεύει· ζεύξατέ μοι ὑμεῖς, ὦ οἰκέται, τοὺς ἵππους· ἔμοιγε γὰρ ἀπέγνωσται ὅλως τήνδε τὴν πόλιν οἰκεῖν τοῦ λοιποῦ. Ἐκ δὴ τούτου πᾶς ἔργου εἴχετο, καὶ δὴ θᾶσσον, ἢ λόγος, πάνθ' ἕτοιμα ἦν αὐτῷ παρ' ἡμῶν· ὁ δὲ λαβὼν τὰς ἡνίας ἀπὸ τῆς ἄντυγος, καὶ ἐπιβὰς τοῦ ὀχήματος,

---

Ἀρχ. ῆ. 1169. Δακρύων] πότερον, ὁ Ἱππόλυτος δακρύων, εἰς εὐθεῖαν, ἢ μέλος τῶν δακρύων; ἄμεινον τὸ δεύτερον, καί τοι καὶ τὸ πρῶτον κρατεῖ, ὡς ἀπὸ τῶν ἑπομένων· φησὶ γὰρ, ἀπαλλαχθεὶς γόων. 1179. Ἀπ' ἄντυγος] ἄντυξ, σιδήριον σφαιρικὸν πρὸς τῇ καθέδρα τοῦ ἡνιόχου ἐξέχον, ἐξ οὗ ἀρτῶσι τὰς ἡ-

Αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδας.
Καὶ πρῶτα μὲν θεοῖς εἶπ᾽, ἀναπτύξας χέρας,
Ζεῦ, μηκέτ᾽ εἴην, εἰ κακῶς πέφυκ᾽ ἀνήρ.
Αἴσθοιτο δ᾽, ἡμᾶς ὡς ἀτιμάζει, πατὴρ,
Ἤτοι θανόντας, ἢ φάος δεδορκότας.
Κἀν τῷδ᾽ ἐπῆγε κέντρον, ἐς χεῖρας λαβὼν,
Πώλοις ἁμαρτῇ· πρόσπολοι δ᾽ ὑφ᾽ ἅρματος
Πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ
Τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
Ἐπεὶ δ᾽ ἔρημον χῶρον εἰσεβάλλομεν,
Ἀκτή τις ἐστὶ τοὐπέκεινα τῆσδε γῆς,
Πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
Ἔνθεν τις ἠχὼ χθόνιος, ὡς βροντὴ Διὸς,
Βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
Ὀρθὸν δὲ κρᾶτ᾽ ἔστησαν, οὖς τ᾽ ἐς οὐρανὸν
Ἵπποι· παρ᾽ ἡμῖν δ᾽ ἦν φόβος νεανικὸς,
Πόθεν ποτ᾽ εἴη φθόγγος, ἐς δ᾽ ἁλιῤῥόθους
Ἀκτὰς ἀποβλέψαντες, ἱερὸν εἴδομεν
Κῦμ᾽ οὐρανῷ στηρίζον, ὥστ᾽ ἀφῃρέθη
Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν·
Ἔκρυπτε δ᾽ Ἰσθμὸν καὶ πέτραν Ἀσκληπιοῦ·
Κἄπειτ᾽ ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
Πολὺν καχλάζον ποντίῳ φυσήματι,
Χωρεῖ πρὸς ἀκτὰς, οὗ τέθριππος ἦν ὄχος.
Αὐτῷ δὲ σὺν κλύδωνι καὶ τρικυμίᾳ
Κῦμ᾽ ἐξέθηκε ταῦρον, ἄγριον τέρας,
Οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη,
Φρικῶδες ἀντεφθέγγετ᾽· εἰσορῶσι δὲ

ἀνατείνας τὰς χεῖρας πρὸς τοὺς θεοὺς, ἔφη τάδε· ὦ Ζεῦ, εἰ οἶσθά με κακὸν πεφυκότα, ποίησον μηκέτι με εἶναι· εἰ δὲ μὴ, αἰσθέσθαι τὸν πατέρα τὴν ἐμὴν ἀθωότητα, ἤτοι ζῶντος, ἢ τεθνεῶτος· ταῦτα δὲ ἅμα εἰπὼν, ἐμάσιξεν· ἡμεῖς δὲ παρειπόμεθα πεζῇ τῷ δεσπότῃ ἑκατέρωθεν πρὸς τοῖς χαλινοῖς, τὴν ἐπ᾽ Ἄργος καὶ Ἐπίδαυρον ἄγουσαν παραπορευόμενοι· ἐπεὶ δὲ εἰς ἐρημόν πῃ τῆσδε τῆς γῆς προσωτέρω πρὸς τῷ κόλπῳ ἐγενόμεθα τῷ Σαρωνικῷ, ἐνταῦθα ἠχός τις ἀπὸ τῆς ἀβύσσου, ὡς βροντὴ τοῦ Διὸς, ἠκούσθη, φρίκην ἡμῖν ἐμποιήσας, πρὸς ὃν οἱ ἵπποι ἄραντες τὰς κεφαλὰς, ἔστησαν τὰ ὦτα ὀρθά· καὶ ἡμεῖς ἀπλέτῳ κατεσχέθημεν φόβῳ, πόθεν ἡ τοιαύτη ἐξήει φωνή· στρέψαντες δὲ τὸ ὄμμα πρὸς τὴν ἀκτὴν, ὁρῶμεν τὸ κῦμα ἐς τοσοῦτον ἀρθὲν, ὥς᾽ οὐκέτι παρεῖχεν ἡμῖν τὰς καταντικρὺ ἀκτὰς τὰς τοῦ Σκείρωνος ὁρᾶν, ὡς αὐτάς τε ταύτας, καὶ τὸν Ἰσθμὸν, καὶ τὴν Πέτραν τοῦ Ἀσκληπιοῦ ἀποκρύπτον τῷ οἴδματι· οὕτω δὴ ἀνατυφωθὲν, καὶ ἅμα πολὺν ἀνακοχλάσαν ἀφρὸν, κατήραξε πνεύματος βίᾳ πρὸς τὰς ἀκτὰς, ἔνθα τὸ ὄχημα ἦν· ἐκ δὲ κλύδωνος πολλοῦ καὶ τρικυμίας ῥαγδαίας, ἐξέβρασε Ταῦρόν τινα, χαλεπὸν καὶ ἀποφώλεον τέρας, οὗ τῆς βοῆς πᾶσα ἡ γῆ πληρωθεῖσα, ἀντήχει φρικῶδές τι· τὸ δὲ θέαμα προσέπιπτε τοῖς ὀφθαλμοῖς

---

νίας τῶν ἵππων. 1180. Ἀρβύλαισιν] μέρος τῆς ἁμάξης ἡ ἀρβύλη, ἐνταῦθα, ἔνθα ἐρείδει τοὺς πόδας ὁ ἁρματηλάτης. 1199. Σκείρωνας ἀκτάς·] Σαρωνικὸς κόλπος ὁ μεταξὺ Μεγάρων καὶ Πελοποννήσου· ἀκτὰς δὲ τὰς Σκειρωνίδας φησὶ

Κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
Εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος·
Καὶ δεσπότης μὲν ἱππικοῖς ἐν ἤθεσι
Πολὺς ξυνοικῶν, ἥρπασ' ἡνίας χεροῖν,
Ἕλκει δὲ, κώπην ὥστε ναυβάτης ἀνὴρ,
Ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας·
Αἱ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς,
Βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς,
Οὔθ' ἱπποδέσμων, οὔτε κολλητῶν ὄχων
Μεταστρέφουσαι· κεἰ μὲν ἐς τὰ μαλθακὰ
Γαίας ἔχων οἴακας ἰθύνει δρόμον,
Προὐφαίνετ' εἰς τοὔμπισθεν, ὥστ' ἀναστρέφειν,
Ταῦρος, φόβῳ τέτρωρον ἐκμαίνων ὄχον·
Εἰ δ' ἐς πέτρας φέροιντο, μαργῶσαι φρένας,
Σιγῇ πελάζων ἄντυγι ξυνείπετο,
Ἐς τοῦθ', ἕως ἔσφηλε κἀνεχαίτισεν,
Ἁψῖδα πέτρῳ προσβαλὼν ὀχήματος.
Σύμφυρτα δ' ἦν ἅπαντα· σύριγγές τ' ἄνω
Τροχῶν ἐπήδων, ἀξόνων τ' ἐνήλατα.
Αὐτὸς δ' ὁ τλήμων, ἡνίαισιν ἐμπλακεὶς
Δεσμὸν δυσεξήνυστον, ἕλκεται δεθεὶς,
Σποδούμενος μὲν πρὸς πέτρας φίλον κάρα,
Θραύων δὲ σάρκας, δεινὰ δ' ἐξαυδῶν κλύειν,
Στῆτ', ὦ φάτναισι ταῖς ἐμαῖς τεθραμμέναι,

---

πέτρας. Ἴδε ἀνωτέρω. 976. 1217. Μεταστρέφουσαι] ἀντὶ τοῦ ἐπιστρεφόμεναι, φροντίζουσαι. 1220. Τέτρωρον] τετράορον, τὸ ὑπὸ τεσσάρων ἵππων (κυρίως δὲ ὑπὸ ὀρέων, ἡμιόνων) ἑλκόμενον ὄχημα. 1225. Σύριγγες καὶ ἐνήλατα]

κρεῖττον, ἢ βλέπειν· ἐντεῦθεν δεινὸς ἐμπίπτει φόβος ταῖς ἵπποις· καὶ ὁ δεσπότης λαβὼν εὐθὺς τὰς ἡνίας (ἦν γὰρ ἐθὰς ἐν τοῖς μάλιστα τῶν κατὰ τὸ ἱππεύειν ἀγώνων) καὶ ἐπαγαγὼν εἰς τοὔπισθεν ἑαυτὸν, ὥσπερ ναύτης ἀνέλκων τὴν κώπην, ἐπειρᾶτ' ἀντερείδων ἀναχαιτίζειν αὐτὰς τοῖς ἱμᾶσιν· αἱ δὲ ἐνδακοῦσαι καρτερῶς τὰς ἡνίας τοῖς γνάθοις, καὶ ὅλως ἀφηνιάσασαι, ἐφέροντο σὺν βίᾳ δρόμῳ, μήτε τῆς τοῦ ἡνιόχου ἰσχύος, μήτε χαλινῶν, μήτε μὴν αὐτοῦ ἐπιστρεφόμεναι τοῦ ὀχήματος. Εἰ μὲν οὖν διεύθυνεν αὐτὰς πρὸς τὰ ὁμαλὰ καὶ ἱππάσιμα, προτρέχων ὁ ταῦρος, ἐξεφόβει ἐκείνας, ὥστ' ἀναςρέφειν· εἰ δὲ πρὸς τὰ τραχέα καὶ ἀνώμαλα φέροιντο κατὰ πετρῶν, ἐκμανεῖσαι τῷ φόβῳ, παρείπετο κἀκεῖνος ἐχομένως τῆς ἄντυγος· καὶ τοῦθ' ἕως ὅτου σφήλας τὸ ὄχημα, κατήραξε τὴν ἀψῖδα πρός τινα τῶν πετρῶν· κἀν τούτῳ εἶδες ἄνω καὶ κάτω πάντα φερόμενα, σύριγγας τῶν τροχῶν ἐκπηδώσας, καὶ τὰ τῶν ἀξόνων ἐνήλατα ἄλλῃ ἄλλο ἀποσφενδονώμενα. Ἱππόλυτος δὲ ὁ τλήμων, ἐνειλιχθεὶς τοῖς ἱμᾶσιν ἀφύκτως, ἐπισύρεται ἐλεεινῶς, ὅποι τύχοι, τὴν μὲν κεφαλὴν ἀρασσόμενος πρὸς τὰς πέτρας, τὰς δὲ σάρκας σπαραττόμενος ἄλλως ἄλλῃ· ἐν δὲ τοιούτῳ ὢν, μόλις ἐξεφώνησε τάδε. Στῆτε ὑμεῖς αἱ ἵπποι, αἱ ἐν ταῖς ἐμαῖς ἀνατεθραμμέναι φάτναις, μή με ἀπο-

---

σύριγγες μὲν αἱ ὀπαὶ τῶν τροχῶν, δι' ὧν διέρχεται ὁ ἄξων· ἐνταῦθα δὲ αὐται αἱ κεφαλαὶ, εἴτ' οὖν ὀμφαλοὶ τῶν τροχῶν· ἐνήλατα δ' αὖ καὶ οἱ πασσαλίσκοι, δι' ὧν ὁ ἄξων συνέχει τοὺς τροχοὺς, ἵνα μὴ ἐξολισθήσαντες ἀνατραποῖεν. 1228. Δυσεξήνυσος] δυσεξέλικτος· παρὰ τὸ ἀνύττειν, ἀνυςὸς, ἠνυστὸς, δυσεξήνυςος.

Μή μ' ἐξαλείψητ'· ὦ πατρὸς τάλαιν' ἀρά!
Τίς ἄνδρ' ἄριστον βούλεται σῶσαι παρών;
Πολλοὶ δὲ βουληθέντες ὑστέρῳ ποδὶ
Ἐλειπόμεσθα· χῶ μὲν ἐκ δεσμῶν λυθεὶς
Τμητῶν ἱμάντων, οὐ κάτοιδ' ὅτῳ τρόπῳ,
Πίπτει, βραχὺν δὴ βίοτον ἐμπνέων ἔτι·
Ἵπποι δ' ἔκρυφθεν καὶ τὸ δύστηνον τέρας
Ταύρου λεπαίας οὐ κάτοιδ' ὅποι χθονός.
Δοῦλος μὲν οὖν ἔγωγε σῶν δόμων, ἄναξ,
Ἀτὰρ τοσοῦτόν γ' οὐ δυνήσομαί ποτε
Τὸν σὸν πιθέσθαι παῖδ', ὅπως ἐστὶν κακός,
Οὐδ' εἰ γυναικῶν πᾶν κρεμασθείη γένος,
Καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις
Πεύκην, ἐπεί νιν ἐσθλὸν ὄντ' ἐπίσταμαι.

ΧΟ. Αἶ, αἶ. κέκρανται συμφοραὶ νέων κακῶν,
Οὐδ' ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.

ΘΗ. Μίσει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε
Λόγοισιν ἥσθην τοῖσδε· νῦν δ' αἰδούμενος
Θεούς τ' ἐκεῖνόν θ', οὕνεκ' ἐστὶν ἐξ ἐμοῦ,
Οὔθ' ἥδομαι τοῖσδ', οὔτ' ἐπάχθομαι κακοῖς.

ΑΓ. Πῶς οὖν; κομίζειν, ἢ τί χρὴ τὸν ἄθλιον
Δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί;
Φρόντιζ'· ἐμοῖς δὲ χρώμενος βουλεύμασιν,
Οὐκ ὠμὸς ἐς σὸν παῖδα δυστυχοῦντ' ἔσῃ.

ΘΗ. Κομίζετ' αὐτόν, ὡς, ἰδὼν ἐν ὄμμασι

1238. Ἔκρυφθεν] ἐκρύφθησαν, ἄφαντοι ἐγένοντο· τὸ δὲ Λεπαίας παρὰ τὸ λέ-

λέσηθ' ὅλως· ὦ δύστηνος ἐκείνη ἀρὰ τοῦ πατρός! τίς παρὼν ἄνδρ' ἄριστον βούλεται σῶσαι; Ἡμεῖς δὲ ὡρμήμεθα μὲν πολλῇ προθυμίᾳ ἄλλος ἄλλοθεν πρὸς ἐπικουρίαν, ἀσθενείᾳ δὲ ποδὸς ἐλειπόμεθα. Τέως δ' οὖν ὁ μὲν ἀπολυθεὶς τῶν δεσμῶν, οὐκ οἶδ' ὅπως, ἀποτμηθέντων, κεῖται βραχὺ ἐμπνέων ἔτι· οἱ δ' ἵπποι καὶ ὁ ταῦρος οὐκ οἶδ' ὅποι γῆς ὑπερβαλόντες τὴν τοῦ ὄρους ὀφρὺν, ᾤχοντ' ἀπιόντες. Ἐγὼ δ' οὖν, ὦ δέσποτα, δοῦλος μὲν σὸς ὢν τυγχάνω, ἀλλ' οὐκ ἂν πεισθείην τὸν σὸν παῖδα κακὸν εἶναι ἄνδρα, οὐδ' ἂν πᾶν τὸ τῶν γυναικῶν ἀπάγξηται γένος, καὶ τὰς ἐν Ἴδῃ πεύκας ἐμπλήσῃ τοιούτων γραφῶν, οἷα ἐστὶν, ἥν σοι ἡ δέσποινα κατέλιπεν ἡ ἐμὴ, ἐπειδὴ ἐπίσταμαι αὐτὸν ἀκριβῶς ἄριστον ἄνδρα γεγενημένον.

ΧΟ. Αἶ, αἶ, νέων κακῶν πρόκεινται ἡμῖν αὖθις συμφοραί. καὶ οὐκέσθ' ὅλως ἀπαλλαγῆναι, ὧν ἡ μοῖρα ἐπέκλωσε.

ΘΗ. Μισῶν μὲν τὸν ἄνδρα τὸν ταῦτα πεπονθότα, ἐφήσθην τοῖς εἰρημένοις· νῦν δ' αἰδούμενος τούς θεούς τ' αὐτοὺς, κἀκεῖνον, ὡς ἐμαυτοῦ παῖδα ὄντα, οὔθ' ἥδομαι, ἐφ' οἷς ἔπαθεν, οὔτε λυποῦμαι ἄλλως.

ΑΓ. Τί οὖν χρὴ δράσαντας ἡμᾶς κεχαρισμένα σοι δρᾶν; πότερον, ἄγειν ἐκεῖνον δεῦρο, ἢ τί δήποτε; σκέψαι τοῦτο καλῶς· ἐμοὶ δὲ εἰ πείθοιο, μὴ φανείης σύ γε, ὦ δέσποτα, ὠμὸς τῷ σαυτοῦ παιδὶ δυςυχοῦντι.

ΘΗ. Ἄγετ' οὖν, ὡς ἂν ἰδὼν αὐτὸν ἀπαρνηθέντα τὴν πρᾶξιν,

---

πος, ὃ σημαίνει καὶ τὴν ὑπερβολὴν τοῦ ὄρους· ὃ καὶ λεπαία ὀφρῦς. Ἴδε Ἡρακ.

Τὸν τάμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη,
Λόγοις τ' ἐλέγξω δαιμόνων τε συμφοραῖς.

ΧΟ. Σὺ τὰν θεῶν ἄκαμπτον φρένα καὶ βροτῶν
Ἄγεις, Κύπρι· σὺν δ'
Ὁ ποικιλόπτερος ἀμφιβαλὼν
Ὠκυτάτῳ πτερῷ.
Ποτᾶται δ' ἐπὶ γαῖαν εὐάχητόν θ'
Ἁλμυρὸν ἐπὶ πόντον.
Θέλγει δ' Ἔρως, ᾧ μαινομένᾳ καρδίᾳ
Πτανὸς ἐφορμάσῃ
Χρυσοφαὴς, φύσιν
Ὀρεσκόαν σκυλάκων,
Πελαγίων θ', ὅσα τε γᾶ τρέφει,
Τὰν Ἅλιος αἰθόμενος δέρκεται,
Ἄνδρας τε· συμπάντων δὲ
Βασιληΐδα τιμὰν, Κύπρι,
Τῶνδε μόνα κρατύνεις.

ΑΡ. Σὲ τὸν εὐπατρίδαν Αἰγέως κέλομαι
Παῖδ' ἐπακοῦσαι·
Λητοῦς δὲ κόρη σ' Ἄρτεμις αὐδῶ.
Θησεῦ, τί τάλας τοῖσδε συνήδῃ,
Παῖδ' οὐχ ὁσίως σὸν ἀποκτείνας,
Ψευδέσι μύθοις ἀλόχου πεισθεὶς
Ἀφανῆ; φανερὰν δ' ἔσχεθες ἄταν;
Πῶς δ' οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
Δέμας αἰσχυνθείς;
Ἢ πτανὸς ἄνω μεταβὰς βίοτον
Πήματος ἔξω πόδα τόνδ' ἀνέχεις;

κατὰ πρόσωπον ἐξελέγξω, μάρτυρας αὐτὰς τὰς τῶν θεῶν τιμωρίας αὐτῷ παρεχόμενος.

ΧΟ. Σὺ δ', ὦ Ἀφροδίτη θεῶν τε τῶν ἀηττήτων, καὶ ἀνθρώπων ἀπὸ τοῦ ἴσου τυγχάνεις κρατοῦσα· ὅ,τε σὸς παῖς ὁ χρυσόπτερος ἔρως, ὠκυτάτῳ πτερῷ περιθάλπων· οὗτος γὰρ ἵπταται ἐπί τε γαῖαν πανταχοῦ, ἐπί τε πολυκύμαντον πόντον, καὶ θέλγει ἀνθρώπους τε, ἐφ' ὃν ἂν μαινομένῃ φορᾷ ἐφορμήσῃ, καὶ πᾶσαν φύσιν τῶν ὀρεσιτρόφων καὶ θαλαττίων θηρίων, ὅσα γῆ τε τρέφει, καὶ ὁ ἥλιος αὐγάζει· ἐφ' ὧν ἁπάντων σὺ μόνη, ὦ δέσποιν' Ἀφροδίτη, βασιλικὸν ἔχεις κράτος.

ΑΡ. Θησεῦ, υἱὲ Αἰγέως τοῦ εὐπατρίδου, σύντεινόν μοι τὸ οὖς, προσχὼν τὸν νοῦν, οἷς ἐρῶ· κόρην γὰρ Λητοῦς τήνδ' αὐτὴν ἐμὲ Ἄρτεμιν ἴσθι οὖσαν· Τί ποθ' οὕτως, ὦ τάλας, ἐφήδῃ τοῖς πεπραγμένοις, παῖδα τὸν σαυτοῦ ἐλεεινῶς ἀπολέσας, ταῖς τῆς γυναικὸς διαβολαῖς πεισθεὶς ἀνοήτως; ἢ οὐκ οἶσθ' ὅτι ἀφανῆ πρᾶξιν μετελθὼν, φανερὰν ἔσχες βλάβην; πῶς οὐ καταδύῃ εἰς τὸν τάρταρον ὑπ' αἰσχύνης; ἢ εἰς τὴν τῶν πτηνῶν μεταβαλὼν φύσιν, ἐκποδὼν τῶν παρόντων γίνῃ κακῶν; οὐ γὰρ ἔστ', οὐκ ἔστι σοι τοῦγε λοιποῦ βιώσιμον ἐν ἀγαθοῖς

στίχ. 395. τὸ δὲ ὅλον, ὑπερβάσαι τὸ ὅρος, οὐκέτι ἐφάνησαν 1277. Συνήδῃ ἀντὶ τοῦ ἐφήδῃ· οὕτω δὲ καὶ ἐν Ῥήσῳ στίχ. 960.

* Οὐ μὴν θανόντι οὐδαμῶς ξυνήδομαι.

1280. Ἀφανῆ] ἀναποδείκτως· ἢ σύνταξον τοῦτο πρὸς τὸ παῖδα· δηλοῖ δὲ τὸν ἀνεξέλεγκτον, ἀναίτιον, ἄκριτον· ἢ, ὃ καὶ μᾶλλον, ἀφανῆ ποιήσας αὐτὸν ἐν τῷ βίῳ· ἐνασμενίζει δὲ συνήθως ὁ ποιητὴς καὶ τοῖς ἀντιθέτοις πολλάκις τῶν ὀνομάτων, οἷον, γάμον, ἄγαμον λέγων νύμφην ἄνυμφον, ἀφανῆ φανεράν· διὸ ὡς

Ὡς ἐν γ' ἀγαθοῖς ἀνδράσιν οὔ σοι
Κτητὸν βιότου μέρος ἐστίν.
Ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν·
Καίτοι προκόψω γ' οὐδὲν, ἀλγυνῶ δέ σε.
Ἀλλ' ἐς τόδ' ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα
Τοῦ σοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνῃ,
Καὶ σῆς γυναικὸς οἶστρον, ἢ τρόπον τινὰ
Γενναιότητα· τῆς γὰρ ἐχθίστης θεῶν
Ἡμῖν, ὅσαισι παρθένειος ἡδονὴ,
Δηχθεῖσα κέντροις, παιδὸς ἠράσθη σέθεν.
Γνώμῃ δὲ νικᾶν τὴν Κύπριν πειρωμένη,
Τροφοῦ διώλετ' οὐχ ἑκοῦσα μηχαναῖς,
Ἣ σῷ δι' ὅρκων παιδὶ σημαίνει νόσον.
Ὁ δ', ὥσπερ οὖν δίκαιον, οὐκ ἐφέσπετο
Λόγοισιν, οὐδ' αὖ, πρὸς σέθεν κακούμενος,
Ὅρκον ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς.
Ἡ δ', εἰς ἔλεγχον μὴ πέσῃ, φοβουμένη,
Ψευδεῖς γραφὰς ἔγραψε καὶ διώλεσε
Δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.

ΘΗ. Οἴ μοι.

ΑΡ. Δάκνει σε, Θησεῦ, μῦθος, ἀλλ' ἔχ' ἥσυχος,
Τοὐνθένδ' ἀκούσας, ὡς ἂν οἰμώξῃς πλέον.
Ἆρ' οἶσθα πατρὸς τρεῖς ἀρὰς σαφεῖς ἔχων,
Ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιστε σὺ,

---

περιττὸν εἰσήχθη τὸ, Ἀφανῆ. 1288. Προκόψω] οὐδὲν ὠφελήσωσε, οὐδὲν ἀφελῶ σοι τῶν μελλόντων κακῶν· οὕτω δὲ κἀν τῇ Ἑκάβῃ στίχ. 990.

ἀνδράσι· καί μοι πρόσχες τὸν νοῦν τοῖς λόγοις, ὅπως εἰδῇς ἐν οἵοις τὰ πράγματά σοι καθέστηκε νῦν· μηδεμίαν μέντοι παρ᾽ ἐμοῦ προσδόκα ὠφέλειαν καὶ παραμυθίαν σοι ἔσεσθαι· λύπην δὲ μάλιστα καὶ ὀδύνην· ἦλθον γὰρ δι᾽ οὐδὲν ἄλλο, ἢ τήν τε τοῦ σοῦ παιδὸς ἀρετὴν δηλῶσαι, καὶ τὸν τῆς σῆς γυναικὸς φανερὸν καταστῆσαι οἶστρον, ἢ μᾶλλον εἰπεῖν, τὴν αὐτῆς γενναιότητα· ἐκείνη γὰρ τῷ τῆς Κύπριδος, ταύτης δὴ τῆς ἀεὶ πολεμούσης ἡμῖν, ὅσαις τὸ παρθενεύεσθαι ἥδιστον, δηχθεῖσα ἔρωτι, ἠράσθη τοῦ σοῦ παιδός· πειρωμένην δὲ κρείττω γενέσθαι σωφροσύνῃ τοῦ πάθους, μηχανὴ τῆς τροφοῦ ἀπώλεσεν οὐχ ἑκοῦσαν· αὕτη γὰρ προσιοῦσα τῷ νέῳ, ἐξέφηνεν δι᾽ ὅρκων αὐτῷ, ὑφ᾽ οὗ ἐκείνη κατείχετο ἔρωτος· ὁ δὲ, ὥσπερ ἦν δίκαιον, ἀπαναίνεται ὅλως τὴν πρᾶξιν· καὶ πρὸς σέ γε ὕστερον αἰτιώμενον οὐκ ἐξεῖπε τὸ πρᾶγμα, τοὺς ὅρκους τῶν θεῶν καὶ τὴν πίστιν διὰ πολλὴν εὐσέβειαν προῃρημένος φυλάττειν· ἡ δὲ, ἵνα μὴ ἐκ τούτου ἐξελεγχθῇ, ψευδῆ γράψασα, ἔπεισέ σε, καὶ ἀπώλεσεν οὕτω τὸν παῖδα δόλῳ.

ΘΗ. Οἴμοι!

ΑΡ. Δάκνει σε ταῦτα; ἀλλ᾽ ἔχ᾽ ἀτρέμας, ἵν᾽ ἀκούσας ἔτι, καὶ πλέον τὶ ἀνοιμώξῃς. Οἶσθα γὰρ τρεῖς πρὸς τοῦ σοῦ πατρὸς ἀρὰς ἔχων χάριν· τούτων οὖν τὴν μίαν, ὦ κά-

---

» Προκόπτοντ᾽ οὐδὲν εἰς τὸ πρόσθεν κακῶν.

καὶ ἐν Ἀλκήστιδι. στίχ. 1100.

» Τί δ᾽ ἂν προκόπτοις, ἢ θέλεις ἀεὶ στένειν;

παράβαλε δὲ ταῦτα πρὸς τὰ εἰρημένα ἀνωτέρω στίχ. 23. 1292. γενναιότητα] καὶ γὰρ ὑπέμεινεν μᾶλλον ἀποθανεῖν, ἢ καταισχυνθῆναι, καταισχύνασαν τὸν

Ἐς παῖδα τὸν σὸν, ἐξὸν εἰς ἐχθρόν τινα.
Πατὴρ μὲν οὖν σοι πόντιος φρονῶν καλῶς
Ἔδωχ', ὅσον περ χρῆν, ἐπείπερ ᾔνεσεν·
Σὺ δ' ἔν τ' ἐκείνῳ κἀν ἐμοὶ φαίνῃ κακὸς,
Ὃς οὔτε πίστιν, οὔτε μάντεων ὄπα
Ἔμεινας, οὐκ ἤλεγξας, οὐ χρόνῳ μακρῷ
Σκέψιν γ' ἔνειμας, ἀλλὰ θᾶσσον, ἤ σ' ἐχρῆν,
Ἀρὰς ἀφῆκας παιδὶ καὶ κατέκτανες.

ΘΗ. Δέσποιν', ὀλοίμην.

ΑΡ. Δείν' ἔπραξας, ἀλλ' ὅμως
Ἔτ' ἐστὶ καὶ σοὶ τῶνδε συγγνώμης τυχεῖν·
Κύπρις γὰρ ἤθελ', ὥστε γίγνεσθαι τάδε,
Πληροῦσα θυμόν· θεοῖσι δ' ὧδ' ἔχει νόμος·
Οὐδεὶς ἀπαντᾷν βούλεται προθυμίᾳ
Τῇ τοῦ θέλοντος, ἀλλ' ἀφιστάμεσθ' ἀεί.
Ἐπεὶ σάφ' ἴσθι, Ζῆνα μὴ φοβουμένη,
Οὐκ ἄν ποτ' ἦλθον ἐς τόδ' αἰσχύνης ἐγὼ,
Ὥστ' ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
Θανεῖν ἐᾶσαι· τὴν δὲ σὴν ἁμαρτίαν
Τὸ μὴ εἰδέναι μὲν πρῶτον ἐκλύει κάκης·
Ἔπειτα δ' ἡ θανοῦσ' ἀνάλωσεν γυνὴ
Λόγων ἐλέγχους, ὥστε σὴν πεῖσαι φρένα.
Μάλιστα μέν νυν σοὶ τάδ' ἔῤῥωγεν κακὰ,
Λύπη δὲ κἀμοί· τοὺς γὰρ εὐσεβεῖς θεοὶ
Θνήσκοντας οὐ χαίρουσι· τούς γε μὴν κακοὺς
Αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.

---

αυτῆς ἄνδρα. 1321. Θεοῖς . . . νόμος] ἑαυτὴν βούλεται τούτοις δικαιοῦν,

κιστε σύγε, εἰς τὸν σαυτοῦ παῖδα, δέον εἰς ἐχθρόν τινας κατηνάλωσας· καὶ ὁ μὲν πατὴρ, ἐπειδὴ ὑπέσχετο ἅπαξ, δέδωκέ σοι, καλῶς ποιήσας, ὅσον ἐχρῆν, τῷ μὴ φανῆναι ψευσάμενος τὴν ὑπόσχεσιν· σὺ δὲ, καταχρησάμενος τῷ δώρῳ, ἐκεῖνόν τε κατήσχυνας, καὶ εἰς ἐμὲ αὐτὴν οὐχ ἧττον τυγχάνεις ἐξυβρικώς· οὐ γὰρ οὔτε τὴν τῶν ὅρκων ἐτίμησας πίστιν, οὔτε φήμην ἐνέμεινας μάντεων, οὔτ' ἄλλως ἐξήλεγξας, οὔτε τῷ γε χρόνῳ αὐτῷ ἐπέτρεψας εὑρεῖν τἀληθές· ἀλλὰ θᾶσσον, ἢ πατέρα ἐχρῆν, ἀρασάμενος, διώλεσας οὕτω παραβόλως τὸν παῖδα.

ΘΗ. Ἀπολοίμην, ὦ δέσποινα.

ΑΡ. Δεινὰ μὲν πέπρακταί σοι· ἀλλ' ἔστι σοι ἔτι καί τις συγγνώμης ἀποστροφή. Κύπριδος γὰρ ἐπήρειά ἐστι τὸ γενόμενον, ἰδίαν μῆνιν πληρούσης· οὗτος γὰρ νόμος θεοῖς μηδὲν μηδένα ἐν μηδενὶ ἀντιπράττειν ἀλλήλοις· ἐπεὶ τί δοκεῖς; εἰ μὴ ὁ παρὰ τοῦ Διὸς ἐκώλυε φόβος, ἦλθον ἂν ἔγωγέ ποτ' ἐς τοῦτ' αἰσχύνης, ὥστε τὸν μάλιστά μοι πάντων κεχαρισμένον ἐᾶσαι ἀπολεσθῆναι; Ἀπολύει τοίνυν σὲ ὁπωσδήποτε τῆς αἰτίας πρῶτον μὲν ἡ τοῦ πράγματος ἄγνοια· ἔπειθ' ἡ τῶν λόγων πειθὼ, οὓς ἡ θανοῦσα κατηνάλωσεν ἐξελέγχουσα. Ταῦτα μὲν οὖν πάντα νῦν ἐνέσκηψαν μέν σοι, οὐχ ἧττον δὲ κἀμοί ἐστιν ἀλγεινά· θεῶν γὰρ τοιαύτη φύσις, τοὺς μὲν κακοὺς πανοικὶ καταστρέφειν, τοῖς δ' εὐσεβέσι καὶ χρηστοῖς μὴ ἐφήδεσθαι κακουμένοις.

---

ὅτι οὐκ ἤμυνεν Ἱππολύτῳ φίλῳ γε ὄντι, ὥστε μὴ παθεῖν ταῦτα· καὶ γὰρ Πο-

ΧΟ. Καὶ μὴν ὁ τάλας ὅδε δὴ στείχει,
Σάρκας νεαρὰς
Ξανθόν τε κάρα διαλυμανθείς.
Ὦ πόνος οἴκων, οἷον ἐκράνθη
Δίδυμον μελάθροις
Πένθος θεόθεν καταληπτόν.

ΙΠ. Αἶ, αἶ, αἶ, αἶ!
Δύστανος ἐγὼ πατρὸς ἐξ ἀδίκου
Χρησμοῖς ἀδίκοις διελυμάνθην.
Ἀπόλωλα τάλας, οἴ μοί μοί!
Διά μου κεφαλᾶς ᾄσσουσ' ὀδύναι,
Κατὰ δ' ἐγκέφαλον πηδᾷ σφάκελος.
Σχὲς, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
(Ἒ, ἒ.) ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
Βόσκημα χερὸς,
Διά μ' ἔφθειρας, κατὰ δ' ἔκτεινας.
Φεῦ, φεῦ· πρὸς θεῶν, ἀτρέμας δμῶες,
Χροὸς ἑλκώδους ἅπτεσθε χεροῖν.
Τίς ἐφέστηκ' ἐνδέξια πλευροῖς;
Πρόσφορά μ' αἴρετε, σύντονα δ' ἕλκετε
Τὸν κακοδαίμονα καὶ κατάρατον
Πατρὸς ἀμπλακίαις. Ζεῦ, Ζεῦ, τάδ' ὁρᾷς;
Ὅδ' ὁ σεμνὸς ἐγὼ καὶ θεοσέπτωρ,
Ὅδ' ὁ σωφροσύνῃ πάντας ὑπερέχων,
Προὖπτον ἐς Ἅιδαν στείχω κατὰ γᾶς,
Ὀλέσας βίοτον· μόχθους δ' ἄλλως
Τῆς εὐσεβίας
Εἰς ἀνθρώπους ἐπόνησα.
Αἶ, αἶ, αἶ, αἶ·

ΧΟ. Καὶ μὴν ἴδε τάλας ἐκεῖνος φοράδην κομίζεται δεῦρο τάς τε σάρκας ὅλως καταξανθεὶς, καὶ τὸ κρανίον ἀθλίως κατεαγώς· ὦ, οἵα, οἵα συμφορὰ τῷ οἴκῳ τούτῳ ξυνέβη, διπλοῦν αὐτῷ θεόθεν προσαράξασα πένθος·

ΙΠ. Αἴ, αἴ, αἴ, αἴ· ὢ δύστηνος ἐγὼ, οἷα πέπονθ' ἀδίκως, ἀδίκου πατρὸς ἀραῖς αἰκιθείς. ἀπόλωλα τάλας· οἴμοι, οἴμοι τῷ παναθλίῳ· οἷαι, οἷαι ὀδύναι διὰ τῆς ἐμῆς διεξίασι κεφαλῆς· ὀξυτάτῳ σπασμῷ ὁ ἐγκέφαλος ἀναπάλλεται. σχὲς σύγε, ἄφες μικρὸν ἀναπαύσωμαι, ἀπειρηκὼς ὅλως· ἒ, ἔ. ὦ ζεῦγος ἵππων κακούργων, ὑπὸ τῆς ἐμῆς χειρὸς τρεφομένων, διέφθειράς με, ἀπώλεσάς με· φεῦ, φεῦ· πρὸς θεῶν, ὦ παῖδες, ἀτρέμας, ὅσον οἷόν τε, ἅπτεσθέ μου τοῦ σώματος πρὸς τὰ τραύματα· τίς ἔσθ' ὁ ἐκ δεξιῶν; εὐλαβῶς αἴρετέ με· συμφώνως ἕλκετέ με, καὶ σὺν ἁρμονίᾳ ἄγετε τὸν κακοδαίμονα καὶ κατάρατον ἀγνοίᾳ πατρός· Ζεῦ, ὦ Ζεῦ, ὁρᾷς ταῦτα; ἐγὼ αὐτὸς ὅδε ὁ σεμνὸς καὶ θεοὺς σεβόμενος, ὁ πάντας ὑπερβαλὼν σωφροσύνῃ, αὐτὸς ἐπὶ τούτοις καταστρέψας ἤδη τὸν βίον, τὴν εἰς Ἅδου βαδίζω· μάτην ἄρα τὸ πρὸς ἀνθρώπους εὐσεβὲς τοσούτους ἤσκησα πόνοις· αἲ, αἴ, αἲ, αἴ. ὀδύνη μαςίζει με, ὀδύνη με ἀλγεινή· εἴθε μοι ἔλθοι θά-

---

σειδῶνι ἅμα καὶ Ἀφροδίτη ἤμελλεν ἀντιπράξειν. 1843. Χρησμοῖς Ἀδίκοις] κατὰ γὰρ χρησμὸν Ἀπόλλωνος τὰς τρεῖς ἀρὰς ἔλαβε Θησεὺς παρὰ Ποσειδῶνος. Ἴδε ἀνωτέρω στίχ. 45. 1359. Κατὰ γᾶς] ἐν ἄλλοις κεῖται κατ' ἄκρας.

Καὶ νῦν ὀδύνα μ', ὀδύνα βαίνει.
Μέθετέ με τὸν τάλανα·
Καί μοι θάνατος παιὰν ἔλθοι.
Προσαπόλλυτέ μ', ὄλλυτε τὸν δυσδαί-
Μον'· ἀμφιτόμου λόγχας ἔραμαι
Διαμοιρᾶσαι,
Διά τ' εὐνᾶσαι τὸν ἐμὸν βίοτον.
Ὦ πατρὸς ἐμοῦ δύστανος ἀρὰ,
Μιαιφόνων τε συγγόνων,
Παλαιῶν προγεννητόρων
Ἐξορίζεται κακὸν, οὐδὲ μέλλει,
Ἔμολέ τ' ἐπ' ἐμέ, (τί ποτέ;) τὸν οὐ-
Δὲν ὄντ' ἐπαίτιον κακῶν.
Ὤ μοί μοι. τί φῶ;
Πῶς ἀπαλλάξω βιοτὰν
Ἐμὰν τοῦδ' ἀναλγήτου πάθους;
Εἴθε με κοιμάσειε τὸν δυσδαίμονα
Αἵδου μέλαινα νύκτερός τ' ἀνάγκα.
ΑΡ. Ὦ τλῆμον, οἵᾳ ξυμφορᾷ ξυνεζύγης!
Τὸ δ' εὐγενές σε τῶν φρενῶν διώλεσεν.
ΙΠ. (Ἔα.) ὦ θεῖον ὀδμῆς πνεῦμα! καὶ γὰρ ἐν κακοῖς
Ὢν, ᾐσθόμην σου κἀνεκουφίσθην δέμας·
Ἔστ' ἐν τόποισι τοῖσιδ' Ἄρτεμις θεά;
ΑΡ. Ὦ τλῆμον, ἔστι σοί γε φιλτάτη θεῶν.
ΙΠ. Ὁρᾷς με, δέσποιν', ὡς ἔχω, τὸν ἄθλιον;
ΑΡ. Ὁρῶ· κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.
ΙΠ. Οὐκ ἔστι σοι κυναγὸς, οὐδ' ὑπηρέτης.

---

Μιαιφόνων τε συγγόνων] ὁ Τε ἤτοι παρέλκων ἐστιν, ἢ μεταβλητέος εἰς τὸν Γε. ἵν' ᾖ τὸ ὅλον μία περίοδος λόγου· οἷον, τὸ κακὸν, ἡ ἀρὰ τῶν συγγενῶν ἐξορίζεται· ὅ ἐστιν ἐξαλείφεται· δυνατὸν δὲ καὶ μετατιθέντας τὸν Τε ἐννοεῖν

νατος ἰατρός· ἀπολέσατέ με, ὀλέσατέ με τὸν κακοδαίμονα· ἀμφιστόμου λόγχης δεῖ μοι, ἐφ' ᾧ διελάσαντά δὶ ἐμαυτοῦ, τέλος ἐπιθεῖναι τῷ βίῳ· ὦ δύστηνος ἀρὰ τοῦ πατρός· ἀρχαῖον ἀμπλάκημ', ὡς ἔοικε, τοῦτ' ἐστὶ μιαιφόνων συγγενῶν, οὐκέτι μέλλει, ἀλλ' ἐν ἐμοὶ νῦν πληροῦται· ἀλλὰ τί δήποθ' οὕτω κατήει ἐπ' ἐμὲ τὸν μηδενὸς κακοῦ ἐπαίτιον ὄντα; ἰώ μοι μοι· τί εἴπω; πῶς ἀπαλλάξω τοῦ ἀφορήτου πάθους; εἴθε μοι εἴη κατιέναι εἰς τὸ τοῦ Ἅδου σκότος, ἔνθ' ἀναπαύσομαι, δουλεύων τῇ ἀνάγκῃ.

ΑΡ. Ὦ τλῆμον, οἵᾳ περιπέπτωκας συμφορᾷ, τὸ σεμνὸν ἄρα τῆς γνώμης ἀπώλεσέ σε.

ΙΠ. Ἔα· ὦ θεῖον πνεῦμα ὀσμῆς· καὶ γὰρ ἐν κακοῖς ὧδε ὤν, ᾐσθόμην σου κἀπιλαθόμενος τῶν πολλῶν ὀδυνῶν, ἀνερρώσθην· ἆρ' ὧδ' ἐστὶν Ἄρτεμις ἡ θεός;

ΑΡ. Ἔσθ' ἥδ', ἔστι σοί γ' ἡ φιλτάτη πασῶν θεῶν.

ΙΠ. Ὁρᾷς, ὦ δέσποινα, ἐν οἵοις ἤδη κεῖμαι;

ΑΡ. Ὁρῶ· ἀλλ' οὐ θέμις ἡμῖν δακρύειν ἐπὶ τούτοις.

ΙΠ. Οὐκέτ' ἐγώ σοι κυνηγὸς οὐδ' ὑπηρέτης ὅλως.

---

ᾠδί. Μιαιφόνων συγγόνων. παλαιῶν τε προγόνων κακὸν ἐξορίζεται· τὸ δὲ, Κακὸν ἐν ἄλλοις Κακῶν, καὶ ἀλλαχῇ Κακὰν, εὕρηται. εἶεν· τίνες δὲ οἱ μιαιφόνοι σύγγονοι; τὸ τῶν Παλλαντιδῶν πάθος ἐννοεῖ. ἢ τὰ τῶν Πέλοπος καὶ Θυέστου. 1379. Αναλγήτου πάθους] τοῦ σκληροῦ καὶ μεγάλου· ὅπερ οὐκ ἐθέλει με ἐλεεῖν. 1384. Ἔα·] ἐξεπλάγη, καὶ ἐκπλαγεὶς ἐπιλανθάνεται τῶν πόνων, καὶ ἀνακαθίζεται. κἀπειδὴ ἡ θεὸς οὐχ ὁρᾶται, ἐκ τῆς ὀσμῆς αἴσθησιν ταύτης ἔχει

ΔΗ

ΑΡ. Οὐ δῆτ'· ἀτάρ μοι προσφιλὴς ἀπόλλυσαι.
ΙΠ. Οὐδ' ἱππονώμας, οὐδ' ἀγαλμάτων φύλαξ.
ΑΡ. Κύπρις γὰρ ἡ πανοῦργος ὧδ' ἐμήσατο.
ΙΠ. Ὤ, μοι! φρονῶ δὴ δαίμον', ἥ μ' ἀπώλεσε.
ΑΡ. Τιμῆς ἐμέμφθη, σωφρονοῦντι δ' ἤχθετο.
ΙΠ. Τρεῖς ὄντας ἡμᾶς ὤλεσ', ᾔσθημαι, μία.
ΑΡ. Πατέρα τε καὶ σὲ καὶ τρίτην ξυνάορον.
ΙΠ. Ὤμωξα τοίνυν καὶ πατρὸς δυσπραξίας.
ΑΡ. Ἐξηπατήθη δαίμονος βουλεύμασιν.
ΙΠ. Ὦ δυστάλας σὺ τῆσδε συμφορᾶς, πάτερ!
ΘΗ. Ὄλωλα, τέκνον, οὐδέ μοι χάρις βίου.
ΙΠ. Στένω σὲ μᾶλλον, ἢ 'μὲ, τῆς ἁμαρτίας.
ΘΗ. Εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ σοῦ νεκρός.
ΙΠ. Ὦ δῶρα πατρὸς σοῦ Ποσειδῶνος πικρά!
ΘΗ. Ὡς μή ποτ' ἐλθεῖν ὤφελ' ἐς τοὐμὸν στόμα!
ΙΠ. Τί δ'; ἔκτανές τ' ἄν μ', ὡς τότ' ἦσθ' ὠργισμένος.
ΘΗ. Δόξης γὰρ ἦμεν πρὸς θεῶν ἐσφαλμένοι.
ΙΠ. (Φεῦ·) εἴθ' ἦν ἀραῖον δαίμοσι βροτὸν γένος!
ΑΡ. Ἔασον· οὐ γὰρ οὐδὲ γῆς ὑπὸ ζόφον
Θεᾶς ἄτιμοι Κύπριδος ἐκ προθυμίας
Ὀργαὶ κατασκήψουσιν ἐς τὸ σὸν δέμας,
Σῆς εὐσεβείας κἀγαθῆς φρενὸς χάριν.
Ἐγὼ γὰρ αὐτῆς ἄλλον ἐξ ἐμῆς χερὸς,
Ὃς ἂν μάλιστα φίλτατος κυρῇ βροτῶν,
Τόξοις ἀφύκτοις τοῖσδε τιμωρήσομαι.

---

1395. Τιμῆς ἐμέμφθη.] πότερον, ἣν ἀπεδίδου τῇ Ἀρτέμιδι, ἢ ἣν οὐκ ἀπεδίδου τῇ Ἀφροδίτῃ; τὸ δεύτερον ἔοικε μᾶλλον. παράβαλε δὲ πρὸς τὰ ἀνωτέρω.

ΑΡ. Οὐ δῆθ' οὕτως· ἀλλ' ἀγαπητός μοι ἀπόλλυσαι.

ΙΠ. Οὐδ' ἱππικὸς καὶ φύλαξ ἀγαλμάτων.

ΑΡ. Τῆς πανούργου Κύπριδος βούλευμα τοῦτο.

ΙΠ. Οἴμοι· οἶδα τὴν θεὸν, ἥ μ' ἀπώλεσε.

ΑΡ. Τιμῆς ἕνεκα· ἄχθος γὰρ αὐτῇ σωφροσύνη.

ΙΠ. Οὐδὲ μόνον, ἀλλὰ σύντρεις ἀπώλεσε, μία οὖσα.

ΑΡ. Τὸν τεκόντα, σέτε, καὶ τρίτην τὴν γυναῖκα.

ΙΠ. Θρηνῶ δὲ καὶ τοῦ πατρὸς τὴν τύχην·

ΑΡ. Βουλεύμασι τῆς Κύπριδος ἐξηπατήθη.

ΙΠ. Ὦ δύστηνε πάτερ τῆς συμφορᾶς.

ΘΗ. Ἀπόλωλα, τέκνον, κοὐκέθ' ἡδύς μοί ἐστιν ὁ βίος.

ΙΠ. Σὲ μᾶλλον τῆς ἀπάτης, ἢ ἐμαυτὸν στενάζω.

ΘΗ. Εἴη μοι, τέκνον, ἀντὶ σοῦ καταστρέψαι.

ΙΠ. Ὦ πικρά σοι δῶρα τὰ τοῦ πατρὸς Ποσειδῶνος.

ΘΗ. Ὡς μή ποτ' ὤφειλον εἰς μνήμην ἐμὴν ἐλθεῖν ἐκεῖνα.

ΙΠ. Τί δέ; καὶ ἄνευ τούτων ὑπ' ὀργῆς ἀνεῖλές μ' ἄν.

ΘΗ. Θεοὶ γάρ με διέσφηλαν τοῦ ὄντος, τέκνον.

ΙΠ. Ὦ πῶς ἂν εἴη χ' ἡμῖν ἐκείνοις καταρᾶσθαι.

ΑΡ. Ἔχ' ἀτρέμας, Ἱππόλυτε φίλτατε· σὺ μὲν γὰρ νῦν εὐσεβείας γέγονας θῦμα· ἀλλὰ κἂν Ἅδου λήψῃ δίκην παρὰ τῆς Κύπριδος τῆς ὀργῆς· ἐγὼ γὰρ ἀμείψομαι αὐτὴν τοῖς αὐτοῖς, ὃς ἂν φίλτατος ᾖ αὐτῇ τῶν ἀνθρώπων, τουτοισὶ τοῖς τόξοις αὐτὸν διελάσασα· σὺ δ' ὦ ταλαί-

---

15. 1410. Ἄτιμοι] ἀτιμώρητοι· ἡ μὲν Ἀφροδίτη, φησὶ, προθύμως ὠργίσθη σοι, ἀλλ' ἐγὼ καὶ ἐν ᾅδου σοι ὄντι τιμωρὸς ἔσομαι τοῦ θανάτου, ἵνα μὴ ἡ ὀργὴ ἐκείνης ἀντιμώρητος ᾖ· ἐγὼ γὰρ τὸν φίλτατον αὐτῆς ἀπολέσω· Ἄδωνιν δὲ φασιν

Σοὶ δ', ὦ ταλαίπωρ', ἀντὶ τῶνδε τῶν κακῶν
Τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ
Δώσω· κόραι γὰρ ἄζυγες γάμων πάρος
Κόμας κεροῦνταί σοι, δι' αἰῶνος μακροῦ
Πένθη μέγιστα δακρύων καρπουμένῳ.
Ἀεὶ δὲ μουσοποιὸς ἔς σε παρθένων
Ἔσται μέριμνα, κοὐκ ἀνώνυμος πεσὼν
Ἔρως ὁ Φαίδρας ἔς σε σιγηθήσεται:
Σὺ δ', ὦ γεραιοῦ τέκτον Αἰγέως, λάβε
Σὸν παῖδ' ἐν ἀγκάλαισι καὶ προσέλκυσαι·
Ἄκων γὰρ ὤλεσάς νιν. ἀνθρώποισι δὲ,
Θεῶν διδόντων, εἰκὸς ἐξαμαρτάνειν.
Καὶ σοὶ παραινῶ, πατέρα μὴ στυγεῖν σέθεν,
Ἱππόλυτ'· ἔχεις γὰρ μοῖραν, ᾗ διεφθάρης.
Καὶ χαῖρ'· ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾷν,
Οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς·
Ὁρῶ δέ σ' ἤδη τοῦδε πλησίον κακοῦ.

ΙΠ. Χαίρουσα καὶ σὺ στεῖχε, παρθέν' ὀλβία·
Μακρὰν δὲ λείποις ῥᾳδίως ὁμιλίαν.
Λύω δὲ νεῖκος πατρὶ, χρηζούσης σέθεν·
Καὶ γὰρ πάροιθε σοῖς ἐπειθόμην λόγοις.
Αἶ, αἶ· κατ' ὄσσων κιγχάνει μ' ἤδη σκότος.
Λαβοῦ, πάτερ, μου, καὶ κατόρθωσον δέμας.

ΘΗ. Ὤ μοι, τέκνον, τί δρᾷς με τὸν δυσδαίμονα;

ΙΠ. Ὄλωλα, καὶ δὴ νερτέρων ὁρῶ πύλας.

ΘΗ. Ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν φρένα;

---

αἰνίττεσθαι ταῦτα, ἀλλ' ἐκεῖνος ὑπὸ Ἄρεως ἔπαθε. 1420. Καρπουμένῳ] ἐν

πωρε, ἀντὶ ταύτης τῆς συμφορᾶς, τιμὰς μεγίστας ἕξεις ἐν Τροιζῆνι παρὰ τῶν παρθένων· πρὸ γὰρ τοῦ γάμου διὰ πολλοῦ χρόνου τὴν κόμην ἀποκειρόμεναι, τῷ σῷ σὺν δάκρυσι προσοίσουσι τάφῳ, ὕμνους ἀεὶ τῆς τῆς ᾄδουσαι σωφροσύνης· ὁ γὰρ τῆς Φαίδρας ἔρως οὐκ ἂν σοι ἀνώνυμος ἐν τῷ μακρῷ σιγηθείη αἰῶνι. Σὺ δ' αὖ, ὦ παῖ Αἰγέως, λαβὼν τὸν σαυτοῦ υἱὸν ἐν ἀγκάλαις, τὰ λοίσθια πνέοντα, προσπτύσσου· ἄκων γὰρ τυγχάνεις αὐτὸν ἀπολέσας· θνητοῖς γὰρ ἄφευκτον τὸ ἁμαρτάνειν, τῶν θεῶν εἰς τοῦτ' ἐξορμούντων· καὶ σὲ δὲ, ὦ Ἱππόλυτε, κελεύω ἀφιέναι τὴν ὀργὴν τῷ πατρὶ, ἤδη ψυχοῤῥαγοῦντα καὶ τὸ εἱμαρμένον ἀποπληροῦντα· καὶ χαῖρε· οὐ γὰρ θέμις ἔμοιγ' ἀποψύχοντας ὁρᾷν, μίασμα τοῦτ' ὂν τοῖς τῶν θεῶν ὀφθαλμοῖς· ἤδη γάρ σοι τὸ τοῦ βίου πρόσεισι τέλος, χαῖρε.

ΙΠ. Ἄπιθι καὶ αὐτὴ, ὦ θεὰ, χαίρουσα, ὀλβιωτάτη παρθένα, ῥᾳδίως τε καὶ ἀλύπως τῆς ἐμῆς διὰ μακροῦ ὁμιλίας τὴν διάζευξιν φέρουσα· τῷ δὲ πατρὶ ἀφῆκα καὶ αὐτῷ πάντα κατὰ κέλευσιν σήν· οὐδὲ γὰρ πρὶν ἔγωγέ σου πώποτε παρήκοος ἐγενόμην. Αἶ, αἴ· σκότος μου κατήει τοῖς ὄμμασιν ἤδη· λαβοῦ μου, πάτερ, καὶ κατάστησόν μου τὸ σῶμα.

ΘΗ. Οἴμοι, τέκνον, τί δρᾷς; ὡς δυστυχῆ με καταλιμπάνεις.

ΙΠ. Ἀπόλωλα, καὶ ἤδη τὰς πύλας ὁρῶ τοῦ Ἅδου.

ΘΗ. Ἀλλ' ἐμὲ ἔνοχον τοῦ λοιποῦ σεαυτῷ καταλείψεις;

---

φλοις, καρπούμεναι. 1429. Ἔχεις γὰρ μοῖραν] ἤδη πληροῖς τὸ πεπρωμένον

ΙΠ. Οὐ δῆτ', ἐπεί σε τοῦδ' ἐλευθερῶ φόνου.
ΘΗ. Τί φής; ἀφίης αἵματός μ' ἐλεύθερον;
ΙΠ. Τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.
ΘΗ. Ὦ φίλταθ', ὡς γενναῖος ἐκφαίνῃ πατρί!
ΙΠ. Ὦ χαῖρε καὶ σὺ, χαῖρε πολλά μοι, πάτερ.
ΘΗ. Ὤ μοι φρενὸς σῆς εὐσεβοῦς τε κἀγαθῆς!
ΙΠ. Τοιῶνδε παίδων γνησίων εὔχου τυχεῖν.
ΘΗ. Μή νυν προδῷς με, τέκνον, ἀλλὰ καρτέρει.
ΙΠ. Κεκαρτέρηται τἄμ'· ὄλωλα γὰρ, πάτερ·
Κρύψον δέ μου πρόσωπον, ὡς τάχος, πέπλοις.
ΘΗ. Ὦ κλείν' Ἀθηνῶν, Παλλάδος θ' ὁρίσματα.
Οἵου στερήσεσθ' ἀνδρός! ὦ τλήμων ἐγώ!
Ὡς πολλὰ, Κύπρι, σῶν κακῶν μεμνήσομαι!
ΧΟ. Κοινὸν τόδ' ἄχος πᾶσι πολίταις
Ἦλθεν ἀέλπτως.
Πολλῶν δρακρύων ἔσται πίτυλος·
Τῶν γὰρ μεγάλων ἀξιοπενθεῖς
Φῆμαι μᾶλλον κατέχουσιν.

ΙΠ. Οὐκέτι· ἀπολύω γάρ σε τῆς τῶν κακῶν αἰτίας.

ΘΗ. Τί φής; συγχωρεῖς μοι τοῦ φόνου ὅλως;

ΙΠ. Ναὶ μὰ τὴν ἐμὴν τοξόδαμνον Ἄρτεμιν.

ΘΗ. Ὦ φίλτατε τῆς γενναιότητος εἰς ἐμὲ ταύτης.

ΙΠ. Καὶ δὴ χαῖρε, ὦ πάτερ, καὶ αὖ πάλιν χαῖρε.

ΘΗ. Οἴμοι τῆς σῆς εὐσεβοῦς καὶ ἀγαθῆς γνώμης.

ΙΠ. Εὔχου δὲ τοιούτων παίδων γνησίων πατὴρ γενέσθαι.

ΘΗ. Μή με ἐγκαταλίπῃς, τέκνον, ἀλλ' ἐγκαρτέρει.

ΙΠ. Τετέλεσται· ἡ ψυχὴ ἤδη λείπει με· σὺ δὲ καλυψόν μοι τὸ πρόσωπον ταχέως τῷ ἱματίῳ.

ΘΗ. Ὦ κλεινὴ γῆ τῆς Παλλάδος, οἵου ἀνδρὸς ἀπεστέρησαι τήμερον· ὦ τλήμων ἐγὼ, οὐδέποτ', ὦ Κύπρι, τῶν σῶν κακῶν ἐπιλήσομαι.

ΧΟ. Κοινὴ συμφορὰ ἤδε παρ' ἐλπίδα πάσῃ τῇ πόλει ἦλθε, κινοῦσα εἰς δάκρυα· τοῖς γὰρ δοκοῦσιν εὐδαίμοσιν εἶναι μείζω δυστυχήματα φιλοῦσι παρέπεσθαι.

---

ἱπαλλάττῃ τοῦ βίου' 1457. Πίτυλος] καταφορὰ ὁρμὴ πολλῶν δακρύων.

# ΑΛΚΗΣΤΙΣ.

# ΥΠΟΘΕΣΙΣ.

᾿Απολλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως Ἄδμητος τελευτᾷν μέλλων, παράσχῃ τινὰ τὸν ὑπὲρ αὑτοῦ τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνῳ ζήσῃ· καὶ Ἄλκηστις ἡ γυνὴ ἐπέδωκεν ἑαυτὴν, μηδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν· μετ' οὐ πολὺ δὲ τῆς συμφορᾶς ταύτης γενομένης, Ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα· τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα τηρεῖν· εἰληφέναι δὲ αὐτὴν πάλης ἆθλον ἔλεγε· μὴ βουλομένου δὲ ἐκείνου, ἀποκαλύψας ἔδειξεν, ἣν ἐπένθει.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΠΠΟΛΛΩΝ.
ΘΑΝΑΤΟΣ.
ΧΟΡΟΣ. πρεσβυτῶν Φεραίων.
ΘΕΡΑΠΑΙΝΑ.
ΑΛΚΗΣΤΙΣ.
ΑΔΜΗΤΟΣ.
ΕΥΜΗΛΟΣ·
ΗΡΑΚΚΗΣ·
ΦΕΡΗΣ.
ΘΕΡΑΠΩΝ.

# ΑΛΚΗΣΤΙΣ.

## ΠΑΡΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΑΠΟΛΛΩΝ, ΘΑΝΑΤΟΣ, ΧΟΡΟΣ, ΘΕΡΑΠΑΙΝΑ.

ΑΠ. Ω δώματ' Ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ
Θῆσσαν τράπεζαν αἰνέσαι, θεός περ ὤν.
Ζεὺς γὰρ, κατακτὰς παῖδα τὸν ἐμὸν, αἴτιος,
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα·
Οὗ δὴ χολωθεὶς, τέκτονας δίου πυρὸς
Κτείνω Κύκλωπας· καί με θητεύειν πατὴρ
Θνητῷ παρ' ἀνδρὶ τῶνδ' ἄποιν' ἠνάγκασεν.
Ἐλθὼν δὲ γαῖαν τήνδ', ἐβουφόρβουν ξένῳ,
Καὶ τόνδ' ἔσωζον οἶκον ἐς τόδ' ἡμέρας·
Ὁσίου γὰρ ἀνδρὸς, ὅσιος ὢν, ἐτύγχανον,

2. Θῆσσαν] θητικὸν βίον· γίνεται δὲ ἀπὸ τοῦ θὴς θῆσσα, καθὼς ἀπὸ τοῦ Κρὴς Κρῆσσα, καὶ Θρᾶξ Θρᾶσσα. 3. Κατακτὰς] Ἀσκληπιὸς υἱὸς Ἀπόλλωνος, ἰώμενος τοὺς νεκροὺς, ἀνίστη· ὀργισθεὶς ἐπὶ τούτῳ ὁ Ζεὺς, ἀπέκτεινεν αὐτὸν κεραυνῷ ἐν Πυθῶνι· μεμψάμενος δ' αὐτὸν Ἀπόλλων ὁ πατὴρ, ἀπέκτεινε καὶ αὐτὸς Κύκλωπας, Ἀκάμαντα, Πυράκμωνα, Ἄκμωνα, καὶ Ἀκμωνίδην (ἢ κατ' ἄλλους, Βρόντην, καὶ Στερόπην, καὶ Ἄργην τοὺς πατέρας ἐκείνων) οἳ ἐχάλκευσαν Διὸς κεραυνὸν ἐκεῖνον ἐν Λιπάρᾳ τῇ νήσῳ παρὰ τὴν Σικελίαν· διὰ τοῦτο

# ΑΛΚΗΣΤΙΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΑΠΟΛΛΩΝ, ΘΑΝΑΤΟΣ, ΧΟΡΟΣ, ΘΕΡΑΠΑΙΝΑ.

ΑΠ. Ὦ δώματ' Ἀδμήτου, ἐν οἷς θεὸς ὢν αὐτὸς, ὑπέστην θητικὸν καταδέξασθαι βίον, τοῦ Διὸς τοῦτό μου καταγνόντος· ἐπεὶ γὰρ, ἐφ' οἷς ἐκεῖνος Ἀσκληπιὸν τὸν ἐμὸν ἀπέκτεινε παῖδα, ἐμπρήσας τῷ κεραυνῷ, ἀνταπέκτεινα κἀγὼ χαλεπήνας τοὺς Κύκλωπας, ὡς τοὺς ἐκείνου χαλκεύσαντας κεραυνοὺς, τούτου δίκην ὑπέχων, παρ' ἀνδρὶ θνητῷ παρὰ τοῦ πατρὸς ἠναγκάσθην θητεῦσαι. Οὕτως οὖν ἐλθὼν εἰς τήνδε τὴν γῆν, εἱλόμην ποιμενικὸν δέξασθαι βίον παρὰ τῷ τοῦ Φέρητος, μέχρι ταύτης τῆς ἡμέρας σώζων αὐτῷ τὸν οἶκον· τοιούτου δ' ἀνδρὸς ἀγαθοῦ, ἀγαθὸς ὤν, τυχὼν, προὐθυμήθην ῥύσα-

---

καταδικάζεται παρὰ τοῦ Διὸς θητείαν θητεῦσαι ἐνιαύσιον παρ' Ἀδμήτῳ. 7. Τῶν δ' ἄποινα] ὡς ζημίαν τῶν φονευθέντων, λυτήρια τοῦ θράσους. 8. Ἐβουφόρβουν] ἀντὶ τοῦ ἐποίμαινον. 10. Ἐτύγχανον] ἐν ἄλλοις, ἐτύγχανεν, ὁ οἶκος·

Παιδὸς Φέρητος, ὃν θανεῖν ἐῤῥυσάμην,
Μοίρας δολώσας· ἤνεσαν δέ μοι Θεαὶ,
Ἄδμητον ᾅδην τὸν παραυτίκ' ἐκφυγεῖν,
Ἄλλον διαλλάξαντα τοῖς κάτω νεκρόν.
Πάντας δ' ἐλέγξας, καὶ διεξελθὼν φίλους,
Πατέρα, γεραιάν θ', ἥ σφ' ἔτικτε, μητέρα,
Οὐχ' εὗρε πλὴν γυναικὸς, ἥτις ἤθελε
Θανεῖν πρὸ κείνου, μηκέτ' εἰσορᾷν φάος·
Ἣ νῦν κατ' οἴκους ἐν χεροῖν βαστάζεται
Ψυχοῤῥαγοῦσα· τῇδε γάρ σφ' ἐν ἡμέρᾳ
Θανεῖν πέπρωται, καὶ μεταστῆναι βίου.
Ἐγὼ δὲ, μὴ μίασμ' ἐν δόμοις κίχῃ,
Λείπω μελάθρων τῶνδε φιλτάτην στέγην.
Ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας,
Ἱερῆ θανόντων, ὅς νιν εἰς Ἅδου δόμους
Μέλλει κατάξειν· συμμέτρως δ' ἀφίκετο,
Φρουρῶν τόδ' ἦμαρ, ᾧ θανεῖν αὐτὴν χρεών.

ΘΑ. Ἆ, ἆ, ἆ, ἆ!
Τί σὺ πρὸς μελάθροις; τί σὺ τῇδε πολεῖς,
Φοῖβ'; ἀδικεῖς αὖ, τιμὰς ἐνέρων
Ἀφοριζόμενος καὶ καταπαύων;
Οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου
Διακωλῦσαι, Μοίρας δολίῳ
Σφήλαντι τέχνῃ; νῦν δ' ἐπὶ τῇδ' αὖ
Χέρα τοξήρη φρουρεῖς ὁπλίσας,
Ἣ τόδ' ὑπέστη, πόσιν ἐκλύσα-
Σ' αὐτὴ προθανεῖν, Πελίου παῖς.

---

18. Πρὸ κείνου] οὐ μόνον τὸν χρόνον σημαίνει ἡ Πρόθεσις, ἀλλ' εἴληπται μᾶλ-

σθαι αὐτὸν τοῦ θανάτου, παρὰ τῶν Μοιρῶν ἐξαιτησάμενος τοῦτο· αἳ δὲ ὑπέσχοντό μοι ἀποφευξεῖσθαι αὐτὸν ἐν τῷ παραυτίκα, εἴπερ ἕτερον τῷ Ἅδῃ ἀντικαταςήσειε. Πολλῶν οὖν φίλων ζητηθέντων γενέσθαι ἀντάλλαγμα, ἐδέξατο οὐδὲ εἷς, οὐ πατὴρ, οὐχ ἡ μήτηρ προαποθανεῖσθαι αὐτοῦ, πλὴν τῆς γυναικός· ἣ, μὴ φέρουσα τὴν διάζευξιν, ὑπέστη τοῦθ' ἑκοῦσα, ἑλομένη ἐν τῷ σκότῳ μᾶλλον οἰκεῖν, ἢ ἄνευ τοῦ ἀνδρὸς ὁρᾶν τὸ φῶς τοῦ ἡλίου· καὶ δὴ τήμερον πληρωθείσης τῆς προθεσμίας, ἐκείνη ἐν ταῖς τοῦ ἀνδρὸς ἀγκάλαις βασταζομένη, ψυχοῤῥαγεῖ· ἐγὼ δὲ, ἵνα μήτι μίασμα γένηταί μοι, ἐκποδὼν ἔσομαι· ὁρῶ δὲ νῦν καὶ θάνατον, τοῦτον δὴ τὸν τῶν θνητῶν ἱερέα, ἥκοντα δεῦρο· μέλλει γὰρ κατάξειν αὐτὴν τήμερον εἰς Ἅδου, ὡς ἐπ' ἀκριβὲς τὴν τοῦ πεπρωμένου παραφυλάξας ἡμέραν.

ΘΑ. Ἆ, ἆ, ἆ, ἆ. Τί ποθ' ἐνταῦθ', ὦ Φοῖβε, διατρίβων τυγχάνεις; ἀδικεῖς μὲν οὖν, τὰς τῶν κάτω τιμὰς αὖθις περιαιρούμενος· οὐ γὰρ ἅλις σοι ἔχει ἐξαρπάσαι ἐκεῖθεν τὸν Ἄδμητον ἐξαπατήσαντα τὰς Μοίρας, ἀλλὰ καὶ νῦν περιθέμενος τόξα, φρουρεῖς καὶ τὴν τοῦ Πελίου, ἥτις ὑπέστη τελευτήσειν ἀντὶ τοῦ ἀνδρός.

---

λων καὶ ἀντὶ τῆς Ἀντὶ, ἢ Ὑπὲρ, οἷον, ἀντὶ ἐκείνου, ἢ ὑπὲρ ἐκείνου. 22. Μίασμα] οὕτως οἱ θεοὶ μίασμα ἐνόμιζον εἶναι ἰδεῖν θνήσκοντα, ἴδε Ἱππόλ. 1430 25. Ἱερῆ] κατὰ ἀποκοπὴν τοῦ α, ἱερῆα· ἔςι δὲ συνίζησις. 26 Συμμέτρως] ἐν τῷ καθικνουμένῳ χρόνῳ, ἐν ᾧ χρόνῳ τὸ χρεὼν διώρισαι ὑπὸ τῆς εἱμαρμένης

ΑΠ. Θάρσει· δίκην τε, καὶ λόγους κεδνοὺς ἔχω.
ΘΑ. Τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;
ΑΠ. Σύνηθες ἀεὶ ταῦτα βαστάζειν ἐμοί.
ΘΑ. Καὶ τοῖσδέ γ' οἴκοις ἐκδίκως προσωφελεῖν;
ΑΠ. Φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.
ΘΑ. Καὶ νοσφιεῖς μὲ τοῦδε δευτέρου νεκροῦ;
ΑΠ. Ἀλλ' οὐδ' ἐκεῖνον πρὸς βίαν σ' ἀφειλόμην.
ΘΑ. Πῶς οὖν ὑπὲρ γῆς ἐστιν κοὐ χθονὸς κάτω;
ΑΠ. Δάμαρτ' ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.
ΘΑ. Κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.
ΑΠ. Λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν, εἰ πείσαιμί σε.
ΘΑ Κτείνειν, ὃν ἂν χρῇ; τοῦτο γὰρ τετάγμεθα.
ΑΠ. Οὐκ· ἀλλὰ τοῖς μέλλουσι θάνατον ἐμβαλεῖν.
ΘΑ. Ἔχω λόγον γε καὶ προθυμίαν σέθεν.
ΑΠ. Ἔστ' οὖν, ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;
ΘΑ. Οὐκ ἔστι· τιμαῖς κἀμὲ τέρπεσθαι δόκει.
ΑΠ. Οὔτοι πλέον γ' ἂν, ἢ μίαν ψυχὴν, λάβοις.
ΘΑ. Νέων φθινόντων, μεῖζον ἄρνυμαι κλέος.
ΑΠ. Κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.
ΘΑ. Πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθης.
ΑΠ. Πῶς εἶπας; ἀλλ' ἢ καὶ σοφὸς λέληθας ὤν;

---

τὸ δὲ, ἆ ἆ· ὡς ἐπιτιμητικὸν, καὶ ἀποτρεπτικὸν ἐκληπτέον. 38. Κεδνοὺς] δικαίους· ἡ δὲ δίκη καὶ οἱ λόγοι εἰσὶν ὁ ἑξῆς διάλογος. 48. Οὐ γὰρ οἶδ' ἂν εἰ πείσαιμίσε] ὁ Ἂν παρέλκει· σύνειθες δὲ τῷ ποιητῇ ἀμφότερα τὰ μόρια συνωθεῖν πρὸς τὸ εὐκτικὸν ῥῆμα· εἰ μήτις ἔλλειψις εἴη. 50. Τοῖς μέλλουσι] τοῖς διατρίβουσιν εἰς τὸ φῶς, τοῦ γήρως κατεπείγοντος αὐτοὺς ἀποθανεῖν· τὸ δὲ Ἐμβαλεῖν σύνταξον πρὸς τὸ Πείσαιμι. 51. Ἔχω λόγον] τὸν τίνα; βούλει σὺ, ὡς εἰ ἔλεγε, τὸν Φέρητα, ἀντὶ τῆς Ἀλκήςιδος ἀποθανεῖν. 56 Κἂν

ΑΠ. Θάῤῥει· δίκην γὰρ καὶ λόγους δικαίους παρέξομαι.

ΘΑ. Τί τοίνυν τόξων δεῖσοι, εἰ δίκην ἔχεις;

ΑΠ. Σύνηθες ἔμοιγ' ἀπ' ἀρχῆς ταῦτα φέρειν.

ΘΑ. Καὶ τὸν οἶκον τοῦτον ἀδίκως προασπίζειν;

ΑΠ. Ἀνδρὸς γὰρ φίλου πάσχοντος, ἄχθομαι.

ΘΑ. Τί δέ; καὶ τοῦτον τὸν νεκρὸν δεύτερον ἀφαιρήσεις;

ΑΠ. Καὶ μὴν οὐδὲ τὸν πρῶτον βίᾳ ἐξήρπασάσου.

ΘΑ. Πῶς οὖν ζῇ ἔτι, ἀποφυγὼν τοὺς κάτω;

ΑΠ· Ἀμοιβῇ τῆς γυναικὸς, ἐφ' ἣν σὺ νῦν ἥκες.

ΘΑ. Καὶ κατάξωγε πάντως αὐτὴν πρὸς τοὺς ἐν Ἅδῃ.

ΑΠ. Τί γὰρ καὶ πάθω; οὐ γὰρ ἂν πείσαιμίσε.

ΘΑ. Τί; κτείνειν κελεύεις; τοῦτο γὰρ ἐμὸν ἔργον.

ΑΠ. Οὐ μὲν οὖν ἁπλῶς· τοὺς δὲ γεγηρακότας μόνον.

ΘΑ. Συνῆκα, τί αἰνίττεταίσοι ὁ λόγος.

ΑΠ. Ἄλκηστις ἥδε γηράσει ἐν τῷ βίῳ;

ΘΑ. Οὐκέτι τοῦτο, εἰ δεῖ κἀμὲ τιμᾶσθαι.

ΑΠ. Ἢ νῦν, ἢ ὀψὲ, μίαν ψυχὴν σὺ ἕξεις.

ΘΑ. Νέων θνησκόντων, μεῖζον αἴρομαι κλέος.

ΑΠ Κἂν γραῦς ἀποθάνῃ, πλουσίαν ταφὴν ἕξει.

ΘΑ. Ὑπὲρ τῶν πλουσίων τὸν νόμον τίθης τοῦτον.

ΑΠ. Τί φής; ἢ γὰρ καὶ σοφὸς δοκεῖς ἡμῖν τις εἶναι.

---

γραῦς ὄληται] ὁ μὲν Θάνατος, κλέος ἐννοεῖ τὴν ἑαυτοῦ δύναμιν ἣν ἔχει καὶ νέους ἁρπάζειν· ὁ δ' Ἀπόλλων κακουργῶν ἐν τῷ λόγῳ, κλέος ὑπολαμβάνει τὰς δαπανας καὶ θυσίας, τοῦτο δὴ τὸ κέρδος τοῦ Θανάτου· διὸ ἐπιφέρει, εἰ μὲν ταῦτ' ἦν κύρια, ὥςε με ἀποβλέπειν εἰς κέρδη, πολλὰ μὲν ἂν ἀνήλωσαν

ΘΑ. Ὤνοῖντ' ἂν, οἷς πάρεστι, γηραιοὺς θανεῖν.
ΑΠ. Οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;
ΘΑ. Οὐ δῆτ'· ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.
ΑΠ. Ἐχθρούς γε θνητοῖς καὶ θεοῖς στυγουμένους.
ΘΑ. Οὐκ ἂν δύναιο πάντ' ἔχειν, ἃ μή σε δεῖ.
ΑΠ. Ἦ μὴν σὺ παύσῃ, καίπερ ὠμὸς ὢν ἄγαν.
Τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνὴρ,
Εὐρυσθέως πέμψαντος ἵππιον μέτα
Ὄχημα Θρῄκης ἐκ τόπων δυσχειμέρων,
Ὃς δὴ ξενωθεὶς τοῖσδ' ἐν Ἀδμήτου δόμοις,
Βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται·
Κοὔθ' ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις,
Δράσεις θ' ὁμοίως ταῦτ', ἀπεχθήσῃ τ' ἐμοί.
ΘΑ. Πόλλ' ἂν σὺ λέξας, οὐδὲν ἂν πλέον λάβοις·
Ἡ δ' οὖν γυνὴ κάτεισιν εἰς Ἅδου δόμους.
Στείχω δ' ἐπ' αὐτὴν, ὡς κατάρξωμαι ξίφει.
Ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν,
Ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσῃ τρίχα.
Η. Α. Τί ποθ' ἡσυχία πρόσθε μελάθρων;
Τί σεσίγηται δώματ' Ἀδμήτου;
Η. Β. Ἀλλ' οὐδὲ φίλων τὶς πέλας οὐδεὶς,
Ὅστις ἂν ἐνέποι, πότερον φθιμένην
Βασίλειαν χρὴ πενθεῖν, ἢ ζῶσα
Ἔτι φῶς τόδε λεύσσει Πελίου παῖς
Ἄλκηστις, ἐμοὶ, πᾶσί τ' ἀρίστη
Δόξασα γυνὴ
Πόσιν εἰς αὐτῆς γεγενῆσθαι.

---

οἱ ἄνθρωποι, εἰ ἐξῆν οὕτως ἀποθνήσκειν, γέροντας ὄντας. 66. Ἵππιον μέτα] τὴν Μετὰ ἄμεινον συντάττειν πρὸς τὸ, Πέμψαντος, ἵν' ᾖ οὕτως ἔχον. Εὐρυσθέως μεταπέμψαντος (αὐτὸν τὸν Ἡρακλέα κομίσαι) τὸ Ἵππιον ὄχημα ἐκ τόπων . . . τῆς Θρᾴκης. 74. Κατάρξωμαι] ἴδε καὶ Ἑκάβη στίχ. 510 ἔθος ἦν

ΘΑ. Καὶ γὰρ ὠνοῖντ' ἂν τὸ ἐν γήρᾳ βαθεῖ θνήσκειν.

ΑΠ. Οὐ θέλεις τοίνυν τήνδέ μοι δοῦναι χάριν;

ΘΑ. Οὔμενουν, εἴπερ τοὺς ἐμοὺς οἶσθα τρόπους.

ΑΠ. Οἶδα τούτους θεοῖς τε καὶ θνητοῖς στυγουμένους.

ΘΑ. Οὐκ ἂν κρατήσαις καὶ τῶν μή σοι προσηκόντων.

ΑΠ. Ἀλλ' ἴσθι αὐτός γε, καίπερ ἀνάλγητος οὕτως ὢν, αὐτίκα μάλα παυσόμενος τῆς αὐθαδείας, ἀνδρὸς ἀγαθοῦ ἐλθόντος ὧδε. Εὐρυσθεὺς γὰρ τοὺς τοῦ Διομήδους ἐκ τῆς βορειοτέρας Θρᾴκης, αὐτὸν ἔπεμψε κομίσοντα ἵππους. Ἐκεῖνος τοίνυν ξενίων τυχὼν παρ' Ἀδμήτου, βίᾳ τήνδ' ἀφαιρήσεταί σε γυναῖκα· οὕτω δὴ σύ τε πράξεις ταῦτα, οἷς νῦν αὐτὸς ἐξαιτοῦμαι, καὶ πρὸς ἐμοῦ πρὸς τῷ μηδεμίαν σοι χάριν εἶναι, καὶ ἀπέχθεια προσγενήσεται.

ΘΑ. Οὐδὲν κατορθώσεις, κἂν μυρίους λόγους καταναλώσῃς· αὕτη γὰρ αὐτίκα μάλ' ἀπεχθήσεται εἰς τοὺς κάτω· καὶ δή εἶμι καταρξόμενος ταύτης· ὁρᾷς γὰρ τὸ ξίφος τουτί; ὅτου ἄν ποτε καθαγνίσω τούτῳ τὰς τρίχας, οὗτος ἀναγκαίως γενήσεται ἱερεῖον τοῖς κάτω.

ΧΟ. Τίς ἡ βαθεῖα ἥδε ἡσυχία πρὸ τῶν δωμάτων ἐνταῦθα; πῶς οὐδεὶς ἀκούεται ἔνδον;

ΗΜ. Ἀλλ' οὐδὲ φίλον ὁρῶμεν ὧδέ τινα, παρ' οὗ πυθοίμεθ' ἂν, πότερον ἐν τοῖς ζῶσιν ἔτ' ἔσθ' ἡ Πελίου παῖς, ἡ πασῶν γυναικῶν ἔμοιγε περὶ τὸν ἑαυτῆς ἄνδρα ἀρίστη γεγενημένη· ἢ λέλοιπεν ἡμᾶς ἀπελθοῦσα.

---

καθαγνίζειν τὰ ἱερεῖα, τῶν τριχῶν τεμόντας, καὶ τῷ πυρὶ αὐτὰς βαλόντας· ἐλέγετο δὲ ἡ πρᾶξις, καταρχὰς ποιεῖσθαι· καὶ οὕτω τὸ ζῶον ἐκεῖνο ἦν ἱερόν· ἀπὸ γοῦν τούτου ἡ μεταφορὰ καὶ ἐπὶ ἀνθρώπου ἐνταῦθα. 77. Τί ποθ' ἡσυχία]

Η. Α. Κλύει τις ἢ στεναγμὸν, ἢ (Στρ)
Χερῶν κτύπον κατὰ στέγας,
Ἢ γόον, ὡς πεπραγμένων;
Η. Β. Οὐ μὰν οὐδέ τις ἀμφιπόλων
Στατίζεται ἀμφὶ πύλας.
Εἰ γὰρ μετακύμιος ἄτας,
Ὦ Παιὰν, φανείης!
Η. Α. Οὔτ' ἂν φθιμένας γ' ἐσιώπων· οὐ
Γὰρ δὴ φροῦδος νέκυς ἐξ οἴκων.
Η. Β. Πόθεν;
Η. Α. Οὐκ αὐχῶ.
Η. Β. Τί σε θαρσύνει;
Η. Α. Πῶς ἂν ἔρημον τάφον Ἄδμητος
Κεδνῆς ἂν ἔπραξε γυναικός;
Η. Β. Πυλῶν πάροιθε δ' οὐχ' ὁρῶ (Ἀντ.)
Πηγαῖον, ὡς νομίζεται,
Χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,
Χαίτα τ' οὔτις ἐπὶ προθύροις
Τομαῖος, ἃ δὴ νεκύων
Πένθει πιτνεῖ· οὐ νεολαία
Δουποῖ χεὶρ γυναικῶν.
Η. Α. Καὶ μὴν τόδε δὴ κύριον ἦμαρ —
Η. Β. Καὶ τὶ τόδ' αὐδᾷς;
Η. Α. Ὧι χρῆν σφε μολεῖν κατὰ γαίας.
Η. Β. Ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.
ΧΟ. Χρὴ τῶν ἀγαθῶν διακναιομένων
Πενθεῖν, ὅστις

---

εἰσελθὼν ὁ Χορὸς οὐχ' ὁρᾷ οὐδένα, καὶ ἀπορεῖ, 88. Γόον] ἐν ἄλλοις κεῖται

**ΗΜ.** Ἀκούει τις ἔνδον στεναγμὸν, ἢ χειρῶν κτύπον, ἢ γόον, ὡς τελευτησάσης ἐκείνης;

**ΗΜ.** Ἀλλ᾽ οὐδὲ θεραπαινίς τις ἵςαται παρὰ τὰς θύρας ὧδε. Ὦ Παιὰν, σύγ᾽ ἀκέστωρ τοῦ κακοῦ τούτου εἴης.

**ΗΜ.** Ἀλλ᾽ οὐκ ἂν αὖθις, ἐκλιπούσης ἐκείνης, τοσαύτη ἦν ἡσυχία· οὐδὲ γὰρ ἐκφορά πω, ὡς ἂν εἴποι τις, δοκεῖ γεγενῆσθαι.

**ΗΜ.** Πόθεν τεκμαίρῃ τοῦτο; καὶ τίς σε πείθει λόγος; ἐγὼ μὲν γὰρ ἐπέχω.

**ΗΜ.** Πῶς γὰρ ἂν οὕτως ἀμάρτυρον τοιαύτης γυναικὸς ἐκφορὰν ἐποίησεν Ἄδμητος;

**ΗΜ.** Ἀλλ᾽ οὐδὲ Χέρνιβα πρὸ τῶν θυρῶν ὁρῶ ἔγωγε, ὡς νόμος οὗτός ἐστι τοῖς τετελευτηκόσιν· οὐδὲ κόμην πένθιμον ἀπ᾽ αὐτῶν ἠρτημένην, ὡς νομίζεται καὶ τοῦτο τοῖς ἀποιχομένοις, οὔτε μὴν γυναικῶν τις ἀκούεται ἔνδον κρότος.

**ΗΜ.** Καὶ μὴν ἐνέστηκεν ἤδη αὐτῇ ἡ ῥητὴ τῶν ἡμερῶν.

**ΗΜ.** Τίνα φὴς ταύτην;

**ΗΜ.** Ἐν ᾗ ἀνάγκη ἀπιέναι αὐτὴν πρὸς τοὺς κάτω.

**ΗΜ.** Ὡς ἀλγεινόν μοι τοῦτον εἶπας τὸν λόγον.

**ΧΟ.** Δεῖ γὰρ τοὺς ἀγαθοὺς ἐπ᾽ ἀγαθοῖς τεθνηκόσι πενθεῖν

---

Γόων, ἵν᾽ ᾖ συντεταγμένον ἐπιθετικῶς πρὸς τὸ πεπραγμένων. 91. Μετακύμιος] μεταξὺ τῶν κυμάτων, ἵνα κωλύσῃς τοὺς κινδύνους· ἢ ἵνα μεταφέρῃς τὰ κύματα, ὅ ἐςι τὸν κίνδυνον ἄλλοσε. 95. Οὐκ αὐχῶ] ἐν ἄλλοις τὰ τρία ταῦτα ἡμίςιχα εἰς ἓν ἀνάγονται πρόσωπον· κατ᾽ ἐκεῖνο τοίνυν ἐχέτω οὕτως· ἐγὼ μὲν οὐκ αὐχῶ οὐ νομίζω εἰδέναι τοῦτο, σὺ δὲ πόθεν οἶσθα; τοιοῦτο καὶ ςίχ, 691. 100. Χέρνιβα] πηγαῖος Χέρνιψ· ἀγγεῖον ὕδωρ πηγαῖον ἔχον πρὸς τὸ ἀπονίπτεσθαι τοὺς

Χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.
Ἀλλ' οὐδὲ ναυκληρίαν (Στρ.)
Ἔσθ' ὅποι τις αἴας
Στείλας, ἢ Λυκίας,
Εἴτ' ἐπὶ τὰς ἀνύδρους
Ἀμμωνίδας ἕδρας
Δυστάνου παραλῦσαι
Ψυχάν· μόρος γὰρ ἄποτμος πλάθει·
Θεῶν δ' ἐπ' ἐσχάραις
Οὐκ ἔχω 'πὶ τίνα
Μηλοθύταν πορευθῶ.
Μόνος δ' ἂν εἰ φῶς τόδ' ἦν (Ἀντ.)
Ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦσ'
Ἦλθεν ἕδρας σκοτίους
Ἅδα τ' ἐπὶ πύλας·
Δμαθέντας γὰρ ἀνίστη,
Πρὶν αὐτὸν εἷλε διόβολον πλᾶκτρον
Πυρὸς κεραυνίου.
Νῦν δὲ τίν' ἔτι βίου
Ἐλπίδα προσδέχομαι;
Πάντα γὰρ ἤδη τετέλεσται βασι-
λεῦσιν, πάντων δὲ θεῶν [ἐπὶ] βωμοῖς
Αἱμόῤῥαντοι θυσίαι πλήρεις,
Οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.
Ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
Δακρυῤῥοοῦσα· τίνα τύχην ἀκούσομαι;
Πενθεῖν μὲν, εἴ τι δεσπόταισι τυγχάνει,
Συγγνωστόν· εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ,
Εἴτ' οὖν ὄλωλεν, εἰδέναι βουλοίμεθ' ἄν.

ΘΕ. Καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.

τὰ εἰκότα· ἀλλὰ ποῖ τις ἂν γῆς μέγα πέλαγος διαβαλὼν, εἴτ' ἐπὶ Λυκίαν, εἴτ' ἐπὶ τὸ τοῦ Ἄμμωνος ἱερὸν, ἔνθ' ἄνυδρός ἐστι χῶρος, τὴν τῆς δυστήνου ταύτης ψυχὴν διασώσειεν; τὸ γὰρ τέλος αὐτῇ τοῦ βίου ἐγγὺς, κἀμοὶ οὐκ ἔσθ' ὅποι τῶν βωμῶν προσελθὼν, εὑρήσομαι αὐτῇ παρὰ μάντεώς τινος σωτηρίαν.

Ει δὲ μόνος ὁ Ἀπόλλωνος παῖς ἦν ἐν τοῖς ζῶσιν, ἀνεσώζετ' ἂν ἐκείνη, τὴν ἐν τῷ σκότῳ διατριβὴν, καὶ τὰς τοῦ Ἄδου καταλιποῦσα πύλας· ἐκεῖνος γὰρ πρὶν ἢ βληθῆναι τῷ τοῦ Διὸς κεραυνῷ, ἀνίστη τοὺς τεθνεῶτας· νῦν δὲ τίν' ἐλπίδα προσδοκῶ σωτηρίας; πάντα γὰρ τοῖς βασιλεῦσιν ὁρῶ τέλος σχόντα, καὶ τοὺς τῶν θεῶν βωμοὺς πανταχοῦ τῷ τῶν ἱερείων αἵματι περιρρεομένους. Ἀλλ' ἤδη μόλις ὁρῶ τὴν θεράπαιναν τήνδε προβαίνουσαν τῆς οἰκίας ὑποδεδακρυμένην· ἆρ' ἔσται τὶ καινὸν ἡμῖν ἐκ τῶν ἔνδον; Πενθεῖν μέν σε, ὦ φίλη, ἐφ' οἵῳ δήποτε τοῖς δεσπόταις συμβάντι ἔνδον, οὐδὲν θαυμαστόν· ἡμῖν δὲ βουλομένοις ἂν εἴποις, πότερον, ἐν τοῖς ζῶσίν ἐστιν, ἢ ἀπέλιπεν Ἄλκηστις;

ΘΕ. Κἂν ζῶσαν εἴπῃς, κἂν τεθνεῶσαν οὐκ ἂν ἁμάρτοις.

---

ἐξιόντας ἀπὸ τοῦ νεκροῦ. 112 Ναυκληρίαν] ἀντὶ τοῦ Ναύκληρον· ἦν δὲ Ἀπόλλωνος μαντεῖον ἐν Λυκίᾳ. 124. Φοίβου παῖς] ἴδε στίχ. 3. ἡ δὲ συνθήκη, εἰ μόνος ὁ παῖς τοῦ Φοίβου ἦν δεδορκὼς ὄμμασι τόδε φῶς (εἰ ἔζη), ἦλθεν ἂν (ἡ

ΧΟ. Καὶ πῶς ἂν ὡυτὸς κατθάνοι τε καὶ βλέποι;
ΘΕ. Ἤδη προνωπής ἐστι καὶ ψυχοῤῥαγεῖ.
ΧΟ. Ὦ τλῆμον, οἵας, οἷος ὢν, ἁμαρτάνεις!
ΘΕ. Οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.
ΧΟ. Ἐλπὶς μὲν οὐκέτ' ἐστὶ σώσεσθαι βίον;
ΘΕ. Πεπρωμένη γὰρ ἡμέρα βιάζεται.
ΧΟ. Οὐκοῦν ἐπ' αὐτῇ πράσσεται τὰ πρόσφορα;
ΘΕ. Κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.
ΧΟ. Ἴστω νυν εὐκλεής γε κατθανουμένη,
Γυνή γ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.
ΘΕ. Πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται;
Τί χρὴ γενέσθαι τὴν ὑπερβεβλημένην
Γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
Πόσιν προτιμῶσ', ἢ θέλουσ' ὑπερθανεῖν;
Καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις·
Ἃ δ' ἐν δόμοις ἔδρασε, θαυμάσῃ κλύων.
Ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
Ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
Ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων
Ἐσθῆτα, κόσμον τ' εὐπρεπῶς ἠσκήσατο,
Καὶ στᾶσα πρόσθεν Ἑστίας κατεύξατο·
Δέσποιν' (ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονός),
Πανύστατόν σε προσπιτνοῦσ', αἰτήσομαι,
Τέκν' ὀρφανεῦσαι τἀμά· καὶ τῷ μὲν φίλην
Σύζευξον ἄλοχον, τῇ δὲ γενναῖον πόσιν.
Μηδ', ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι,
Θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας

---

Ἄλκηστις εἰς τὸ φῶς) προλιποῦσα τὸ σκότος. 145. Οὔπω τόδε] σκοτειν

ΧΟ. Οὐκ οἶδ' ὅπως εἰς ταὐτὸν συνάπτῃς τἀναντία.

ΘΕ. Ἤδη γὰρ ψυχοῤῥαγεῖ κάτω νενευκυῖα.

ΧΟ. Ὦ τλῆμον, οἵας, οἷος ὢν, ἀποστερῇ γυναικός.

ΘΕ. Οὔπω τοῦτο, πρὶν ἂν πάθῃ τι, ούμὸς οἶδε δεσπότης.

ΧΟ. Τί δε; οὐκέτ' ἔστιν ἐλπίζειν σωτηρίαν;

ΘΕ. Τὸ γὰρ πεπρωμένον τήμερον ἐπισπέρχει.

ΧΟ. Ηὐτρέπισται τοίνυν αὐτῇ τἀπικήδεια πάντα;

ΘΕ. Πάνθ' ἕτοιμα, οἷς χρὴ ἐκείνην συνταφῆναι.

ΧΟ. Ὡς εὐκλεὴς ἐκείνη τεθνήξεται, 'πασῶν γυναικῶν τῶν ὑφ' ἥλιον ἀρίστη γεγενημένη.

ΘΕ. Πῶς γὰρ οὔ; καὶ τίς ἀντερεῖ τούτοις; τί γὰρ λείπεται ποιεῖν τὴν εὐκλεεστάτην γυναῖκα; πῶς ἂν μᾶλλον ἐνδείξαιτό τις, πρὸ παντὸς τὸν ἑαυτῆς ἄνδρα πεποιημένη, ἢ ὑπὲρ ἐκείνου ἀποθανοῦσα; καὶ ταῦτα μὲν πᾶσα ἡ πόλις οἶδεν· ἃ δὲ τοῖς πολλοῖς ἀνέκπυςά ἐστιν αὐτῆς ἔτι ἔνδον, θαυμάσεις ἀκούσας· ἅμα γὰρ αἰσθανομένη τὸν τῆς τελευτῆς ἱκνούμενον χρόνον, πρῶτον λαβοῦσα ὕδωρ, ἐλούσατο· ἔπειτα ἐξελοῦσα ἐσθῆτα καὶ κόσμον τῶν κιβωτίων, ἠμφιέσατο εὐπρεπῶς· εἶθ' οὕτω ςᾶσα πρὸ τῆς Ἑστίας, ηὔξατο τάδε. Δέσποινα, ἐγὼ μὲν ἐξαιτοῦμαι γέ σε, πανύστατον ἤδη προσπεσοῦσα, τῶν ἐμῶν ὀρφανῶν γενέσθαι προστάτιν, τῷ μὲν, φίλην γυναῖκα· τῇ δὲ, ἄνδρα προμνηστεύσασαν ἀγαθὸν, μηδ' ἀώρους αὐτοὺς, καθάπερ ἡ τεκοῦσα, ἀποθανεῖν· ἀλλ'

---

τοῦτο· δοκεῖ δὲ λέγειν, ὅτι ὁ δεσπότης οὔπω αἰσθάνεται τὸ πάθος· μετα δὲ τὸ πάθος αὐτῷ ἡ αἴσθησις μᾶλλον ἐπιγενήσεται. 153. Τὴν ὑπερβεβλημένην] εὐκλεεςάτην· ἢ αναλυτέον ὡδί· τί ἄλλο ποιήσει, εἴτις γυνὴ βούλοιτο ὑπερβαλέσθαι αὐτὴν ἀρετῇ; 157. Κλύων] σύνταξον πρὸς τὸν Χορόν. 160. Κεδρίνων κλιμων] ταμείων, ἱματοφυλακείων ἐκ κέδρων. 165. Ὀρφανεῦσαι] ἐπιτροπεῦσαι

Ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
Πάντας δὲ βωμοὺς, οἳ κατ' Ἀδμήτου δόμους,
Προσῆλθε κἀξέστεψε, καὶ προσεύξατο,
Πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
Ἄκλυστος, ἀστένακτος, οὐδὲ τοὐπιὸν
Κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
Κἄπειτα θάλαμον ἐσπεσοῦσα καὶ λέχος,
Ἐνταῦθα δὴ δάκρυσε καὶ λέγει τάδε·
Ὦ λέκτρον, ἔνθα παρθένει' ἔλυσ' ἐγὼ
Κορεύματ' ἐκ τοῦδ' ἀνδρὸς, οὗ θνήσκω πέρι,
Χαῖρ'· οὐ γὰρ ἐχθαίρω σ'. ἀπώλεσας δέ με
Μόνην· προδοῦναι γάρ σ' ὀκνοῦσα καὶ πόσιν,
Θνήσκω· σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
Σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
Κυνεῖ δὲ προσπιτνοῦσα, πᾶν δὲ δέμνιον
Ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
Ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
Στεῖχε προνωπὴς, ἐκπεσοῦσα δεμνίων,
Καὶ πολλὰ θάλαμον ἐξιοῦσ' ἐπεστράφη,
Κἄῤῥιψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
Παῖδες δὲ, πέπλων μητρὸς ἐξηρτημένοι,
Ἔκλαον· ἡ δὲ λαμβάνουσ' ἐν ἀγκάλαις.
Ἠσπάζετ' ἄλλοτ' ἄλλον, ὡς θανουμένη.
Πάντες δὲ ἔκλαον οἰκέται κατὰ στέγας.
Δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
Προὔτειν' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς,

---

τὰ ὀρφανά. 173. Φόβην] βλάστημα, κλαδίσκον. 183. Κυνεῖ] ἄμεινον Κύνει ἐν

ἐς εὔδαιμον γῆρας ἐληλακότας, ἐν γῇ πατρῴα ἀτρέμας τὸ χρεὼν ἐκπλῆρῶσαι. Ἐκ δὲ τούτων ἔστεψε μυρσύνῃ περιελθοῦσα πάντας τοὺς ἔνδον βωμούς· ἔνθα προσευχομένη, οὐδὲ μικρὸν τὸ σχῆμα μετέβαλεν, ἀλλὰ διετέλεσεν ἀδάκρυτος διὰ πάντων, καὶ ὅλως ἀστένακτος· ὥσθ' ἡ τοῦ θανάτου προσδοκία οὐδὲ μικρὸν ἠλλοίωσε τὸ εὐειδὲς αὐτῆς τοῦ προσώπου κατάστημα. Ἐκ δ' αὖ τούτων ἐπανελθοῦσα εἰς τὴν εὐνὴν, πολλ αὐτῆς κατέλειβε δάκρυα, τὰ ὕστατ' ἐπειποῦσα ἐκεῖνα. Ὦ λέκτρον, ἐν ᾧ τῷ ἀνδρὶ τούτῳ, ὑπὲρ οὗ ἀποθνήσκω, συνευνάσθην, καὶ ᾧ τὰ τῆς παρθενίας ἐλυσάμην κειμήλια τὸ πρῶτον, χαῖρε· οὐ μὲν οὖν μισῶ σε· διὰ σὲ ὅμως ἔγωγε μόνη γυναικῶν ἀποθνήσκω, μὴ ἀνεχομένη σέ τε καὶ τὸν ἐμὸν φίλτατον γαμέτην προδοῦναι· σὲ δ' οὖν ἄλλη τις γυνὴ ἕξει, σωφρονεστέρα μὲν ἐμοῦ οὐκ ἂν εἴποιμι, εὐτυχεστέρα δ' ἴσως. Ταῦτα δ' εἰποῦσα, κατεφίλει προσκύπτουσ' αὐτήν· καὶ τὰ ἔπιπλα ἤδη κατεδεύετο δάκρυσιν· ὡς δὲ κόρος ἦν τούτων, καταβᾶσα τῆς εὐνῆς, ἐξήρχετο προκλινὴς, πολλάκις πρὸς τὸν θάλαμον μεταστρεφομένη· καὶ αὖ πάλιν ἐπανελθοῦσα, ἔβαλεν ἑαυτὴν εἰς τὴν κλίνην· ἔνθα οἱ μὲν παῖδες, ἐχόμενοι τῆς ἐσθῆτος αὐτῆς, ὠλοφύροντο· ἡ δὲ ἄλλοτ' ἄλλον λαμβάνουσα ἐν ἀγκάλαις, καὶ περιπτυσσομένη, κατεφίλει τὸ τελευταῖον· τῶν δ' αὖ οἰκετῶν τίς ἂν τοσοῦτον ἀνάλγητος εἴη, ὡς μὴ καταῤῥυῆναι τοῖς δάκρυσι πρὸς τὸ δρώμενον; ἡ δὲ προτείνουσα ἑκάστῳ

---

παρατατικῷ, ὡς κεῖται ἐν ἄλλοις. 187. Ἐπεστράφη] ἐν δὲ τῷ ἐξιέναι πολλάκις ἐστράφη πρὸς τὸν θάλαμον, καὶ πάλιν ἐλθοῦσα ἔῤῥιψεν ἑαυτὴν εἰς τὴν

Ὅν οὐ προσεῖπε, καὶ προσεῤῥήθη πάλιν.
Τοιαῦτ᾽ ἐν οἴκοις ἐϛὶν Ἀδμήτου κακά.
Καὶ κατθανὼν γ᾽ ἂν ὤλετ᾽· ἐκφυγὼν δ᾽, ἔχει
Τοσοῦτον ἄλγος, οὗ πότ᾽ οὔ λελήσεται.
ΧΟ. Ἦπου στενάξει τοῖσίδ᾽ Ἄδμητος κακοῖς,
Ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή.
ΘΕ. Κλάει γ᾽ ἄκοιτιν, ἐν χεροῖν φίλην ἔχων,
Καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
Ζητῶν· φθίνει γὰρ, καὶ μαραίνεται νόσῳ.
Παρειμένη γε χειρὸς ἄθλιον ϐάρος.
Ὅμως δὲ, καίπερ σμικρὸν ἐμπνέουσ᾽ ἔτι,
Βλέψαι πρὸς αὐγὰς βούλεται τὰς ἡλίου,
Ὡς οὔποτ᾽ αὖθις, ἀλλὰ νῦν πανύστατον
Ἀκτῖνα, κύκλον θ᾽ ἡλίου προσόψεται.
Ἀλλ᾽ εἶμι, καὶ σὴν ἀγγελῶ παρουσίαν.
Οὐ γάρτι πάντες εὖ φρονοῦσι κοιράνοις,
Ὥϛτ᾽ ἐν κακοῖσιν εὐμενεῖς παρεϛάναι.
Σὺ δ᾽ εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.
ΧΟ Ὦ Ζεῦ, πῶς ἂν πόρος κακῶν (Στρ. ά.)
Γένοιτο καὶ λύσις τύχας,
Ἃ πάρεστι κοιράνοισιν!
Ἔξεισί τις; ἢ τέμω τρίχα,
Καὶ μέλανα ϛολμὸν πέπλων
Ἀμφιϐαλόμεθα δή;
ΘΕ. Δῆλα μὲν, φίλοι,
Δῆλά γ᾽· ἀλλ᾽ ὅμως θεοῖσιν εὐχόμεσθα·
Θεῶν γὰρ δύναμις μεγίϛα.
Ὦναξ Παιὰν,

τούτων τὴν δεξιὰν, προσεῖπε πάντας, καὶ ταῦτα ἀντήκουσε παρ' ἐκείνων· κοὐδεὶς ἦν αὐτῶν οὕτω κακὸς, ὃν ἀπεστέρησε τοῦτο. Τοιαῦτα τοίνυν δεινὰ καὶ καρδίας δηκτήρια γίγνεται ἔνδον Ἀδμήτῳ· ὃς, εἰ ἦν τεθνεὼς, τοῦτ' ἂν μόνον συνήδει κακόν· νῦν δ' ἐς τοσοῦτον πέλαγος ἐλήλακε συμφορῶν, ὥς' οὐκ ἂν ῥαδίως περαιωθείη.

**ΧΟ.** Δίκαιος ἂν εἴη ἐπὶ τούτοις ἐκεῖνος κατολοφύρεσθαι, τοιαύτηςγε ἀφαιρούμενος γυναικός.

**ΘΕ.** Θρηνεῖ γ' οὗτος ἐν ἀγκάλαις τὴν φίλην ἑαυτοῦ βαςάζων γυναῖκα· καὶ δεῖται αὐτῆς μὴ ἀπολιπεῖν, ἀδύνατα ἱκετεύων· φθίνει γὰρ ἐκείνη, τηκομένη τῇ νόσῳ, καὶ τὰς χεῖρας ὅλως παραλυθεῖσα· ἀλλὰ καίτοι μικρὸν ἐμπνεῖ ἔτι, ἀλλ' ὅμως ἐφίεται ἔτι βλέπειν τὸ φῶς τοῦ ἡλίου, ὡς οὐκέτ' αὖθις, ἢ νῦν τὴν ἐκείνου ὀψομένη ἀκτῖνα. Ἀλλ' εἶμι εἴσω, τὴν σὴν ἀγγελοῦσα τοῖς ἐκεῖ παρουσίαν· οὐ γὰρ παρὰ πάντων ὁμοία τοῖς δεσπόταις ἐν συμφοραῖς εὐμένεια γίγνεται· σὺ δὲ ἀρχαῖος αὐτοῖς δεδοκίμασαι φίλος.

**ΧΟ.** Ὦ Ζεῦ, τίς ἂν εἴη τῶν κακῶν θεραπεία, τίς λύσις τῆς τύχης, ἐν ᾗ τὰ Ἀδμήτου νῦν καθέςηκε πράγματα; Ἔςαι τοιοῦτότι ἐν ἐλπίδι, ἢ ἀποκειράμενοι τοὺς βοςρύχους, μελανειμονήσωμεν;

---

200 Στενάζει τοῖσίδ'] ἐν ἄλλοις ςενάζει οἷσι. 207. Βλέψαι πρὸς αὐγὰς] ἐν ἄλλοις κεῖται, κλέψαι προσαυγές· καὶ ἴσως ἄμεινον· εἰ δὲ μὴ, γραπτέον Βλέπειν ἀντὶ τοῦ Βλέψαι.

Ἔξευρε μηχανάν τιν' Ἀδμήτῳ κακῶν,
Πόριζε δὴ, πόριζε·
Καὶ πάρος γὰρ τοῦδ' ἐφεῦρες, καὶ νῦν
Λυτήριος ἐκ θανάτου γενοῦ,
Φόνιόν τ' ἀπόπαυσον ᾅδαν.

ΧΟ. Παπαὶ, φεῦ φεῦ! ἰώ! ἰώ! (Ἀντ. α)
Ὦ παῖ Φέρητος, οἷ' ἔπρα-
ξας, δάμαρτος σᾶς στερηθείς!
Αἶ αἶ, ἄξια καὶ σφαγᾶς τάδε,
Καὶ πλέον, ἢ βρόχῳ δέρην
Οὐρανίῳ πελάσαι.
Τὰν γὰρ οὐ φίλαν,
Ἀλλὰ φιλτάταν γυναῖκα κατθανοῦσαν
Ἐν ἄματι τῷδ' ἐσόψει.
Ἰδού! Ἰδού!
Ἥδ' ἐκ δόμων δὴ καὶ πόσις πορεύεται.
Βόασον, ὦ στέναξον,
Ὦ Φεραία χθὼν, ἀρίσταν τάνδε
Γυναῖκα μαραινομέναν νόσῳ
Κατὰ γᾶν, χθόνιον παρ' Ἅδαν.
Οὔποτε φήσω γάμον εὐφραίνειν
Πλέον, ἢ λυπεῖν,
Τοῖς τε πάροιθεν τεκμαιρόμενος,
Καὶ τάσδε τύχας λεύσσων βασιλέως,
Ὅστις ἀρίστης ἀμπλακὼν ἀλόχου
Τῆσδ' ἀβίωτον
Τὸν ἔπειτα χρόνον βιοτεύσει.

ΘΕ. Δῆλα μὲν, ὦ φίλοι, δῆλάγ' ἐκεῖνα, ὅποι τοῖς δεσπόταις τὸ πρᾶγμα προβήσεται· ἀλλ' ὅμως οὐκ ἀποςέον εὔχεσθαι θεοῖς· τούτων γὰρ ἡ δύναμις κρατεά ἐςι κἀν τοῖς ἀδυνάτοις. Ὦ ἄναξ Παιὰν, πέμψειας λύσιν τινὰ τῶν κακῶν Ἀδμήτῳ ἐν τοιαύτῃ γε συμφορᾷ· δῴης αὐτῷ, ὦ δέσποτα, ἄκος τὶ τῶν κακῶν, ὑφ' ὧν ὀδυνᾶται· ὡς γὰρ πρῴην αὐτῷ ἐγένου σωτὴρ, οὕτω καὶ νῦν ῥῦσαι αὐτῷ τὴν γυναῖκα ἀπὸ τοῦ θανάτου.

ΧΟ. Παπαὶ, ὦ φέρητος παῖ, ἰὼ, ἰὼ, οἷα τυγχάνεις πεπονθὼς, τῆς σαυτοῦ φιλτάτης γυναικὸς ἀποστερηθείς. Α, αἶ, ἄξια σφαγῆς ταῦτα, καὶ πλέον ἢ ἀγχόνῃ χρήσασθαι, ἀπαρτήσανθ' ὑψόθεν ἀπὸ τοῦ ὀρόφου· τήμερον γὰρ μέλλεις ὄψεσθαι γυναῖκα, οὐ γυναῖκα, ἀλλ' ἄλλον σεαυτὸν, νεκρὰν προκειμένην. Ἀλλ' ἰδοὺ, ἰδοὺ αὕτη ἔξεισι μετὰ τοῦ ἀνδρός. Ὦ γῆ Φεραία, βόησον, ὦ γῆ, ςέναζον, τὴν ἀρίστην γυναικῶν ὁρῶσα κατεργαζομένην τῇ νόσῳ, καὶ φθίνουσαν πρὸς τὸν Ἅδην· ἔμοιγ' οὖν οὐκέθ' ὁ γάμος ἔσται πολὺς ἐν λόγοις· οὐ γὰρ μᾶλλον εὐφραίνει, ἢ λυπεῖ τοὺς ἀνθρώπους· τῶν τε πάλαι πολλὰ μαρτυρεῖ μοι τῷ λόγῳ, καὶ τὰ νῦν μάλιστα τῷ Ἀδμήτῳ συμβάντα· ὃς ἀρίστης ἀφαιρούμενος γυναικὸς, ἀβίωτον βίον τὸν ἔπειτα διαβιώσει χρόνον.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΑΛΚΗΣΤΙΣ, ΑΔΜΗΤΟΣ, ΧΟΡΟΣ, ΕΥΜΗΛΟΣ.

ΑΛ. Ἅλιε καὶ φάος ἁμέρας, (Στρ. β'.)
Οὐράνιαί τε δῖναι
Νεφέλας δρομαίου —
ΑΔ. Ὁρᾷ σε κἀμὲ, δύο κακῶς πεπραγότας,
Οὐδὲν θεοὺς δράσαντας, ἀνθ' ὅτου θανῇ.
ΑΛ. Γαῖά τε, καὶ μελάθρων στέγαι, (Ἀντ. β'.)
Νυμφίδιαί τε κοῖται
Πατρῴας Ἰωλκοῦ!
ΑΔ. Ἔπαιρε σαυτὴν, ὦ τάλαινα, μὴ προδῷς·
Λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς·
ΑΛ. Ὁρῶ δίκωπον, ὁρῶ σκάφος· (Στρ. γ'.)
Νεκύων δὲ πορθμεὺς,
Ἔχων χέρ' ἐπὶ κοντῷ,
[Χάρων] μ' ἤδη καλεῖ· τί μέλλεις;
Ἐπείγου· σὺ κατείργεις τάδε· τοῖά με
Σπερχόμενος ταχύνει.
ΑΔ Οἴ μοι! πικράν γε τήνδε μοι ναυκληρίαν
Ἔλεξας· ὦ δύσδαιμον, οἷα πάσχομεν!
ΑΛ Ἄγει μ', ἄγει μέ τις· οὐχ ὁρᾷς; (Ἀντ. γ'.)
Νεκύων ἐς αὐλὰν,
Ὑπ' ὀφρύσι κυαναυγέσι
Βλέπων πτερωτὸς Ἅδας.
Τί ῥέξεις; ἄφες· οἵαν ὁδὸν ἁ δει-
Λαιοτάτα προβαίνω.

263. Τοῖά με] ἐν ἄλλοις τάδ' ἕτοιμα, καὶ ἐν ἄλλοις τάδ' ἕτοιμ', ἅ· οἷον, ἅ ὁ

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΑΛΚΗΣΤΙΣ, ΑΔΜΗΤΟΣ, ΧΟΡΟΣ, ΕΥΜΗΛΟΣ

**ΑΛ.** Ὦ ἥλιε, καὶ φῶς τῆς ἡμέρας, καὶ δῖναι ἐν οὐρανῷ ὠκυπόρου νεφέλης.

**ΑΔ.** Ὁρᾷ οὗτος γ' ἀμφοτέρους ἡμᾶς κακῶς πράσσοντας· μηδὲν δὲ εἰς θεοὺς πλημμελήσαντας, ὥς' ἀποθανεῖν σε.

**ΑΛ.** Καὶ σὺ γῆ, καὶ στέγαι δωμάτων, καὶ θάλαμοι ἐν Ἰωλκῷ νυμφικοί.

**ΑΔ.** Καρτέρει, ὦ τάλαινα, ῥωννυμένη, καὶ μὴ προδῷς ἡμᾶς· ἱκέτευε δὲ θεοὺς τοὺς κρατοῦντας οἰκτεῖραι.

**ΑΛ.** Ὁρῶ ἤδη σκάφος δίηρες προσιόν· ὁ δὲ Χάρων ὁ τῶν νεκρῶν πορθμεὺς, τὴν χεῖρα ἐπὶ τῆς κώπης ἔχων, καλεῖ με, λέγων, τί μέλλεις; ἐπείγου· σὺ δὲ διατρίβεις, τῶν παρ' ἐμοῦ ἑτοίμων ὄντων πάντων· ταῦτ' ἐκεῖνος παρασκευάσας μοι, ἐπισπέρχει.

**ΑΔ.** Οἴμοι, ὡς πικράν μοι τήνδε λέγεις τὴν ναυκληρίαν· ὦ δύστηνος τῶν παρόντων κακῶν.

**ΑΛ.** Ἄγει μ', οὐχ ὁρᾷς; ἀπάγει μέ τις εἰς τὸν χῶρον τῶν τεθνεώτων; ὁ πτερωτὸς ἔσθ' οὗτος καὶ κυανόφρυς Ἅδης· τί ποιεῖς οὗτος; ἄφες μ', ἄφες· ὦ οἵαν ὁδὸν ἀπάγομαι ἡ δειλαία.

---

Χάρων ἐπειγμένως τὰ ἑαυτοῦ παρασκευάζων, ταχύνει· τὸ δὲ, σὺ κατείργεις ἀναφέροιτ' ἂν καὶ πρὸς τὸν Ἄδμητον ἴσως· διεφθαρμένον ἀλλ' οὖν δοκεῖ τοῦτο.

ΑΛ Οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ
Καὶ παισὶν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

ΑΛ. Μέθετε, μέθετέ μ' ἤδη. (Στρ. δ.)
Κλίνατέ μ', οὐ σθένω
Ποσί· πλησίον Ἅδας. σκοτία δ'
[Ἐπ'] ὄσσοισι νὺξ ἐφέρπει.
Τέκνα, τέκν', οὐκ ἔτι δὴ (Ἀντ. δ.)
Οὐκ ἔτι δὴ μάτηρ
Σφῶν ἐστίν· χαίροντες, ἰώ!
Τέκνα τόδε φάος ὁρῷτον.

ΑΛ. Οἴ μοι! τόδ' ἔπος λυπρὸν ἀκούω,
Καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
Μὴ πρός σε θεῶν τλῆς με προδοῦναι,
Μὴ πρὸς παίδων, οὓς ὀρφανιεῖς,
Ἀλλ' ἄνα, τόλμα·
Σοῦ γὰρ φθιμένης, οὐκέτ' ἂν εἴην.
Ἐν σοὶ δ' ἐσμὲν καὶ ζῆν, καὶ μή.
Σὴν γὰρ φιλίαν σεβόμεσθα.

ΑΛ. Ἄδμηθ', (ὁρᾷς γὰρ τἀμὰ πράγμαθ' ὡς ἔχει)
Λέξαι θέλω σοι, πρὶν θανεῖν, ἃ βούλομαι.
Ἐγώ σε πρεσβεύουσα κἀντὶ τῆς ἐμῆς
Ψυχῆς καταστήσασα, φῶς τόδ' εἰσορᾷν,
Θνήσκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ σέθεν,
Ἀλλ' ἄνδρα τε σχεῖν Θεσσαλῶν, ὃν ἤθελον,
Καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι,
Οὐκ ἠθέλησα ζῆν, ἀποσπασθεῖσά σου
Ξὺν παισὶν ὀρφανοῖσιν· οὐδ' ἐφεισάμην,
Ἥβης ἔχουσα δῶρ', ἐν οἷς ἐτερπόμην.

**ΑΔ.** Οἰκτρὰν μὲν, ὦ γύναι, τοῖς φίλοις· οἰκτίω δ' ἔμοιγε καὶ τοῖς παισὶ τοῖσδε, τοῖς τὸ παρὸν μάλιστα πάθος μεριζομένοις.

**ΑΛ.** Μέθετέ με, μέθετε ἤδη· κλίνατέ με· ἀπείρηκα, ἄνερ, οὐκέτι σθένω· ὁ Ἅδης ἐγγύς· σκότος δ' ἠρέμα ἤδη μοι ἐπικάθηται τοῖς βλεφάροις· ὦ τέκνα, τέκνα, οὐκέτ' ἐγὼ, οὐκέθ' ὑμῖν εἰμὶ μήτηρ· ἀλλὰ χαίροντες ζώητε

**ΑΔ.** Οἴμοι, ὡς ἀλγεινὸν τοῦτ' ἀκούω, καὶ θανάτου παντὸς μεῖζόν μοι βάρος φέρον· ἀλλὰ μὴ πρὸς θεῶν τολμήσῃς προδοῦναί με, καὶ πρὸς τῶνδε τῶν παίδων, οὓς καταλείπεις μητρὸς ὀρφανούς· ἀλλ' ἀνασώζου· σοῦ γὰρ θανούσης, οὐδ' ἐμοὶ βιωτὸν ἔσται· ἐν σοὶ γὰρ ἡμῖν τὸ ζῆν, καὶ τὸ μὴ ζῆν πάλιν κεῖται· οὕτω σοῦ τῆς ψυχῆς ἐξηρτήμεθα.

**ΑΛ.** Ἄδμητε· ὁρᾷς γὰρ, ἐν οἷς ἔμοιγε τὰ πράγματα κεῖται· βούλομαί σοι εἰπεῖν, πρὶν θανεῖν, ὃ φρονῶ· σύνοιδας αὐτὸς, ὅσον παρ' ὅλον τὸν ἐμὸν βίον ἐτίμησά σε· καὶ νῦν αὖ ἀντ' ἐμαυτῆς καταστήσασά σε ζῆν, τελευτὴν ἔχω βίου· καὶ παρόν μοι μὴ παθεῖν τοῦτο, ἀλλὰ γήμασθαι, ὃν βουλοίμην τῶν ἐν Θετταλίᾳ εὐδαιμονούντων, καὶ οἶκον ὅλον ἔχειν βασιλικὸν, εἱλόμην μὴ ζῆν, ὥστε σοῦ μὴ ἀποστερηθῆναι σὺν παισὶν ὀρφανοῖς· οὐδ' ἐφεισάμην ἐμαυτῆς, Ἥβης ἤδη ἔχουσα δῶρα, ἐν οἷς

---

276. Οὐ σθένω, πόσι] ἐν ἄλλοις, οὐ σθένω ποσί. 301. Ἥβης] ἐν ἄλλοις, Ἠοῦς.

Καί τοι σ' ὁ φύσας, χ' ἡ τεκοῦσα προὔδοσαν,
Καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
Καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.
Μόνος γὰρ αὐτοῖς ἦσθα· κοὔτις ἐλπὶς ἦν,
Σοῦ κατθανόντος, ἄλλα φυτύσειν τέκνα.
Κἀγὼ τ' ἂν ἔζην, καὶ σὺ τὸν λοιπὸν χρόνον,
Κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος, ἔστενες,
Καὶ παῖδας ὠρφάνευες· ἀλλὰ ταῦτα μὲν
Θεῶν τις ἐξέπραξεν, ὥσθ' οὕτως ἔχειν.
Εἶεν· σὺ μοίνυν τῶνδ' ἀπόμνησαι χάριν·
Αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔ ποτε·
Ψυχῆς γὰρ οὐδέν ἐστιν τιμιώτερον·
Δίκαια δ', ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς
Οὐχ ἧσσον, ἢ 'γὼ, παῖδας, εἴπερ εὖ φρονεῖς·
Τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
Καὶ μὴ 'πιγήμῃς τοῖσδε μητρυιὰν τέκνοις,
Ἥτις κακίων οὖσ ἐμοῦ γυνὴ, φθόνῳ
Τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
Μὴ δῆτα δράσῃς ταῦτά γ', αἰτοῦμαί σ' ἐγώ·
Ἐχθρὰ γὰρ ἡ 'πιοῦσα μητρυιὰ τέκνοις
Τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
Καὶ παῖς μὲν ἄρσην πατέρ' ἔχει πύργον μέγαν,
[Ὃν καὶ προσεῖπε, καὶ προσεῤῥήθη πάλιν.]
Σὺ δ', ὦ τέκνον μοι, πῶς κορευθήσῃ καλῶς;
Ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρί;
Μὴ σοί τιν' αἰσχρὰν προσβαλοῦσα κληδόνα,

316. Ἀνάσχου] ἀναγόρευσον, κατάστησον 326. Ποίας τυχοῦσα] συνήθως τὸ ἐρωτη-

ἐτερπόμην· καίτοι ὅ,τε πατὴρ καὶ ἡ μήτηρ ἀμφότεροι προὔδοσάν σε ἀπὸ τοῦ ἴσου, ὁπότε καλῶς αὐτοῖς εἶχε διὰ γῆρας μακρὸν ἀπαλλαγῆναι τῶν τῇδε· ὃ εὐκλεὲς μὲν αὐτοῖς τε ἦν· σωτήριον δὲ καὶ τῷ υἱῷ μονογενεῖ αὐτοῖς ὄντι· πάλαι γὰρ αὐτοῖς ἀπέγνωσθ' ἕτερον ἕξειν παῖδα, εἴγε σὺ ἀποθάνοις· οὕτω γὰρ ἂν ἐγώ τε συνεβίωσά σοι τὸν ἔπειτα χρόνον, καὶ σὺ ἐν μέρει οὐκ ἂν ἔστενες, τῆς σῆς γυναικὸς ἀπολωλυίας, καὶ τῶν παίδων ὀρφανῶν γενομένων. Ἀλλὰ ταῦτα μὲν, θεῶν οὕτω βουληθέντων, οὐκ ἄλλως ἕξει· σὺ δ' ἀπόμνησαί μοι, ἥν μοι ὀφείλεις χάριν· ἀπαιτῶ δ' αὐτὴν ἀντάξιον μὲν οὔ· τί γὰρ ἂν εἴη ψυχῆς ἐν τῷ βίῳ ἀντάξιον; δικαίαν δὲ, καὶ ἣν αὐτὸς συνερεῖς μοι· ὁρᾷς γὰρ τοὺς παῖδας τούτους; τούτους μὲν, εὖ φρονῶν, φιλεῖς πάντως οὐχ ἧττον, ἢ κἀγώ· τούτους οὖν κατάστησον τοῦ οἴκου δεσπότας· μήδ' ἐπιγήμῃς, μητρυιὰν αὐτοῖς ἐπιστήσας· ἢ οὐχ ὁμοία ἐμοὶ οὖσα ἀρετῇ, οὐκ ἀφέξεται ὄμμα φθονερὸν προσβαλεῖν ἐπ' αὐτούς· φύσει γὰρ πολέμιον μητρυιὰ καὶ ἐχίδνης αὐτῆς ὀργιλώτερον τοῖς ἐκ τῆς πρώτης παισί. Τούτων δ' οὖν ὁ μὲν ἄῤῥην πατέρα ἐν πᾶσιν ἕξει προστάτην· ὃν πολλάκις πατέρα ἑαυτοῦ προσηγόρευσε, καὶ ἀντιπροσηγορεύθη· σὺ δ', ὦ θύγατερ, πῶς; ποίας τυχοῦσα μητρυιᾶς, εὐκλεῶς παρθενεύσῃ; δέος γὰρ μή τινα οἶστρον τῇ σῇ ἐμβαλοῦσα ψυχῇ, διαφθείρῃ

ματικὸν ἀνορθοῖ τὸ σχῆμα τοῦ λόγου, καὶ κατὰ τοῦτο ἔδει εἰπεῖν, Ποίας τεύξῃ· ἀλλ' ὁρῶμεν καὶ Δημοσθένην ἐν ταῖς φοραῖς μάλιστα τοῦ λόγου οὕτω πλαγιάσαντα· ὡς τὸ,

Ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους.
Οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ,
Οὔτ' ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
Παροῦσ', ἵν' οὐδὲν μητρὸς εὐμενέστερον.
Δεῖ γάρ θανεῖν με· καὶ τόδ' οὐκ ἐς αὔριον,
Οὐδ' ἐς τρίτην μοι μηνὸς ἔρχεται κακὸν,
Ἀλλ' αὐτίκ' ἐν τοῖς οὐκέτ' οὖσι λέξομαι.
Χαίροντες εὐφραίνοισθε· καὶ σοὶ μὲν, πόσι,
Γυναῖκ' ἀρίστην ἔστι κομπάσαι λαβεῖν,
Ὑμῖν δὲ, παῖδες, μητρὸς ἐκπεφυκέναι.

ΧΟ. Θάρσει. πρὸ τούτου γὰρ λέγειν οὐ χάζομαι.
Δράσει τάδ', ἤνπερ μὴ φρενῶν ἁμαρτάνῃ.

ΑΔ. Ἔσται τάδ', ἔσται, μὴ τρέσῃς· ἐπεί σ' ἐγὼ
Καὶ ζῶσαν εἶχον, καὶ θανοῦσ' ἐμὴ γυνὴ
Μόνη κεκλήσῃ, κοὔτις ἀντὶ σοῦ ποτε
Τόνδ' ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται.
Οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς,
Οὔτ' εἶδος ἄλλως ἐκπρεπεστάτη γυνή.
Ἅλις δὲ παίδων· τῶνδ' ὄνησιν εὔχομαι
Θεοῖς γενέσθαι· σοῦ γὰρ οὐκ ὠνήμεθα.
Οἴσω δὲ πένθος οὐκ ἐτήσιον τόδε,
Ἀλλ' ἔστ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ γύναι,
Στυγῶν μὲν, ἥ μ' ἔτικτεν, ἐχθαίρων δ' ἐμὸν
Πατέρα· λόγῳ γὰρ ἦσαν, οὐκ ἔργῳ, φίλοι.
Σὺ δ' ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα
Ψυχῆς ἔσωσας· ἆρά μοι στένειν πάρα,
Τοιᾶσδ' ἁμαρτάνοντι συζύγου σέθεν;

---

Σοὶ ξενείας μέτεστιν; πόθεν λαβόντι, καὶ πῶς ἀξιωθέντι. 333. Μηνὸς] Οὐκοῦν πρώτη

σοι τὴν παρθενίαν ἐν ἥβης ἀκμῇ· οὐκέτι γάρ σε μήτηρ οὔτε νυμφεύσει, οὔτε τίκτουσάν σε, ἔνθ' οὐδὲν μάλισθ' ἥδιόν ἐστι μητρὸς παρεστώσης, ἀναθαῤῥυνεῖ· ὁρᾷς γὰρ ἤδη ἐμὲ τὰ λοίσθια πνέουσαν· καὶ τοῦτ' οὐκ εἰς αὔριον, ἢ τὴν τρίτην, ἀλλ' αὐτίκα μάλα ἐν τοῖς νεκροῖς ἀριθμήσομαι. Ἀλλ ὦ παῖδες, χαίρετέ μοι· χαῖρε καὶ σὺ, ὦ ἄνερ· ἔσται γὰρ ὑμῖν ἀμφοτέροις μέγα φρονεῖν ἐν μέρει, σοὶ μὲν ἀρίστην ἐμὲ γυναῖκα λαβεῖν, ὑμῖν δ' αὖ, ὦ παῖδες, τοιαύτης μητρὸς γενέσθαι.

ΧΟ. Θάῤῥει· ὑπὲρ γὰρ τούτου οὐκ ἐνδοιάζω· δράσει γὰρ πάντ' Ἄδμητος, εἰ πάρεστιν αὐτῷ τὸ φρονεῖν.

ΑΔ. Ἔχ' ἀτρέμας, ὦ φίλη· ἔσται σοι ταῦτα πρὸς ἐμοῦ· μηδὲν δειλιάσῃς· σὺ γὰρ καὶ ζῶσα καὶ τεθνηκυῖά μοι γυνὴ μόνη ἔσῃ· καὶ οὐκέτ' ἀνὴρ Θετταλίδος ἑτέρας κληθήσομαι, οὐμενον· οὔτε γὰρ πατρὸς οὕτως εὐγενοῦς, οὕτω κάλλει ὑπερφέρουσα ἄλλη ἐστὶν ἐν Θετταλίᾳ· ἅλις δέ μοι καὶ παίδων, καὶ μόνον ὀναίμην τούτων, ἐπείγε πρὸς σοῦ οὐκ εὐτύχησα τοῦτο· ἧς πένθος ἔσται μοι οὐκ ἐπέτειον μόνον, ἅπας δ' ὁ βίος ὅλως· καὶ μέμφομαί γε τοὺς τεκόντας δικαίως, ὡς λόγῳ μόνῳ, οὐ μὴν δὲ καὶ ἔργῳ μοι φίλους ὄντας· σὺ δ' ὅμως αὐτὴ σεαυτὴν ἀφοσιώσασα ἀντ' ἐμοῦ τῷ θανάτῳ, διέσωσάς με· πῶς οὖν οὐκ ἂν διατελοίην στενάζων παρὰ πάντα τὸν βίον, τοιαύτης γυναικὸς ἀπεστερημένος; οὐκέτι παρ' ἐμοὶ κῶμος, οὐκέθ'

---

τὴν μηνός, ὅτε ἔμελλε θανεῖσθαι· εἰ μὴ διείληπται ἁπλῶς ἀντὶ τοῦ χρόνου· ἢ τοῦ λοιποῦ ἑξῆς βίου. 338. Οὐ χάζομαι] οὐ διστάζω· ἐν ἄλλοις δὲ, οὐχ ἅζομαι. 343. Τόνδε τὸν ἄνδρα] δεικτικῶς εἰς πρῶτον πρόσωπον· συχνὸν δὲ τοῦτο

Παύσω δὲ κώμους, ξυμποτῶν θ' ὁμιλίας
Στεφάνους τε, μοῦσάν θ', ἣ κατεῖχ' ἐμοὺς δόμους
Οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι,
Οὔτ' ἂν φρέν' ἐξαίροιμι πρὸς Λίβυν λακεῖν
Αὐλόν· σὺ γάρ μου τέρψιν ἐξείλου βίου.
Σοφῇ δὲ χειρὶ τεκτόνων δέμας τὸ σὸν
Εἰκασθὲν ἐν λέκτροισιν ἐκταθήσεται,
Ὧ προσπεσοῦμαι, καὶ περιπτύσσων χέρας,
Ὄνομα καλῶν σὸν, τὴν φίλην ἐν ἀγκάλαις
Δόξω γυναῖκα, καίπερ οὐκ ἔχων, ἔχειν·
Ψυχρὰν μὲν, οἶμαι, τέρψιν, ἀλλ' ὅμως βάρος
Ψυχῆς ἀπαντλοίην ἄν· ἐν δ' ὀνείρασι
Φοιτῶσά μ' εὐφραίνοις ἄν· ἡδὺ γὰρ φίλος
Κἂν νυκτὶ λεύσσειν, ὅντιν' ἂν παρῇ χρόνον.
Εἰ δ' Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
Ὥς τὴν κόρην Δήμητρος, ἢ κείνης πόσιν
Ὕμνοισι κηλήσαντά, σ' ἐξ Ἅδου λαβεῖν,
Κατῆλθον ἄν· καί μ' οὔθ' ὁ Πλούτωνος κύων,
Οὔθ' οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
Ἔσχον, πρὶν ἐς φῶς σὸν καταστῆσαι βίον.
Ἀλλ' οὖν ἐκεῖσε προσδόκα μ', ὅταν θάνω,
Καὶ δῶμ' ἑτοίμαζ', ὡς συνοικήσουσά μοι.
Ἐν ταῖσιν αὐταῖς γάρ μ' ἐπισκήψω κέδροις
Σοὶ τούσδε θεῖναι, πλευρά τ' ἐκτεῖναι πέλας

παρ' αὐτῷ. 357· Βαρβίτου] ὄργανον τοῦτο μουσικὸν βαρύχορδον καὶ βαρύτονον. 369. Ὀρφέως] Εὐριδίκης δειχθείσης ὑπ' ἐχίδνης, καὶ ἀποθανούσης, Ὀρφεὺς κατελθὼν εἰς ᾅδου, καὶ μέλος ἀναβαλλόμενος, οἷον κηλῆσαι Πλούτωνα

ὁμιλία συμποτῶν, οὐ ϛέφανος, οὔτε μοῦσα, ἣ πρὶν διηνεκὴς τὸν ἐμὸν οἶκον κατεῖχεν· οὐ γὰρ οὔτ' ἂν βαρβίτου ἁψαίμην ἔτι, οὔτ' ἐπαροῦμαι πρὸς αὐλὸν Λύδυν ᾆσαι· τὸ γὰρ ἡδύνον μου τὸν βίον ἀφαιρήσῃς αὐτὴ μεθιϛαμένη· τὸ δέ γε σῶμα τὸ σὸν, χειρὶ τέκτονος κατασκευασθὲν εὐφυῶς, φίλον μοι κείσεται ἄγαλμα ἐν εὐνῇ, ᾧ συνευναζόμενος, καὶ προσπτύσσων, τό,τ' ὄνομα τὸ σὸν καλῶν ἐν αὐτῷ, δόξω τὴν ἐμαυτοῦ φίλην γυναῖκα, καί περ μὴ ἔχων, ἔχειν· ψυχρὰν μὲν ταύτην, εὖ οἶδα, χάριν, ἀλλ' ὅμως τὸ πολὺ τῆς λύπης ἀποσκευάζω· σὺ δ' ἐν ὀνείροις μοι προσφοιτῶσα, εὐφραίνοις ἂν ἄθλιον ἄνδρα. εἴγ' ἡδὺ φίλος κἂν ὕπνοις ἐπιϛὰς, ἐν ᾧ ἂν ἐπιφαίνηται χρόνῳ· εἰδέ μοι εἴη γλῶσσα καὶ μοῦσα ἡ τοῦ Ὀρφέως, οἷς Πλούτωνα καὶ τὴν Κόρην κηλήσας ἂν, οἷός τε εἴην ἀναλαβεῖν σε αὖ ἐς τὸν βίον, εἰδέ ςμε ἂν κατελθόντα ἐκεῖσε· καὶ μήθ' ὁ κύων τοῦ Πλούτωνος, μήθ' ὁ νεκροπομπὸς Χάρων ἐπέσχον ἄν με, πρὶν ἀπαγαγεῖν σε ἄνω παρὰ τὸ φῶς· νῦν δὲ τούτου γε ἀμηχάνου μοι ὄντος, ἐκεῖ με θανόντα προσδέχου, οἴκημα ἀμφοτέροις ταὐτὸν, ἐν ᾧ δεήσει ἡμᾶς ἐξ ὑπαρχῆς συνοικεῖν, εὐτρεπίσασα· ἐγὼ γὰρ μέλλων τεθνήξεσθαι, ἐπισκήψω τουτοισὶ τῇ αὐτῇ σοι σορῷ καὶ τἀμὰ ἐναποθέσθαι ὀϛέα· οὐδὲ γὰρ

---

καὶ Περσεφόνην, ἀνέλαβε τὴν ἑαυτοῦ φίλην γυναῖκα, καὶ ἀνήγαγεν εἰς τ φῶς. 378. Σοὶ τούσδε θεῖναι, πλευράτ' ἐκτεῖναι πέλας] ἐν ἄλλοις κεῖται ὧδε. Σοὶ τἀμὰ θεῖναι πλευρὰ, συνθεῖναι πέλας· ἄμεινον ἂν εἴη τὸ πρῶτον· τὸ δὲ

Πλευροῖσι τοῖς σοῖς· μηδὲ γὰρ θανών ποτε
Σοῦ χωρὶς εἴην, τῆς μόνης πιστῆς ἐμοί!
ΧΟ. Καὶ μὴν ἐγώ σοι πένθος, ὡς φίλος φίλῳ,
Λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.
ΑΛ. Ὦ παῖδες, αὐτοὶ δὴ τάδ' εἰσηκούσατε
Πατρὸς λέγοντος, μὴ γαμεῖν ἄλλην ποτὲ
Γυναῖκ' ἐφ' ὑμῖν, μηδ' ἀτιμάσειν ἐμέ·
ΑΔ. Καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.
ΑΛ. Ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.
ΑΔ. Δέχομαι φίλον γε δῶρον ἐκ φίλης χερός.
ΑΛ. Σὺ νῦν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.
ΑΔ. Πολλή γ' ἀνάγκη σοῦ γ' ἀπεστερημένοις.
ΑΛ. Ὦ τέκν', ὅτε ζῆν χρῆν μ', ἀπέρχομαι κάτω.
ΑΔ. Οἴ μοι, τί δράσω δῆτα σοῦ μονούμενος;
ΑΛ. Χρόνος μαλάξει σ'· οὐδέν ἐσθ' ὁ κατθανών.
ΑΔ. Ἄγου με σύν σοι πρὸς θεῶν, ἄγου κάτω.
ΑΛ. Ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν.
ΑΔ. Ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς!
ΑΛ. Καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
ΑΔ. Ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις, γύναι.
ΑΛ. Ὡς οὐκέτ' οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
ΑΔ. Ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδα σέθεν.
ΑΛ. Οὐ δῆθ' ἑκοῦσά γ', ἀλλὰ χαίρετ', ὦ τέκνα.
ΑΔ. Βλέψον πρὸς αὐτοὺς, βλέψον.

---

Τούσδε, ἀποδοτέον εἰς τὸ Θεῖναι ἀπαρεμφατικῶς. 393. Μαλάξει] ὁ χρόνος, φησὶ παρ' ἡμέραν ἐς λήθην φέρων, ἐξαλείψει τὸν πόθον, καὶ ῥάωσε ἀπεργάσεται· καὶ ὁ θανὼν οὐδὲν ἔσται καὶ στίχ. 1106. 400. Οὐδὲν ἂν λέγοις ἐμὲ] μὴ κά-

τοῦ βίου μετάξας, ἀποςήσομαι ἔγωγέ σου, πιςοτάτης μοι οὕτω γεγενημένης.

ΧΟ. Καὶ μὴν κἀγὼ, φιλίας ἐκπληρῶν χρέος, συνθρηνήσωσι Ἄδμητε, ὑπὲρ τῆςδε, ὡς ἀξίαςγε οὔσης.

ΑΛ. Ἠκούσατε τοίνυν ὑμεῖς, ὦ παῖδες, οἷα ὑπισχνεῖταί μοι ὁ πατὴρ, μήποτ' ἄλλην γυναῖκα λήψεσθαι ἐφ' ὑμῖν, μήδ' ἀτιμάσειν ἐμέ.

ΑΔ. Οὐ μόνον δὲ, ἀλλὰ τούτοις καὶ τέλος ἐπιθήσειν.

ΑΛ. Ἐπὶ τούτοις οὖν παρακατατίθεμαί σοι τοὺς παῖδας.

ΑΔ Ἰδοὺ δέχομαι τούτους ἐκ χειρὸς φίλης φίλους.

ΑΛ. Καὶ γενοῦ αὐτὸς ἀντ' ἐμοῦ αὐτοῖς μήτηρ.

ΑΔ. Πολλή γ' ἀνάγκη, σοῦ ἀπεςερουμένοις.

ΑΛ. Ὦ τέκνα, ὅτε δεῖ με ζῆν, τότε δὴ ἀποθνήσκω.

ΑΔ. Οἴμοι· ἐγὼ δὲ, σοῦ χηρεύσας, τί δράσω;

ΑΛ Ο χρόνος μαλάξει σε, παρήκοντος τοῦ πάθους.

ΑΔ. Ἄγου με σὺν σοὶ, πρὸς θεῶν εἰς τὸν ᾅδην.

ΑΛ Ἅλις ἐμοῦ τῆς ὑπὲρ σοῦ θνησκούσης.

ΑΔ. Ὦ τύχη, οἵα με δρᾷς, οἵας ἀποςεροῦσα.

ΑΛ. Ἀτρέμας ὁρῶ ὑπὸ βλεφάροις σκότος.

ΑΔ. Ἀπώλεσάς με, ἐάν με καταλίπῃς.

ΑΛ. Ὡς μὴ ζῶσάν με ἔτι, μηκέτι κάλει.

ΑΔ. Ἀνόρθωσον τὸ πρόσωπον, καὶ μὴ προδῷς τοὺς παῖδας.

ΑΛ. Οὐχ ἑκοῦσα μὲν, ἀλλὰ χαίρετ', ὦ παῖδες.

ΑΔ. Βλέψον πρὸς θεῶν, βλέψον πρὸς τούτους αὖθις.

---

λει με πλέον, μηδὲ διαλέγου πρός με. ὡς μηκέτι ζῶσαν· καὶ ταῦτ' εἰποῦσα ἔκλινε τὴν κεφαλὴν πρὸς ψυχορραγίαν. 402. Χαίρετ' ὦ τέκνα] ἐν ἄλλοις,

ΑΛ. Οὐδέν εἰμ' ἔτι.
ΑΔ. Τί δρᾷς; προλείπεις;
ΑΛ. Χαῖρ'.
ΑΔ. Ἀπωλόμην τάλας.
ΧΟ. Βέβηκεν, οὐκέτ' ἐστὶν Ἀδμήτου γυνή.
ΕΥ. Ἰώ μοι τύχας! (Στρ.)
Μαῖα δὴ κάτω βέβηκεν, οὐκέτ' ἐστὶν, ὦ·
Πάτερ, ὑφ' ἁλίῳ.
Προλυποῦσα δ' ἐμὸν βίον
Ὠρφάνισε τλάμων.
Ἴδε γὰρ, ἴδε βλέφαρον καὶ
Παρατόνους χέρας.
Ὑπάκουσον, ἄκουσον, ὦ
Μᾶτερ, ἀντιάζω.
Ἐγώ σ' ἐγὼ, μᾶτερ,
Νῦν γε καλοῦμαι ὁ σὸς ποτὶ σοῖσι πι-
Τνῶν στόμασι νεοσσός.
ΑΔ. Τὴν οὐ κλύουσαν, οὐδ' ὁρῶσαν· ὥστ' ἐγὼ
Καὶ σφῶ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.
ΕΥ. Νέος ἐγὼ, πάτερ, (Ἀντ.)
Λείπομαι φίλας μονόστολός τε ματρός· ὦ
Σχέτλια δὴ παθὼν
Ἐγὼ ἔργα * * *
* * * * * * * * *
Σύ τέ μοι, σύγκασι κούρα,
Συνέτλας· [ὦ] πάτερ
Ἀνόνατ', ἀνόνατ' ἐνύμ-
Φευσας, οὐδὲ γήρως
Ἔβας τέλος σὺν τᾷδ'·
Ἔφθιτο γὰρ πάρος· οἰχομένας δέ σου,
Μᾶτερ, ὄλωλεν οἶκος

ΑΛ. Οὐκέθ' ὑμῖν ἐγώ.

ΑΔ. Τί δρᾷς; προλείπεις;

ΑΛ. Χαῖρε.

ΑΔ. Ἀπωλόμην ὁ τάλας.

ΧΟ. Ὤχετο, καὶ οὐκέτ' ἐςὶν ἡ γυνὴ τοῦ Ἀδμήτου.

ΕΥ. Οἴμοι τῷ δυστήνῳ· τέθνηκεν ἡ μήτηρ, πάτερ· οὐκέθ' ἡμῖν ἐςιν· ἀποθανοῦσα δὲ, κατέλιπέ με ὀρφανόν· ὦ δύςηνος ἐγώ· ἴδε τὸ βλέφαρον τουτὶ καὶ τὰς χεῖρας ὅλως παρειμένας· ἀλλ' ὦ μῆτερ, ἐπάκουσον δεομένου· ἄκουσον, ὦ μῆτερ, τοῦ παιδός σου καλοῦντος· ὅς, ὡς νεοττὸς, τῷ σῷ προσέπιπτον ςόματι.

ΑΔ. Καλεῖς τὴν μήτ' ἀκούουσαν, μήτε ὁρῶσαν ἔτι· ὥς' ἐγώ τε καὶ ὑμεῖς βαρείᾳ περιπεπτώκαμεν συμφορᾷ.

ΕΥ. Νέον ἔλιπέ με μόνον, ὦ πάτερ, ἡ φίλη μήτηρ· ὦ οἷα πέπονθ' ὁ τάλας ἐγὼ, διὰ βίου ἀποςερηθεὶς τῆς μητρός· καὶ σύγ' ὦ ἀδελφὴ, ταὐτά μοι φέρουσα κακά· ὡς ἀνόνητ', ἀνόνητ', ὦ πάτερ, ἐνυμφεύθης, μὴ συγγηράσκων τῇδε, ἣ ἔφθη ἀποθανοῦσα· ἀλλ' ὦ μῆτερ, ἀπολωλυῖα, τὸν πάντα συναπώλεσας οἶκον.

---

χαιρέτω τέκνα. 406. Μαῖα] μαῖα μὲν κυρίως ἡ παρισταμένη ταῖς τικτούσαις καὶ ὀμφαλοτόμος· λέγοιντο δ' ἂν καὶ ἡ μάμμη καὶ μήτηρ, καὶ πᾶσα γυνὴ πρεσβῦτις, καὶ μάλιστα ὑπὸ τῶν παιδίων. 425. Ἐγὼ ἔργα] ἐν ἄλλοις δὲ ταῦθ' οὕτω κεῖται.

« Ἐγὼ ἔργα [μακρὸν φίλης
» Ματέρος στερηθείς.] »

ΧΟ. Ἄδμητ', ἀνάγκη τάσδε συμφορὰς φέρειν·
Οὐ γάρ τι πρῶτος, οὐδὲ λοίσθιος βροτῶν
Γυναικὸς ἐσθλῆς ἤμπλακες· γίγνωσκε δὲ,
Ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.

ΑΔ. Ἐπίσταμαί γε, κοὐκ ἄφνω κακὸν τόδε
Προσέπτα· εἰδὼς δ' αὔτ' ἐτειρόμην πάλαι·
Ἀλλ' (ἐκφορὰν γὰρ τοῦδε θήσομαι νεκροῦ,)
Πάρεστε, καὶ μένοντες ἀντηχήσατε
Παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
Πᾶσιν δὲ Θεσσαλοῖσιν, ὧν ἐγὼ κρατῶ,
Πένθος γυναικὸς τῆσδε κοινοῦσθαι λέγω
Κουρᾷ ξυρήκει καὶ μελαμπέπλῳ στολῇ·
Τέθριππά τε ζεύγνυσθε, καὶ μονάμπυκας
Πώλους σιδήρῳ τέμνετ' αὐχένων φόβην·
Αὐλῶν δὲ μὴ κατ' ἄστυ, μὴ λύρας κτύπος
Ἔστω σελήνας δώδεκ' ἐκπληρουμένας·
Οὐ γάρ τιν' ἄλλον φίλτερον θάψω νεκρὸν
Τοῦδ', οὐδ' ἀμείνον' εἰς ἔμ'· ἀξία δέ μοι
Τιμῆς, ἐπεὶ τέθνηκεν ἀντ' ἐμοῦ μόνη.

ΧΟ. Ὦ Πελίου θύγατερ, (Στρ. ά.)
Χαίρουσά μοι εἰν Ἀΐδα δόμοισι
Τὸν ἀνάλιον οἶκον οἰκετεύοις.
Ἴστω δ' Ἀΐδης ὁ μελαγχαίτας
Θεὸς, ὅς τ' ἐπὶ κώπᾳ
Πηδαλίῳ τε γέρων
Νεκροπομπὸς ἵζει,
Πολὺ δὴ, πολὺ δὴ γυναῖκ' ἀρίσταν
Λίμναν Ἀχεροντίαν πορεύσας
Ἐλάτᾳ δικώπῳ.

ΧΟ. Ἄδμητε, δεῖσε τὰς παρούσας συμφορὰς ἀναγκαίως φέρειν, εἰδὼς, ὡς πᾶσιν ἀνθρώποις ὀφείλεται ἅπαξ ἀποθανεῖν· καὶ ὡς οὐ μόνον αὐτὸς μήτε πρῶτος, μήθ' ὕστατος ἀγαθῆς ἀπεστέρησαι γυναικός.

ΑΔ. Οἶδα μὲν πάλαι ἐσόμενον τοῦτο, καὶ οὐκ αἴφνης νῦν προσπεσόν· διὸ καὶ διετέλουν νικώμενος τῇ λύπῃ· ἀλλὰ νῦν γε πρόσιτε· βούλομαι γὰρ ἐκφορὰν ποιήσασθαι τοῦ νεκροῦ καὶ παρασκευάσαντες, παιανίσατε ἀσπόνδῳ Πλούτωνι· ἐγὼ δὲ προστάττω πᾶσι Θεσσαλοῖς, ἐφ' ὅσον τοὐμὸν ἐξικνεῖται κράτος, κοινῇ συμπενθῆσαι τήνδε τὴν ἀρίστην γυναῖκα, τήν τε κόμην ἀποκειραμένους, καὶ στολὴν μέλαιναν μετημφιεσμένους· ζεύγνυσθέ τε τέθριππα, καὶ κέλητας ἵππους ἀποκείρατε χαίτην· αὐλὸς δὲ, λύρα τε, καὶ μοῦσα πᾶσα ἐν τῇ πόλει ταύτῃ παυέσθω καθάπαξ ἐς ἐνιαύσιον κύκλον ἡλίου· φίλτερον γὰρ καὶ εἰς ἐμὲ ἀρείω γεγενημένον οὐδέποτε ἔγωγε θάψω νεκρόν. διὸ καὶ πλείστης τιμῆς ἀξία ἔμοιγ' ἥδε, ἀντ' ἐμοῦ εἱλομένη ἀποθανεῖν.

ΧΟ. Ὦ θύγατερ Πελίου, χαίρουσα κατοικοίης τὸν ἐν ᾅδου ζοφώδη οἶκον· ἴστω δ' ὁ μελανόθριξ θεὸς ἐκεῖνος, καὶ Χάρων ὁ νεκροπομπὸς, ὁ ἐπὶ τῆς κώπης καὶ τοῦ πηδαλίου, ὡς ἀρίστην γυναῖκα ἐν διήρει πλοίῳ διεπόρθμευσεν ἐπὶ τῆς Ἀχερουσίας.

---

Οἱ δὲ παρέλκον τοῦτο κρίναντες, διέγραψαν, μὴ δέον. 440. Ἤμπλακες] παρὰ τὸ ἀναπλάκειν κατὰ συγκοπὴν ἀμπλάκειν, ἤμπλακον· ἢ παρὰ τὸ ἀμπλακεῖν. 446. ἀσπόνδῳ τῷ μὴ δεχομένῳ σπονδὰς ἐπὶ συμβιβάσει τοῦ μὴ ἀποθανεῖν μόνος γὰρ θάνατος οὐ πείθεται λόγοις, οὐ δελεάζεται δώροις, οὐ νεύει θυσίαις

Πολλά σε μουσοπόλοι (Ἀντ. Α΄.)
Μέλψουσι καθ' ἑπτάτονόν τ' ὀρείαν
Χέλυν, ἔν τ' ἀλύροις κλείοντες ὕμνοις
Σπάρτᾳ, κύκλος ἀνίκα Καρνείου
Περινείσεται ὥρα
Μηνὸς ἀειρομένας
Παννύχου σελάνας,
Λιπαραῖσί τ' ἐν ὀλβίαις Ἀθάναις.
Τοίαν ἔλιπες θανοῦσα μολπὰν
Μελέων ἀοιδοῖς.
Εἴθ' ἐπ' ἐμοὶ μὲν εἴη, (Στρ. Β΄.)
Δυναίμαν δέ σε πέμψαι
Φάος ἐξ Ἀΐδα τεράμνων,
Κωκυτοῦ τε ῥεέθρων
Ποταμίᾳ νερτέρᾳ τε κώπᾳ!
Σὺ γὰρ, ὦ μόνα, ὦ φίλα γυναικῶν.
Σύ γε τὸν σαυτᾶς ἔτλας
Πόσιν ἀντὶ σᾶς ἀμεῖψαι
Ψυχᾶς ἐξ ᾅδα· κούφα σοι
Χθὼν ἐπάνωθεν πέσοι, γύναι!
Εἰ δέ τι καινὸν ἕλοιτο πόσις λέχος,
Ἦ μάλ' ἐμοί γ' ἂν εἴη
Στυγηθεὶς, τέκνοις τε τοῖς σοῖς.
Ματέρος οὐ θελούσας (Ἀντ. Β΄.)
Πρὸ παιδὸς χθονὶ κρύψαι
Δέμας, οὐδὲ πατρὸς γεραιοῦ
* * * * * * *
Ὃν ἔτεκον δ', οὐκ ἔτλαν ῥύσασθαι
Σχετλίω, πολιὰν ἔχοντε χαίταν·

Ἀλλ' ἐν μυρίᾳ ᾠδῇ ἔσῃ σύγε, ὦ ἀρίστη, παρὰ μουσοπόλοις ἔντε τῇ Σπάρτῃ, ἀγομένων τῶν Καρνείων ἐν πλησιφαεῖ τῇ σελήνῃ, κἀν ταῖς κλειναῖς καὶ ὀλβίαις Ἀθήναις ουχ' ἧττον ἑπταχόρδοις σε ἀναμέλψουσι λύραις, καὶ ἐν ὕμνοις ἀπὸ στόματος ᾄσουσι· τοιαύτην σύγ' ἀποθανοῦσα μελῳδοῖς ὕμνων παρέσχες ὑπόθεσιν.

Εἴθε μοι ἐξῆν, κώπης τῆς κάτω δραξάμενον, αναπορθμεῦσαί σε εἰς τὸ φῶς ἐκ τῶν ὁρίων τοῦ Ἅδου, καὶ τῶν ῥείθρων τοῦ κωκυτοῦ· σὺ γὰρ μόνη, μόνη, ὦ φιλτάτη, πασῶν γυναικῶν, ὑπέστης τὸν σαυτῆς ἄνδρα ἀνταλλάξασθαι τῆς σῆς ψυχῆς πρὸς τὸν Ἅδην· ἔχοις τοίνυν γαῖαν ἐλαφράν· εἰ δὲ ὁ σὸς ἀνὴρ ἕλοιτο δευτέραν ἀγαγέσθαι γυναῖκα, ἐμοί τε καὶ τοῖς ἑαυτοῦ παισὶν ἀξιομίσητος ἔσται.

Ἐπειδὴ γὰρ οὔθ' ὁ πατὴρ, οὔθ' ἡ μήτηρ ὑπέμειναν προαποθανεῖν τοῦ παιδὸς, ὃν ἐγείναντο, οὔθ' ὑπέστησαν, καίπερ προβεβηκότες ἡλικίᾳ οἱ σχέτλιοι, ῥύσασθαι αὐτὸν τοῦ θανάτου, σὺ ἐν ὥρᾳ ἀκμάζουσα ὑπὲρ ἀκμά-

---

ἄκαμπτος δεομένοις, ἀνίλεως πάσχουσι. 464. Χέλυν] χελώνην, τὴν λύραν λέγει, ἀπὸ τοῦ μέρους τὸ ὅλον· ἡ γὰρ βάσις καὶ κεφαλὴ τοῦ ὀργάνου ἐκ Χελώνης ὀςέου ἠσκεῖτο τοῖς ἀρχαίοις, ὡς καὶ παρὰ Λουκιανῷ ἔστιν ἰδεῖν πολλαχῇ. 465. Κύκλος] ἐν ἄλλοις, κυκλὰς, ἐπιθετικῶς πρὸς τὸ, ὥρα· ὃ καὶ ἄμεινον. Καρναῖος δὲ μὴν ἦν, ὅτε οἱ Λακεδαίμονες ἦγον τὰ Κάρνεια, ἑορτὴν ταύτην εἰς τιμὴν τοῦ Ἀπόλλωνος· τὸ δὲ περινείσεται ἐν ἄλλοις, περινίσσεται κεῖται. 486. Δέμας] μετὰ τον στίχον τοῦτον ἐν ἄλλοις μεσολλαβεῖ κἀκεῖνος. » Θάνατόν

Σὺ δ' ἐν ἥβα νέα νέου
Προθανοῦσα φωτὸς, οἴχῃ.
Τοιαύτας εἴη με κυρῆσαι
Συνδυάδος φίλας ἀλόχου·
Τοῦτο γὰρ ἐν βιότῳ σπάνιον μέρος·
Ἦ γὰρ ἐμοί γ' ἄλυπος
Δι' αἰῶνος ἂν ξυνείη!

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ, ΑΔΜΗΤΟΣ, ΦΕΡΗΣ.

ΗΡ. Ξένοι, Φεραίας τῆσδε κωμῆται χθονὸς,
Ἄδμητον ἐν δόμοισιν ἆρα κιγχάνω;
ΧΟ. Ἔστ' ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.
Ἀλλ' εἰπὲ, χρεία τίς σε Θεσσαλῶν χθόνα
Πέμπει, Φεραίων ἄστυ προσβῆναι τόδε;
ΗΡ. Τιρυνθίῳ πράσσω τίν' Εὐρυσθεῖ πόνον.
ΧΟ. Καὶ ποῖ πορεύῃ; τῷ ξυνέζευξαι πλάνῳ;
ΗΡ. Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.
ΧΟ. Πῶς οὖν δυνήσῃ; μῶν ἄπειρος εἶ ξένου;
ΗΡ. Ἄπειρος· οὔπω Βιστόνων ἦλθον χθόνα.
ΧΟ. Οὐκ ἔστιν ἵππων δεσπόσαι σ' ἄνευ μάχης.
ΗΡ. Ἀλλ' οὐδ' ἀπειπεῖν μ' ἦν πόνους οἷόν τέ μοι.
ΧΟ. Κτανὼν ἄρ' ἥξεις, ἢ θανὼν αὐτοῦ μενεῖς.
ΗΡ. Οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.

ζοντος ἀνδρὸς, ἀνεδέξω ἑκούσιον θάνατον· τοιαύτης συζύγου εἴη μοι τυχεῖν· τάχα γὰρ ἀλύπως μετ' ἀλλήλων τὸν ἅπαντα βίον διάγοιμεν· ἀλλὰ τοῦτογε σπάνιον παρ' ἀνθρώποις.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ, ΑΔΜΗΤΟΣ, ΦΕΡΗΣ.

ΗΡ. Ὦ ξένοι, πολῖται τῆσδε τῆς Φεραίας γῆς, ἆρ' ἔνδον ἔστιν Ἄδμητος;

ΧΟ. Ἔνδον, Ἡράκλεις· σὺ δ' εἴποις ἂν ἡμῖν, τίς χρεία, τίνος σε πέμψαντος, ἤγαγε δεῦρο.

ΗΡ. Ἐπ' ἀγῶνά τινα ἥκω, πέμψαντος Εὐρυσθέως.

ΧΟ. Ποῖ δήποτ' ἰὼν, ἐπὶ τάδε περιπλανᾷ;

ΗΡ. Πρὸς τὸ τέθριππον ἅρμα Διομήδους ἐν Θράκῃ.

ΧΟ. Καὶ πῶς ἂν οἷόςτε εἴης; μῶν οὐκ οἶσθα τὸν ἄνδρα;

ΗΡ. Δοκῶ μὲν, οὐδέπω δὲ εἰς Βίστονας ἦλθον.

ΧΟ. Οὐκοῦν χαλεπὸν ἀμαχεὶ κρατεῖν τῶν ἵππων.

ΗΡ. Ἀλλ' ἡ φύσις μοι μηδέποτ' ἀπειπεῖν πρὸς ἀγῶνας.

ΧΟ. Δυοῖν θάτερον, ἢ ἥξεις ἀνελὼν, ἢ ἡττηθεὶς τεθνήξῃ.

ΗΡ. Ἐθὰς ἐγὼ ἀγώνων, κοὐ τοῦτον πρῶτον τρέχω.

---

σφοῦ παιδὸς ἀπείργειν » οἱ δὲ ὡς παρέλκον (οὐ καλῶς οἶμαι) διέγραψαν. 489 Εἴημε κυρῆσαι] γέρων ὢν ὁ Χορὸς εὔχεται τυχεῖν εὐδαίμονος γάμου· ἑρμηνευτέον τοίνυν μᾶλλον. Εἴθε ἤνμοι κυρῆσαι. 505. Διομήδους] ἴδε και Ἡρακλεῖ

ΧΟ. Τί δ' ἂν, κρατήσας δεσπότην, πλέον λάβοις;
ΗΡ. Πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.
ΧΟ. Οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.
ΗΓ. Εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.
ΧΟ. Ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.
ΗΡ. Θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων, λέγεις.
ΧΟ. Φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας·
ΗΡ. Τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;
ΧΟ. Ἄρεος, ζαχρύσου Θρῃκίας πέλτης ἄναξ.
ΗΡ. Καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις,
(Σκληρὸς γὰρ ἀεὶ καὶ πρὸς αἶπος ἔρχεται,)
Εἰ χρή με παισὶν, οἷς Ἄρης ἐγείνατο,
Μάχην ξυνάψαι, πρῶτα μὲν Λυκάονι,
Αὖθις δὲ Κύκνῳ, τόνδε δ' ἔρχομαι τρίτον
Ἀγῶνα πώλοις, δεσπότῃ τε συμβαλῶν.
Ἀλλ' οὔτις ἐστὶν, ὃς τὸν Ἀλκμήνης γόνον
Τρέσαντα χεῖρα πολεμίαν ποτ' ὄψεται.
ΧΟ. Καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονὸς
Ἄδμητος ἔξω δωμάτων πορεύεται.
ΑΔ. Χαῖρ', ὦ Διὸς παῖ Περσέως ἀφ' αἵματος.
ΗΡ. Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.
ΑΔ. Θέλοιμ' ἄν· εὔνουν δ' ὄντα σ' ἐξεπίσταμαι.
ΗΡ. Τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;
ΑΔ. Θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν.
ΗΡ. Ἀπ' οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.

---

στίχ. 381. 518. Πρὸς αἶπος] πρὸς τὸ ἄναντες καὶ ἐπίπονον· ἐννοεῖ δὲ τὸ μέλλειν προσκρούσειν τῷ Ἄρει· οὗ καὶ δύο ἔτι παῖδας ἦν προαπολωλεκὼς

ΧΟ. Κρατήσαντι δὲ, τί τοὐντεῦθένσοι ἔσται;
ΗΡ. Τοὺς ἵππους λαβὼν, ἀπάξω πρὸς Εὐρυσθέα.
ΧΟ. Χαλεπόνγε χαλινὸν ἐμβαλεῖν τούτοις.
ΗΡ. Εἰ μὴ πῦρ ἀπὸ τῶν ἑαυτῶν ἐκπνέουσι μυκτήρων.
ΧΟ. Ἀλλὰ κρεουργοῦσι τοὺς τυχόντας τοῖς ὀδοῦσι.
ΠΡ. Θηρῶν βορὰν, οὐχ ἵππων λέγεις χόρτον.
ΧΘ. Ὄψει τὰς φάτνας αὐτῶν καθῃμαγμένας.
ΗΡ. Ὁ δὲ θρέψας τίνος παῖς αὐχεῖποτε γενέσθαι;
ΧΟ. Οὐκ οἶσθα τὸν Ἄρεως, τὸν Θρᾴκης τυραννοῦντα;
ΗΡ. Ἔμελλεν ἄρ' οὑμὸς δαίμων καὶ τοῦτόνμοι ἐπιθήσειν τὸν ἆθλον· σκληρὸς γὰρ ᾀεὶ ἐπ' ἐμὲ, καὶ πόνων ἄλλοτ' ἄλλων ἐπίφορος, εἴγε πρὸς τῷ Λυκάονα καὶ Κύκνον τοὺς τοῦ Ἄρεως καταπολεμῆσαι, καὶ πρὸς τρίτον νῦν ἀγωνισόμενος ἥκω· ἀλλ' οὐκ ἂν εἴη, ὃς ὄψεταί ποτε τὸν Ἀλκμήνης πολεμίων ἰσχὺν δεδιότα.
ΧΟ. Καὶ μὴν ὁρᾷς Ἄδμητον τὸν τῆςχώρας τῆσδε κρατοῦντα, τῆς οἰκίας ἐκεῖθεν ἐξερχόμενον δεῦρο.
ΑΔ. Χαῖρε, ὦ παῖ Διὸς, καὶ Περσέως ἀπόγονε.
ΗΡ. Νὴ καὶ σύγε, ὦ Ἄδμητε, Θεσσαλῶν τούτων ἄναξ.
ΑΔ. Εἴημοι· ἀλλὰ σύνοιδά σε ἐμαυτῷ εὐνοοῦντα.
ΗΡ. Τί ποτέ σοι βούλεται τὸ πένθιμον τοῦτο σχῆμα;
ΑΔ. Νεκρόνγε τινὰ μέλλω τήμερον θάψειν.
ΗΡ. Θεὸς ἀπείργοι μακρὰν τῶν σῶν τέκνων τοῦτο.

---

Λυκάωνα καὶ Κύκνον τὸν δεύτερον. 531. Περσέως] Διὸς μὲν καὶ Δανάης γίνεται Περσεύς· τούτου δὲ, Ἀλκαῖος· Ἀλκαίου δὲ, Ἀμφιτρύων καὶ Ἠλεκτρύων·

ΑΔ. Ζῶσιν κατ' οἴκους πατέρες, οὓς ἔφυσ' ἐγώ.
ΗΡ. Πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.
ΑΔ. Κἀκεῖνός ἐστι χ' ἡ τεκοῦσά μ', Ἡράκλεις.
ΗΡ. Οὐ μὴν γυνή γ' ὄλωλεν Ἄλκηστις σέθεν;
ΑΔ. Διπλοῦς ἐπ' αὐτῇ μῦθος ἔστι μοι λέγειν.
ΗΡ. Πότερα θανούσης εἶπας, ἢ ζώσης πέρι;
ΑΔ. Ἔστιν τε κοὐκέτ' ἐστὶν, ἀλγύνει δέ με.
ΗΡ. Οὐδέν τι μᾶλλον οἶδ'· ἄσημα γὰρ λέγεις.
ΑΔ. Οὐκ οἶσθα, μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;
ΗΡ. Οἶδ' ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.
ΑΔ. Πῶς οὖν ἔτ' ἔστιν, εἴπερ ᾔνεσεν τάδε.
ΗΡ. Ἆ' μὴ πρόκλα' ἄκοιτιν, ἐς τόδ' ἀναβαλοῦ.
ΑΔ. Τέθνηχ' ὁ μέλλων, κοὐκέτ' ἔστ' ὁ κατθανών.
ΗΡ. Χωρὶς τό,τ' εἶναι καὶ τὸ μὴ νομίζεται.
ΑΔ. Σὺ τῇδε κρίνεις, Ἡράκλεις, κείνῃ δ' ἐγώ.
ΗΡ. Τί δῆτα κλαίεις; τίς φίλων ὁ κατθανών;
ΑΔ. Γυνή γυναικὸς ἀρτίως μεμνήμεσθα.
ΗΡ. Ὀθνεῖος, ἤ σοι συγγενὴς γεγῶσά τις;
ΑΔ. Ὀθνεῖος, ἄλλως δ' ἦν ἀναγκαία δόμοις.
ΗΡ. Πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον;
ΑΔ. Πατρὸς θανόντος, ἐνθάδ' ὠρφανεύετο.
ΗΡ. Φεῦ.
Εἴθ' εὕρομέν σ', Ἄδμητε, μὴ λυπούμενον!
ΑΔ. Ὡς δὴ τί δράσων, τόνδ' ὑπορράπτεις λόγον;
ΗΡ. Ξένων πρὸς ἄλλην ἑστίαν πορεύσομαι.

---

ὁ μὲν, ἀνὴρ τῆς Ἀλκμήνης· ὁ δὲ, πατὴρ αὐτῆς. 541. Διπλοῦς . . . Μῦθος] ἀμφίβολος ὁ λόγος αὐτῷ ἐξῆς πρὸς τὸν Ἡρακλέα, ἢ ὅτι θέλει κρύπτειν αὐτὸν

ΑΔ. Παῖδες μὲν καλῶς ἔχουσιν, ἔνδον ὄντες.
ΗΡ. Τὸν δὲ πατέρα φής; οὐδὲν πρὸς λύπην γέρων.
ΑΔ. Ζῇ δὲ κἀκεῖνος, καὶ ἡ τεκοῦσ' ὁμοίως.
ΗΡ. Οὐκ ἂν εἴποιμι τὴν Ἄλκηστιν τεθνάναι.
ΑΔ. Περὶ δὲ ταύτης διπλοῦς ἡμῖν ὁ λόγος.
ΗΡ. Πότερον ὡς ζώσης, ἢ τεθνηκυίας λέγεις;
ΑΔ. Ζῶσα καὶ μὴ ζῶσα ἐμὲ καιρίως δάκνει.
ΗΡ. Καὶ ταῦτ' ἀσαφῆ οὐχ ἧττον, ἢ τὰ πρῶτα.
ΑΔ. Οὐκ οἶσθ' οἵ' αὐτῇ ἐπέκλωσεν ἡ μοῖρα;
ΗΡ. Οἶδ' ἀντὶ σοῦ ἀποθανεῖν δεξαμένην.
ΑΔ. Πῶς οὖν ἂν ζῴη, ἐκεῖνο γ' ὑποστᾶσα;
ΗΡ. Ἆ· ἀναβαλοῦ τὸν θρῆνον εἰς τὸν καιρὸν τοῦ πάθους.
ΑΔ. Μέλλειν καὶ τεθνάναι τί ἂν διαφέροι;
ΗΡ. Ὅσον γε τὸ εἶναι τοῦ μηδόλως εἶναι.
ΑΔ. Σοὶ μὲν τοῦτο, ἐμοὶ δ' ἐκεῖνο δοκεῖ μᾶλλον.
ΗΡ. Πρὸς τί οὖν θρηνεῖς, τίνος τοῦτο παθόντος;
ΑΔ. Γυνή ἡ οὗ τοῦτ' ἀρτίως εἴρηταί μοι;
ΗΡ. Πότερον ὀθνεία, ἢ συγγενὴς ἦν αὕτη;
ΑΔ. Ὀθνεία μεν, ἀλλὰ χρησιμωτάτη.
ΗΡ. Ἀνάγκη δὲ τίς θανεῖν αὐτὴν ἐνταῦθα;
ΑΔ. Ὀρφανὴ πατρὸς οὖσα, παρ' ἡμῖν διεβίου.
ΗΡ. Ὡς μὴ ὤφειλον λυπούμενον εὑρεῖν σε.
ΑΔ. Πρὸς τί τοῦτο λέγεις; ἢ τί μέλλεις δράσειν;
ΗΡ. Ἐφ' ἑτέραν οἰκίαν ξένου τινὸς ἰέναι.

---

τὸ πάθος, ἵνα μὴ ἀπέλθῃ· ἢ παριστᾷ αὐτὸν ὁ ποιητὴς προφητεύοντα περὶ τῆς ἀναστάσεως τῆς γυναικὸς, ἣν ἄλλως ἀγνοεῖ. 554. Ὀθνεῖος] οὐ συγγενὴς ἐξ αἵματος, ἀλλὰ ξένη· χρῆται ἀμφιβόλοις ὀνόμασι πρὸς τὸ κρύψαι τὸ πάθος.

ΑΔ. Οὐκ ἔστιν, ὦναξ· μὴ τοσόνδ' ἔλθοι κακόν.
ΗΡ. Λυπουμένοις ὀχληρὸς, εἰ μόλοι, ξένος.
ΑΔ. Τεθνᾶσιν οἱ θανόντες· ἀλλ' ἴθ' ἐς δόμους.
ΗΡ. Αἰσχρὸν παρὰ κλαίουσιν θοινᾶσθαι ξένους.
ΑΔ. Χωρὶς ξενῶνές εἰσιν, οἷ σ' ἐσάξομεν.
ΗΡ. Μέθες με, καί σοι μυρίαν ἕξω χάριν.
ΑΔ. Οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν.
Ἡγοῦ σὺ, τῶνδε δωμάτων ἐξωπίους
Ξενῶνας οἴξας, τοῖς τ' ἐφεστῶσι φράσον,
Σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλήσατε
Θύρας μεσαύλους· οὐ πρέπει θοινωμένους
Κλύειν στεναγμῶν, οὐδὲ λυπεῖσθαι ξένους.
ΧΟ. Τί δρᾷς, τοσαύτης ξυμφορᾶς προκειμένης,
Ἄδμητε; τολμᾷς ξενοδοχεῖν; τί μῶρος εἶ;
ΑΔ. Ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
Ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπήνεσας;
Οὐ δῆτ', ἐπεί μοι ξυμφορὰ μὲν οὐδὲν ἂν
Μείων ἐγίγνετ', ἀξενώτερος δ' ἐγώ.
Καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακὸν,
Δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
Αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
Ὅταν περ Ἄργους διψίαν ἔλθω χθόνα.
ΧΟ. Πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
Φίλου μολόντος ἀνδρὸς, ὡς αὐτὸς λέγεις;
ΑΔ. Οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
Εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.
Καὶ τῷ μὲν, οἶμαι, δρῶν τάδ', οὐ φρονεῖν δοκῶ,

---

572. Μεσαύλους θύρας] μεταξὺ ἀνδρωνίτιδος καὶ γυναικωνίτιδος, ἣν ἡ μέσαυ-

ΑΔ. Οὐδαμῶς σύγ', ὦ ἄναξ, μή μοι γένοιτο τοῦτο.

ΗΡ. Ἐπαχθὴς γὰρ ἐλθὼν ἐςὶν ὁ ξένος λυπουμένοις.

ΑΔ. Τέθνηκεν, ὃς τέθνηκεν· ἀλλ' ἴθι εἴσω.

ΗΡ. Οὐ καλὸν δακρύοις ξένια συμφύρειν.

ΑΔ. Χωρὶς ὁ ξενὼν, εἰς ὃν εἰσάγομέν σε.

ΗΡ. Εἰ μεθείης με, πολλήν σοι χάριν ἕξω.

ΑΔ. Μή μοι γένοιτο τοῦθ', ὥςε σε παρ' ἄλλῳ τῳ καταλύσαι· σὺδ' ὦ πρόσπολε, ἡγούμενος τῷ ξένῳ, ἄνοιξον αὐτῷ τοὺς ὄπισθεν ξενῶνας· τοῖς τ' ἐφεςῶσι φράσον σίτων ἀφθονίαν αὐτῷ παραθεῖναι· τὰς δὲ μεσαύλους τῶν θυρῶν κλείσατε· οὐ γὰρ καλὸν ἀκούειν θρήνων, ἐσθίοντας τοὺς ξένους· λύπην γὰρ φέρει τοῦτο.

ΧΟ. Τί τοῦτ', Ἄδμητε, δρᾷς αὐτὸς, ἐν τοιαύτῃ γε συφορᾷ ἀνεχόμενος χαρίζεσθαι ξένοις; ὦ μῶρε σύγε.

ΑΔ. Τίδε; εἰ ἀπεσόβουν πανταχόθεν ἄνδρα ξένον ἐλθόντα, καλὸν ἂν ἦν ἔργον δεδρακώς; οὐκ ἂν εἴποις· οὔτε γὰρ τὸ τῆς συμφορᾶς ἐντεῦθέν μοι ἠλαττοῦτ' ἂν, καὶ τὰ πρὸς τοὺς ξένους ἐγὼ κακός· ὃ προσθήκη μοι ἂν ἦν τῶν κακῶν τὸ τὸν ἐμὸν οἶκον ἄξενον δόξαι εἶναι· ἐγὼ γὰρ ἐπειδὰν τύχω ἀπιὼν εἰς τὸ ἄνυδρον Ἄργος, ὑποδοχῆς πρὸς αὐτοῦ τυγχάνω τῆς ἀρίςης.

ΧΟ. Πρὸς τί οὖν ἔκρυψας αὐτὸ τὰ παρόντα δυςυχήματα, φίλον γε ὄντα, ὡς ὁ λόγος ὁ σός;

ΑΔ. Οὐ γὰρ ἂν εἰσήει, εἴτι τούτων ἦν ᾐσθημένος· κἀκεῖνος μὲν ἄφρονά με ἐπὶ τούτοις ἐρεῖ, οὕτω πράξαντα ταῦτα,

---

λος, στοὰ, ἢ δῶμα περίστυλον διαχωρίζον τὴν οἰκίαν· ὃ νῦν ἡ συνήθεια σάλαν

Οὐδ' αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται
Μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους.
ΧΟ. Ὦ πολύξεινος καὶ ἐλεύθερος (Στρ. ά.)
Ἀνδρὸς ἀεί ποτ' οἶκος,
Σέ τοι καὶ ὁ Πύθιος εὐλύρας Ἀπόλλων
Ἠξίωσε ναίειν,
Ἔτλα δὲ σοῖσι μηλονόμας
Ἐν δόμοις γενέσθαι,
Δοχμιᾶν διὰ κλιτύων
Βοσκήμασι σοῖσι συρίζων
Ποιμνίτας ὑμεναίους.
Σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελέ- (Ἀντ. ά.)
Ων βαλιαί τε λύγκες,
Ἔβα τε λιποῦσ' Ὄθρυος νάπαν λεόντων
Ἁ δαφοινὸς ἴλα.
Ἐχόρευσε δ' ἀμφὶ σὰν κιθάραν,
Φοῖβε, ποικιλόθριξ
Νεβρὸς ὑψικόμων πέραν
Βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,
Χαίρουσ' εὔφρονι μολπᾷ.
Τοιγὰρ πολυμηλοτάταν (Στρ. β'.)
Ἑστίαν οἰκεῖς παρὰ καλλίναον
Βοιβίαν λίμναν· ἀρότοις δὲ γυᾶν
Καὶ πεδίων δαπέδοις ὅρον
Ἀμφὶ μὲν ἀελίου κνεφαίαν
Ἱππόστασιν αἰθέρα τὰν
Μολοσσῶν τίθεται,
Πόντιον τ' Αἰγαῖον ἐπ' ἀκτὰν
Ἀλίμενον Πηλίου κρατύνει.
Καὶ νῦν δόμον ἀμπετάσας, (Ἀντ. β'.)
Δέξατο ξεῖνον νοτερῷ βλεφάρῳ,
Τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν

καὶ μέμψεταί γε εὖ οἶδ' ἐγώ· οὐδέποτε δ' ἐρεῖ τὸν ἐμὸν οἶκον ξενοδιώκτην εἶναι.

ΧΟ. Ὦ πολύξενος καὶ ἐλεύθερος ἀεὶ Ἀδμήτου οἶκος, σέγε καὶ ὁ Πύθιος Ἀπόλλων ὁ μάλιστα χαίρων λύρᾳ, κατηξίωσεν οἰκεῖν, ποιμὴν παρὰ σοὶ γενέσθαι καταδεξάμενος, κατά τε νάπας καὶ ὀργάδας ἀνακεκλιμένας ὑμεναίους ποιμενικοὺς τοῖς βοσκήμασι μέλπων.

Ἔνθα λύγκες τε ποικίλαι, καὶ τάγματα λεόντων φοβερῶν, τὰς τοῦ Ὄθρυος καταλιπόντες νάπας, συνεποιμαίνοντο, τῷ τῶν μελῶν ἀπαγωγῷ τε καὶ εὐρύθμῳ κηλούμενοι, ἀλλὰ καὶ ὁ ποικιλόθριξ νεβρὸς περὶ τὴν σὴν, ὦ Φοῖβε, χορεύει κιθάραν, διὰ τῶν ὑψικόμπων ἐλατῶν κουφοτάτῳ σκιρτῶν ποδὶ, τῇ τῆς ᾠδῆς ἐπαγόμενος ἁρμονίᾳ.

Οὕτω σύγ', ὦ Ἄδμητε, πολυθρέμμονα κέκτησαι οἶκον περὶ τὴν Βοιβίαν καλλίρρoον λίμνην, ὅρον τῆς ἀροσίμου καὶ πεδινῆς γῆς, πρὸς μὲν δυόμενον ἥλιον, τὸν ὁρίζοντα τῶν Μολοσσῶν· πρὸς δὲ ἀνίσχοντα, τὸ Αἰγαῖον πέλαγος, καὶ το Πήλιον τιθέμενος ὅρος.

Νῦν δ' ὑποδεδακρυμένοις βλεφάροις τὸν τῆς φίλης γυναικὸς νεκρὸν ὀδυρόμενος, ὑποδοχῇ τοῦ ξένου ἀγάλ-

---

λέγει· λαμβάνεται δὲ ὡς ἐνταῦθα καὶ ἐπιθετικῶς, μέσαυλος θύρα. 597. Δοχμιῶν διὰ κλιτύων] μήτι γραπτέον, δοχμίων, ἵν ᾖ ἐπίθετον, οἷον, δοχμία κλιτύς; σημαίνει δὲ τόπον ἀγεώργητον σύνδενδρον θάμνοις, κεκλιμένον. 602. Ὄθρυς] ὄρος ἐν τῇ Φθιώτιδι, τανῦν Ἱερακόβωνον καλούμενον. 606. Πέραν ἐλατᾶν] διὰ τῶν, ἢ ὑπὲρ τὰς ἐλάτας. 615. Τίθεται] μετέβη εἰς τρίτον πρόσωπον ἀπροσδοκήτως· ἡ δὲ θέσις, σὺ ὦ Ἄδμητε τίθεσαι ὅρον τοῖς ἀρότοις τῶν γαιῶν καὶ δαπέδοις τῶν πεδίων πρὸς μὲν τὴν κνεφαίαν ἱππόστασιν τοῦ ἡλίου, τὴν τῶν Μολοσσῶν αἰθέρα· πρὸς δὲ τὸ Αἰγαῖον, κρατύνεις τὴν ἀλίμενον ἀκτὴν τοῦ Πηλίου· τὸ μὲν οὖν Γύα οὐ μόνον γῆ, ἀλλὰ καὶ μέτρον ἐστὶ γῆς, Ἱππόστασις δὲ κνεφαία, ἔνθα δυόμενος ὁ ἥλιος ἵστησιν ἐν τῷ σκότῳ τοὺς

Δώμασιν ἀρτιθανῆ· τὸ γὰρ
Εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ.
Ἐν τοῖς ἀγαθοῖσι δὲ πάντ'
Ἔνεστιν σοφίας.
Πρὸς δ' ἐμᾷ ψυχᾷ θράσος ἧσται,
Θεοσεβῆ φῶτα κεδνὰ πράξειν.

ΑΔ. Ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
Νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόσπολοι
Φέρουσιν ἄρδην πρὸς τάφον τε καὶ πυράν.
Ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,
Προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.

ΧΟ. Καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ
Στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ
Κόσμον φέροντας, νερτέρων ἀγάλματα.

ΦΕ. Ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·
Ἐσθλῆς γὰρ, (οὐδεὶς ἀντερεῖ) καὶ σώφρονος
Γυναικὸς ἡμάρτηκας· ἀλλὰ ταῦτα μὲν
Φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα·
Δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς
Ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεὼν,
Ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,
Καί μ' οὐκ ἄπαιδ' ἔθηκεν, οὐδ' εἴασε, σοῦ
Στερέντα, γήρᾳ πενθίμῳ καταφθίνειν,
Πάσαις δ' ἔθηκεν εὐκλεέστατον βίον
Γυναιξὶν, ἔργον τλᾶσα γενναῖον τόδε.
Ὦ τόνδε μὲν σώσασ', ἀναστήσασα δὲ
Ἡμᾶς πιτνοῦντας, χαῖρε, κἀν Ἅδου δόμοις
Εὖ σοι γένοιτο! φημὶ, τοιούτους γάμους
Λύειν βροτοῖσιν, ἢ γαμεῖν οὐκ ἄξιον.

λεται, εἰσαγαγὼν εἰς τὸν οἶκον· οἱ γὰρ ἀγαθοὶ, φρονήσεως καὶ σοφίας μετέχοντες, τὸ εὐγενὲς ἀεὶ αἰδοῖ κεχραμένον ἐνδείκνυνται· ἐντεῦθέν μοι πολλὴ ἐλπὶς ὡς θεοσεβῆ ἄνδρα τοῦτον εὖ πράξειν.

ΑΔ. Ἄνδρες Φεραῖοι, ὅσοι μοι σὺν εὐνοίᾳ πάρεστε ὧδε, τὸν μὲν νεκρὸν τουτονὶ, ὁρᾶτε δήπου, εὖ ἠσκημένον κόσμῳ, ἐκφέρουσιν οἱ θεράποντες πρὸς τὴν πυρὰν καὶ τὸν τάφον· ὑμεῖς δὲ προσείπατε τὴν θανοῦσαν, ὡς ἔθος, τὰ ὕστατ' ἤδη ἐξερχομένην ἐντεῦθεν.

ΧΟ. Καὶ μὴν πατήρ γ' ὁ σὸς ἐκεῖνος γηραιῷ ποδὶ σπεύδει δεῦρο, θεράποντας ἐπαγόμενος, κόσμον φέροντας τῷ νεκρῷ· οἷς μάλισθ' οἱ κάτω ἀγάλλονται.

ΦΕ. Ἥκω, ὦ παῖ, ἐπὶ ταῖς παρούσαις συμφοραῖς σοι ἀλγήσας· ἐσθλῆς γὰρ καὶ σώφρονος (τίς ἀντερεῖ;) ἀπεστέρησαι γυναικός· ἀλλὰ ταῦτα, καίπερ κρείττω ὄντα, ἢ ὥστε φέρειν, ἀναγκαίως δεῖ φέρειν· σὺ δέ μοι λάβε τὸν κόσμον τοῦτον συνταφησόμενον τῷ νεκρῷ· χρὴ γὰρ τὸ κείνης σῶμα ὡς ἀξίας τιμᾶσθαι· ἀντὶ γάρ σου τυγχάνει τεθνηκυῖα, ὑποστᾶσα μὴ ἄπαιδά με θεῖναι, μήτ' ἐᾶσαί με εἰς πένθιμον ἐλάσαι γῆρας, ἐπὶ τῇ σῇ καταφθίνοντα ἀπωλείᾳ· γενναῖον τοῦτ' ἔργον γυναικὸς ἀρίστης· ὃ εὐκλεεστάτην αὐτὴν θήσει ἐν πάσαις γυναιξίν. Ἀλλ' ὦ τὸν ἐμὸν τοῦτον σώσασα παῖδα, καὶ ἡμᾶς πίπτοντας ἀναστήσασα, χαῖρε, εὖ πράττουσα καὶ ἐν ᾅδου· παρ' ἐμοὶ γὰρ κριτῇ δυοῖν θάτερον συμφέρει ἀνθρώποις, ἢ γαμοῦντας τοιαύτας γαμεῖν, ἢ ἀπέχεσθαι ὅλως γάμου.

ἵππους. Αἰθέρα δὲ λέγει αὐτὸν τὸν ὁρίζοντα. 625. Ἧσται] καθῆσται, κάθηται 629. Ἄρδην] φοράδην. 649. Δύειν] λυσιτελεῖν· οὕτω καὶ Ἱππολ. στίχ. 444.

ΑΔ. Οὔτ' ἦλθες ἐς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον,
Οὔτ' ἐν φίλοισι σὴν παρουσίαν λέγω.
Κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται.
Οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.
Τότε ξυναλγεῖν χρῆν σ', ὅτι ὠλλύμην ἐγώ.
Σὺ δ' ἐκποδὼν στὰς, καὶ παρεὶς ἄλλῳ θανεῖν
Νέῳ, γέρων ὢν, τόνδ' ἀποιμώξῃ νεκρὸν;
Οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατὴρ,
Οὐδ' ἡ τεκεῖν φάσκουσα καὶ κεκλημένη
Μήτηρ μ' ἔτικτε, δουλίου δ' ἀφ' αἵματος
Μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.
Ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν, ὃς εἶ,
Καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι.
Ἦ τἄρα πάντων διαπρέπεις ἀψυχίᾳ,
Ὃς τηλίκος δ' ὢν, κἀπὶ τέρμ' ἥκων βίου,
Οὐκ ἠθέλησας, οὐδ' ἐτόλμησας θανεῖν
Τοῦ σοῦ πρὸ παιδὸς, ἀλλὰ τήνδ' εἰάσατε
Γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα,
Πατέρα τέ γ' ἐνδίκως ἂν ἡγοίμην μόνην.
Καίτοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω,
Τοῦ σοῦ πρὸ παιδὸς κατθανὼν, βραχὺς δέ σοι
Πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος·
Κἀγὼ τ' ἂν ἔζην, χ' ἥδε τὸν λοιπὸν χρόνον,
Κοὐκ ἂν μονωθεὶς, ἔστενον κακοῖς ἐμοῖς.
Καὶ μὴν, ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα,
Πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,

---

662. Καὶ μ' οὐ νομίζω παῖδα] ὀρθόν· ἐν δὲ πεζῷ λόγῳ μᾶλλον οὕτω, Κἀγὼ

ΑΔ. Τίς σε εἰς τὴν ἐκφορὰν ταύτην τῆς ἐμῆς ἤγαγε γυναικός; ἐγὼ γὰρ οὐκ οἶδά σε καλέσας· οὐκ οἶσθα τὴν σαυτοῦ παρουσίαν μὴ φίλην μοι οὖσαν ἔν γε τοῖς παροῦσιν; καὶ ὡς τὸν κόσμον τοῦτον ἐκείνη οὐδέποτε καταδέξεται; οὐδενὸς γὰρ ἐνδεῖ αὐτῇ τῶν σῶν πρὸς ταφήν· ἐχρῆν γάρ σε τότε συναναδέξασθαι θρήνους, ὅτε με τὸ χρεὼν κατέπειγε μεταστῆναι εἰς ᾅδου· ἐκστὰς δὲ τέως, καὶ γέρων ὤν, νέῳ παρεὶς ἀποθανεῖν, πῶς ἂν σύ γε τόνδε τὸν νεκρὸν προσποιήσαιο ἀποιμώζειν; οὐκ ἄρ' ἐμοῦ γνήσιος ἦσθα πατὴρ, οὐδ' ἡ ἐμὲ τεκεῖν φάσκουσα, καὶ καλουμένη μήτηρ, ἐστὶν ἀληθῶς ἡ τεκοῦσα· ἀλλ' ἐκ δούλων τινὸς γεννηθέντα με ὑποβαλλομένη, καὶ τὸν ἑαυτῆς μαςὸν νόθον μοι ὑποσχοῦσα· μέγαν γάρ μοι παρέσχες ἔλεγχον, ἐξ ὧν ἔπραξας, ὅςτις εἶ· ἐφ' οἷς οὐ πέποιθ' ὅλως σὸς παῖς πεφυκέναι· εἰ δὲ μὴ, δειλότατον ἁπάντων ἂν εἴης ἀνδράποδον, εἴγε τηλικοῦτος ὤν, καὶ εἰς ἔσχατον γῆρας ἐληλακὼς, οὐχ ὑπέστης προαποθανεῖν τοῦ παιδός· ἀλλ' ἐάσατε τήνδε τοῦθ' ὑποστῆναι, γυναῖκα οὖσαν· ἣν ἐγὼ ἀντὶ πατρὸς καὶ μητρὸς δίκαιος ἂν εἴην ἡγεῖσθαι ἐμαυτῷ· καίτοι σοί τε εὐκλεὲς ἂν ἦν ἐς τὸν ἔπειτα χρόνον τοιοῦτον ἀγῶν' ἀγωνίσασθαι ὑπὲρ τοῦ παιδὸς προαποθανόντα, ἡνίχ' ὁ λοιπός σοι βίος ἐστὶ βραχύς· ἐγώ τε συνέζων τῇδε τὸ πλεῖστον ἐξῆς ἀστενακτεὶ ἐπὶ τοῖς παροῦσι· τίς τίνος γὰρ ἔτι σοι ἐλπὶς ὑπελείπετο, ὧν ἀνδρὶ δέοι πρὸς εὐδαιμονίαν; σύ

---

οὐ νομίζω παῖς σὸς πεφυκέναι. 664. Ὃς τηλίκος δ' ὢν] ἐν ἄλλοις, ἔθ' ἥλικος

Παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων,
Ὥστ' οὐκ, ἄτεκνος κατθανὼν, ἄλλοις δόμον
Λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
Οὐ μὴν ἐρεῖς γέ μ', ὡς ἀτιμάζοντα σὸν
Γῆρας, θανεῖν προὔδωκας, ὅστις αἰδόφρων
Πρός σ' ἦν μάλιστα, κἀντὶ τῶνδέ μοι χάριν
Τοιάνδε καὶ σὺ, χ' ἡ τεκοῦσ' ἠλλαξάτην.
Τοιγὰρ φυτεύων παῖδας οὐκ ἔτ' ἂν φθάνοις,
Οἳ γηροβοσκήσουσι, καὶ θανόντα σε
Περιστελοῦσι, καὶ προθήσονται νεκρόν.
Οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί.
Τέθνηκα γὰρ δὴ τοὐπί σ'· εἰ δ' ἄλλου τυχὼν
Σωτῆρος αὐγὰς εἰσορῶ, κείνου λέγω
Καὶ παῖδά μ' εἶναι, καὶ φίλον γηροτρόφον.
Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
Γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.
Ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
Θανεῖν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.

ΧΟ. Παύσασθ'· ἅλις γὰρ ἡ παροῦσα συμφορὰ,
Ὦ παῖ· πατρὸς δὲ μὴ παροξύνῃς φρένα.

ΦΕ. Ὦ παῖ, τίν' αὐχεῖς, πότερα Λυδὸν, ἢ Φρύγα,
Κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν;
Οὐκ οἶσθα Θεσσαλόν με, κἀπὸ Θεσσαλοῦ
Πατρὸς γεγῶτα, γνησίως ἐλεύθερον;
Ἄγαν ὑβρίζεις, καὶ νεανίας λόγους
Ῥίπτων ἐς ἡμᾶς, οὐ βαλὼν, οὕτως ἄπει.

---

δ' ὤν. 692. Κακοῖς] κακοῖς λόγοις, ἀντὶ τοῦ κακῶς· ἢ ἐν κακοῖς τοῖς σοῖς· ἴσως δὲ γραπτέον, Δοκεῖς, ἀντὶ τοῦ, κακοῖς. 696. Οὐ βαλὼν οὕτως ἄπει] πότερον, ἄπει μηδὲν ἡμᾶς βαλὼν, καίτοι ἔῤῥιψας ἐφ' ἡμᾶς λόγους, ὥσπερ λίθους· ἢ ἐπειδὴ ἔβαλες ἡμᾶς τοῖς λόγοις, ὥσπερ λίθοις, οὐκ ἄπει (ἀναχωρή

τε γὰρ διεβίωσας ἐν τῇ τυραννίδι, καὶ τὸν τῶν πραγμάτων διάδοχον ἔσχες ἐμὲ αὐτὸν, μηδὲν δεδιὼς, μὴ ἄτεκνος ἀποθανὼν, ἄλλοις καταλίπῃς διαρπάσαι τὸν οἶκον. Ἀλλ' οὐδ' ἐκεῖνο ἐρεῖς, ὅτι προὔδωκάς με, ὡς ἀχάριστον ὄντα· οἶσθα γάρ με παρὰ πάντα τὸν βίον, σεβόμενον ὑμᾶς τὰ εἰκότα· ἀλλ' ἀντὶ τούτων τοιαύτην μοι ἀντετίσατε χάριν ἀμφότεροι. Οὐκοῦν σπεῦσον δευτέρων τέκνων καταβαλεῖν ἀρχήν· οἵ σε γηροτροφήσαντες, συγκλείσουσι καὶ τὸ ὄμμα ἀποθανόντος, καὶ περιστείλαντες ἀξίως, προθήσονται· ἐμὲ γὰρ οὐκέθ' ἕξεις, ὥστε θιγεῖν σου ἀποθανόντος τῇ ἐμαυτοῦ χειρὶ τῇδε· τὸ γὰρ ἐπί σοι τυγχάνω προαπολωλώς· εἰ δὲ ὁρῶ ἔτι τὸ φῶς τουτὶ τοῦ ἡλίου, ἑτέρῳ τοῦτο ἀπόκειται χάρις· ἐκείνου τοίνυν ἔγωγ' ἡγοῦμαι εἶναι καὶ παῖς καὶ φίλος γηροτρόφος· οἱ δὲ γέροντες μάτην εὔχονται ἀπαλλάξαι, γῆρας τε μεμφόμενοι, καὶ πρὸς τὸ πλῆθος τῶν ἐτῶν βαρυνόμενοι· καὶ ἁπλῆ ἄρα τοῦτ' ἐστιν αὐτοῖς εἰρωνεία· τοῦ γὰρ θανάτου καλοῦντος, οὐδεὶς ἂν ἑκὼν ἐπακούσειε· καὶ τὸ γῆρας αὐτοῖς αἴφνης ἀντικαθίσταται κοῦφον.

**ΧΟ.** Παῦσαι, ὦ τέκνον, μηκέτι προβαίνων τῷ λόγῳ, τὸν σαυτοῦ παροξύνων πατέρα· ἅλις γὰρ ἡ παροῦσά σοι συμφορά.

**ΦΕ.** Ὦ παῖ, τίνα νομίζεις οὕτω κακῶς ἐξελαύνειν ἐντεῦθεν; πότερον, Λυδὸν, ἢ Φρύγα τινὰ, τούτων δὴ τῶν ἀργυρωνήτων; οὐκ οἶσθά με Θεσσαλὸν καὶ ἐκ Θεσσαλοῦ ἐλεύθερον γεγονότα; σὺ μὲν ὑβρίζεις, πολλοὺς καὶ

---

σεις) ἔλαττον ἔχων; ἔμοιγε τὸ δεύτερον δοκεῖ· ἵνα ᾖ, ἐπειδὴ ἔβαλές με τοῖς λόγοις, οὐκ ἀπαλλάξῃ οὕτως, ὅ ἐστι μάτην· ἀλλ' ἀντακούσεις ταῦτα καὶ

Ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην,
Κἄθρεψ', ὀφείλων οὐχ ὑπερθνήσκειν σέθεν·
Οὐ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,
Παίδων προθνήσκειν πατέρας, οὐδ' Ἑλληνικόν.
Σαυτῷ γὰρ εἴτε δυστυχὴς, εἴτ' εὐτυχὴς,
Ἔφυς· ἃ δ' ἡμῶν ἐχρῆν σε τυγχάνειν, ἔχεις.
Πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γαίας
Λείψω· πατρὸς γὰρ ταῦτ' ἐδεξάμην πάρα.
Τί δῆτά σ' ἠδίκηκα; τοῦ σ' ἀποστερῶ;
Μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρὸς, οὐδ' ἐγὼ πρὸ σοῦ.
Χαίρεις ὁρῶν φῶς; πατέρα δ' οὐ χαίρειν δοκεῖς;
Ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
Χρόνον· τὸ δὲ ζῆν σμικρὸν, ἀλλ' ὅμως γλυκύ.
Σύ γ' οὖν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν,
Καὶ ζῇς, παρελθὼν τὴν πεπρωμένην τύχην,
Ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν
Ψέγεις, γυναικὸς, ὦ κάκισθ', ἡσσημένος,
Ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου;
Σοφῶς δ' ἐφεῦρες, ὥστε μὴ θανεῖν ποτε,
Εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
Γυναῖχ' ὑπὲρ σοῦ· κᾆτ' ὀνειδίζεις φίλοις,
Τοῖς μὴ θέλουσι δρᾶν τάδ', αὐτὸς ὢν κακός.
Σίγα· νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς

---

πλείω. 714. Τοῦ καλοῦ νεανίου] δῆλον ὅτι κατ' εἰρωνείαν. 716. Εἰ τὴν παροῦσαν πείσειας ἂν] ὁ δυνητικὸς Ἂν κἀνταῦθα (ἴδε ἀνωτέρω 48.) ἀδύνατος δοκεῖ εἶναι· εἰ μή τις ἀναλύσειεν οὕτως. εἰ δυνηθείης πείσας αὐτήν· κτλ. καίτοι ἔγωγ' ἐδεξάμην τήνδε τὴν γραφὴν μᾶλλον, Πείσεις ἀεὶ, γράψας ἀντὶ τοῦ

δεινοὺς λόγους μετ' ὀργῆς ἐφ' ἡμᾶς ἀποσφενδονήσας, ἀλλ' ἄπει, μηδὲν ἔλαττον ἔχων· ἐγὼ γαρ γεννήσας καὶ ἀναθρέψας σε τὰ εἰκότα, κατέστησά σε δεσπότην τοῦ οἴκου· οὐκ οἶδα δὲ ὀφείλων καὶ ἀποθανεῖν ὑπὲρ σοῦ, οὐδὲ νόμον τοῦτον ἐκ πατρὸς εἰς ἐμὲ κατιόντα προαποθνήσκειν τοὺς πατέρας τῶν παίδων, οὐδὲ ἐν τῇ Ἑλλάδι πῇ νομίζεται τοῦτο· Τὴν μὲν οὖν τύχην, εἴτε δεξιὰν, εἴθ' ὡς ἑτέρως ἔχουσαν, αὐτὸς σεαυτῷ τυγχάνεις κεκτημένος· ἃ δ' ἐχρῆν παρ' ἡμῶν σοι γενέσθαι, ἔχεις πάντα λαβὼν, πολλῶν μὲν ἄρχων, πλεῖστα δὲ πλέθρα γῆς, ὅσα παρὰ τοῦ ἐμαυτοῦ πατρὸς τυγχάνω ἔχων, καὶ ταῦτα ληψόμενος· τί οὖν ἠδίκησαι παρ' ἐμοῦ; καὶ τίνος ἀπεστέρησαι; ἐγὼ μὲν ἀποθανεῖν σε ὑπὲρ ἐμοῦ οὐδέποτ' ἠξίωσα· οὐκοῦν ταὐτὰ χρὴ ὀφείλεσθαι καί σοι πρὸς ἐμέ· εἰ σὺ μὲν χαίρεις ὁρῶν τὸ φῶς, τὸν δὲ πατέρα νομίζεις οὐχ ἡδόμενον βλέπειν τοῦτο; εἰ δὲ ἐλάχιστος πρὸς τὸν κάτω παραβαλλόμενός ἐστιν ὁ ἄνω βίος, ἀλλ' ἡδίων πολλῷ ἐστὶν ἐκείνου· Σὺ τοίνυν αὐτὸς πολὺν ἐδόκεις ἀγῶνα ποιούμενος πρῴην τοῦ μὴ ἀποθανεῖν, καὶ παρωσάμενος τὸ τῆς εἱμαρμένης, περίει νῦν, ἀντικαταστησάμενος τήνδε προνομὴν τῷ θανάτῳ· Εἶτ', ὦ κάκιστε σύγε, τολμᾷς μέμφεσθαί με φιλοψυχίας, ὃ καὶ γυναικὸς, ἣ προὔθανε σοῦ τοῦ καλοῦ νεανίσκου, φιλοψυχότερος γεγονώς; καλήν γε τέχνην ἐφεῦρες ταύτην, ὥστε μήποτε μεταστῆναι τοῦ βίου, εἰ τὴν ἀεὶ παροῦσαν γυναῖκα πείσειας ὑποστῆναι τὸν θάνατον ἀντὶ σοῦ· εἶτα φίλοις ὀνειδίζεις, μὴ δεχομένοις, ἃ αὐτὸς ὑπερορροδεῖς; σίγα, τὸ στόμα ῥάψας· καὶ νόμιζε τοῦθ' ὃ ποιεῖ

Ψυχὴν, φιλεῖν ἅπαντας· εἰ δ' ἡμᾶς κακῶς
Ἐρεῖς, ἀκούσει πολλὰ κοὐ ψευδῆ κακά.
ΧΟ. Πλείω λέλεκται νῦν τε, καὶ τὰ πρὶν κακά.
Παῦσαι δὲ, πρέσϐυ, παῖδα σὸν κακοῤῥοθῶν.
ΑΔ. Λέγ', ὡς ἐμοῦ λέξαντος· εἰ δ' ἀλγεῖς κλύων
Τἀληθὲς, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.
ΦΕ. Σοῦ δ' ἂν προθνήσκων, μᾶλλον ἐξημάρτανον.
ΑΔ. Ταὐτὸν γὰρ ἡϐῶντ' ἄνδρα καὶ πρέσϐυν θανεῖν;
ΦΕ. Ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν, ὀφείλομεν.
ΑΔ. Καὶ μὴν Διός γε μείζονα ζώης χρόνον.
ΦΕ. Ἀρᾷ γονεῦσιν, οὐδὲν ἔκδικον παθών;
ΑΔ. Μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.
ΦΕ· Ἀλλ' οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ' ἐκφέρεις;
ΑΔ. Σημεῖα τῆς σῆς, ὦ κάκιστ', ἀψυχίας.
ΦΕ. Οὔ τοι πρὸς ἡμῶν γ' ὤλετ'· οὐκ ἐρεῖς τόδε.
ΑΔ. (Φεῦ·) εἴθ' ἀνδρὸς ἔλθοις τοῦδέ γ' ἐς χρείαν ποτέ.
ΦΕ. Μνήστευε πολλὰς, ὡς θάνωσι πλείονες.
ΑΔ. Σοὶ τοῦτ' ὄνειδος. οὐ γὰρ ἤθελες θανεῖν.
ΦΕ. Φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.
ΑΔ. Κακὸν τὸ λῆμα, κοὐκ ἐν ἀνδράσιν, τὸ σόν.
ΦΕ. Οὐκ ἐγγελᾷς, γέροντα βαστάζων νεκρόν.
ΑΔ. Θανῇ γε μέντοι δυσκλεὴς, ὅταν θάνῃς.
ΦΕ. Κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.
ΑΔ. Φεῦ, φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέον!
ΦΕ· Ἥδ' οὐκ ἀναιδής· τήνδ' ἐφεῦρες ἄφρονα.

---

Πείσειας ἂν, ἵνα ᾖ συσσημαῖνον καὶ τὴν διαδοχήν. 722. Νῦν τε καὶ πρὶν κακὰ] τάτε νῦν ὑπὸ τοῦ πατρος καὶ τὰ πρὶν τοῦ παιδὸς εἰρημένα. 729. Μείζονα ζώης] οὕτω καλῶς ἀντὶ τοῦ μεῖζον ἂν ζώης. ἵν' ᾖ εὐκτικὸν, καὶ μὴ δυνητικόν· ἐπιφέρει γὰρ μεμφόμενος, Ἀρᾷ γονεῦσι; 744. Ἥδ' οὐκ ἀναιδὴς] ὡς εἰ ἔλεγεν.

σε τοσοῦτον φιλοψυχον εἶναι, καὶ τοὺς ἄλλους ποιεῖν ὁμοίως· εἰ δὲ μὴ παύσαιο κακῶς ἡμᾶς οὕτω λέγων, ἀντακούσεις πλείω, καὶ ταῦτ' οὐ ψευδῆ.

ΧΟ. Ἅλις τούτων, ὦ γέρον· λῆξον ἤδη κακῶς τὸν σαυτοῦ παῖδα λέγων· πολλὰ γὰρ ἑκατέρωθεν εἴρηται.

ΑΔ. Λέγε· ἐμοὶ γὰρ εἴρηται· εἰ δὲ δάκνει σε ταῦτα, ἐχρῆν τὴν ἀρχὴν μηδὲν εἰς ἐμὲ ἐξαμαρτάνειν.

ΦΕ. Ἐξήμαρτον ἂν πάντως, εἴγε σου προαπέθνησκον.

ΑΔ. Πῶς; νέον, ἢ γέροντ' ἀποθανεῖν οὐδὲν ἂν διαφέροι;

ΦΕ. Ὑπὲρ μιᾶς, οὐχὶ δυεῖν ψυχαῖν ζῆν ὀφείλω.

ΑΔ. Ζώης καὶ Διὸς αὐτοῦ πλείω ἔτη.

ΦΕ. Καταρᾷ γονεῦσιν, οὐδὲν παθὼν φαῦλον;

ΑΔ. Ἠσθόμην γάρ σε ζωῆς μακρᾶς ἐρῶντα.

ΦΕ. Τί δέ; οὐ σὺ ταυτηνὶ ἀντὶ σαυτοῦ ἐκφέρεις;

ΑΔ. Αἰτία δὲ τούτου ἡ σὴ φιλοψυχία.

ΦΕ. Οὐκ ἂν εἴποις πρὸς ἡμῶν τεθνηκέναι.

ΑΔ. Φεῦ· γένοιτό σοι ποτὲ χρείαν ἐμοῦ ἔχειν.

ΦΕ. Σὺ δὲ μνηστεύου πολλὰς, ὡς πλεῖον ἐπιζήσῃς.

ΑΔ. Σὸν τοῦτ' ὄνειδος, ὡς μὴ ἀποθανόντος.

ΦΕ. Ὡς ἡδὺ τοῦτο τὸ τῆς ἡμέρας φέγγος.

ΑΔ. Κακῶν ἴδιον, κοὐκ ἀνδρῶν φρονεῖν οὕτω.

ΦΕ. Οὐ γὰρ ἐγγελάσεις νεκρῷ μοι προκειμένῳ.

ΑΔ. Καὶ μὴν ὁ σὸς θάνατος δυσκλεὴς ἔσται πάντως.

ΦΕ. Τοῖς γ' ἀποθανοῦσι αἴσθησις οὐκ ἔσται ψόγων.

ΑΔ. Ὢ, οἵας καὶ ὅσης ἀναιδείας τὸ γῆρας ἐστι πλῆρες.

ΦΕ. Αὕτη μὲν οὐκ ἀναιδὴς, ἄφρων δὲ πάντως.

---

ὡς ἄμεινον ἀναιδῶς ἐθέλειν ζῆν, ὡς ἐγὼ, ἢ ἀφρόνως ἀποθανεῖν, ὡς αὕτη.

ΑΛ. Ἄπελθε, ~~καί με τόνδ' ἔα θάψαι νεκρόν.~~
ΦΕ. Ἄπειμι· θάψεις δ', αὐτὸς ὢν αὐτῆς φονεύς.
Δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι.
Ἦ τἄρ' Ἄκαστος οὐκέτ' ἔστ' ἐν ἀνδράσιν,
Εἰ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.
ΑΛ. Ἔρροις νυν αὐτὸς, χ' ἡ ξυνοικήσασά σοι·
Ἄπαιδε, παιδὸς ὄντος, ὥσπερ ἄξιοι,
Γηράσκετ'· οὐ γὰρ τῷδέ γ' ἐς ταὐτὸ στέγος
Νεῖσθ'· εἰ δ' ἀπειπεῖν χρῆν με κηρύκων ὕπο
Τὴν σὴν πατρῴαν ἑςίαν, ἀπεῖπον ἄν.
Ἡμεῖς δὲ (τοὐν ποσὶν γὰρ οἰστέον κακὸν)
Στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν.
ΧΟ. Ἰὼ, ἰώ!
Σχετλία τόλμας, ὦ γενναία
Καὶ μέγ' ἀρίστα, χαῖρε· πρόφρων σε
Χθόνιος θ' Ἑρμῆς Ἅδης τε δέχοιτ'!
Εἰ δέ τι κἀκεῖ πλέον ἔστ' ἀγαθοῖς,
Τούτων μετέχουσ',
Ἅδου νύμφᾳ παρεδρεύοις.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΡΑΠΩΝ, ΗΡΑΚΛΗΣ; ΑΔΜΗΤΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Πολλοὺς μὲν ἤδη κἀπὸ παντοίας χθονὸς
Ξένους μολόντας οἶδ' ἐς Ἀδμήτου δόμους,
Οἷς δεῖπνα προὔθηκ'· ἀλλὰ τοῦδ' οὔπω ξένου
Κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.

ΑΔ. Γενοῦ μοι ἐκποδὼν; ἵν' ἐγὼ θάψαι ταύτην.

ΦΕ. Ἄπειμι, ἵν' ἔχῃς, ἣν ἀπέκτεινας, θάψαι· πρὸς δὲ τούτοις καὶ δίκην τοῖς προσήκουσι δοῦναι· οὐ γὰρ ἂν εἴποιμι Ἄκαστον ἔγωγ' ἂν ἄνδρα εἶναι, εἰ μὴ τῷ τῆς ἀδελφῆς ἐπεξέλθοι θανάτῳ.

ΑΔ. Ἐκφθείροιο σύ τε καὶ ἡ σὴ γυνὴ, καίπερ ἔχοντες παῖδα, ἄπαιδες, ὡς ὑμῖν προσήκει, καταγηράσκοντες· οὐ γὰρ ἄν ποτέ μοι ὁμωρόφιοι γένοισθε· ἄπιτε· εἰ δὲ καὶ τὴν σὴν πατρῴαν ἑστίαν ἐχρῆν με ὑπὸ κήρυκι ἀπαρνήσασθαι, καὶ ταύτην ἀπηρνησάμην ἄν. Ἡμεῖς δέ· δεῖ γὰρ τὰ ἐν ποσὶ κακὰ φέρειν πρῶτον· ἴωμεν ἐπιθήσοντες τὸν νεκρὸν ἐπὶ τῆς πυρᾶς.

ΧΟ. Ὦ σχετλία τῆς τόλμης, γενναιοτάτη καὶ ἀρίστη πασῶν γυναικῶν, χαῖρε· εὐμενεῖς εἶεν σοίγε ὅθ' Ἑρμῆς καὶ ὁ Ἅδης· εἰ δὲ κἀκεῖ ἔστιν ἀρετῆς ἀμοιβὴ, ὡς τὰ πρωτεῖά σοι τῶν ἀγαθῶν σχοῦσα, παρεδρεύοις τῇ τοῦ Πλούτωνος Νύμφῃ.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΡΑΠΩΝ, ΗΡΑΚΛΗΣ, ΑΔΜΗΤΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Πολλοὺς μὲν ἤδη πανταχόθεν γῆς οἶδα ξένους ἐλθόντας δεῦρο, οἷς παρέθηκ' ἔγωγε σῖτα· ἀλλ' οὐδένα κακίω τούτου πώποτε ἐς τήνδε ἐδεξάμην ἑστίαν· ὃς πρῶτον εἰδὼς τὸν δεσπότην τὰ παρόντα θρηνοῦντα,

Ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν,
Ἐσῆλθε, κἀτόλμησ' ἀμείψασθαι πύλας.
Ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
Τὰ προστυχόντα ξένια, συμφορὰν μαθών·
Ἀλλ' εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
Ποτῆρα δ' ἐν χείρεσσι κίσσινον λαβὼν,
Πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
Ἕως ἐθέρμην' αὐτὸν ἀμφιβᾶσα φλὸξ
Οἴνου· στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις,
Ἄμουσ' ὑλακτῶν, δισσά δ' ἦν μέλη κλύειν.
Ὁ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
Οὐδὲν προτιμῶν, οἰκέται δ' ἐκλάομεν
Δέσποιναν· ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ
Τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
Καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
Ξένον πανοῦργον κλῶπα καὶ λῃστήν τινα·
Ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην,
Οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν
Δέσποιναν, ἥ μοι πᾶσί τ' οἰκέταισιν ἦν
Μήτηρ· κακῶν γὰρ μυρίων ἐῤῥύετο.
Ὀργὰς μαλάσσουσ' ἀνδρός· ἆρα τὸν ξένον
Στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;

ΗΡ. Οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
Οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
Εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.
Σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν,
Στυγνῷ προσώπῳ καὶ συνωφρυωμένῳ
Δέχῃ, θυραίου πήματος σπουδὴν ἔχων.

οὐκ ἀπώκνησεν εἰσελθεῖν· ἔπειτ' οὐκ ἠγάπησε τοῖς προςυχοῦσι ξενίοις, πυθόμενος, ἐν οἵοις ἐσμὲν κακοῖς· ἀλλ' εἴτι ἐνελίπομεν, παρώτρυνε καὶ τοῦτο βίᾳ αὐτῷ κομίζειν· κισσύβιον δ' ἐν χεροῖν ἔχων, ἔπινε μέλανα οἶνον ζωρὸν, ἕως τὸ πνεῦμα τούτου περιχυθὲν, ἐξεθέρμηνε· καὶ νῦν στέφανον ἐκ μυρσίνης ἀναδεδεμένος, δοκεῖ ὑλακτεῖν, μοῦσαν ᾄδων παράμουσον ὅλως· καὶ ἔστι νῦν παρ' ἡμῖν ἀντίφθογγον μέλος διττόν· ὁ μὲν γὰρ ᾄδει, μικρὸν τῶν τοῦ δεσπότου φροντίζων κακῶν· ἡμεῖς δὲ θρηνοῦμεν, οἷα εἰκὸς τοὺς οἰκέτας, τὴν δέσποιναν, κρύπτοντες ἐκεῖνον τὰ δάκρυα· τούτῳ γὰρ ἦν βουλομένῳ Ἀδμήτῳ· καὶ νῦν ἐγὼ μὲν ἤδη ἑςιῶ ἔνδον ξένον, ἀνδρὶ κακούργῳ καὶ λῃστῇ ἐοικότα· ἡ δὲ ἐξεκομίσθη ταφησομένη· οἴμοι! οὐ γὰρ συνεξήνεγκα τὴν ἐμαυτοῦ φίλην δέσποιναν, οὐδ' ἐξέτεινα τὰς χεῖρας, ὀλοφυρόμενος ἐπ' αὐτῇ, παρ' ἧς ἐμοί τε καὶ πᾶσι τοῖς συνδούλοις πολλὴ ὡς μητρὸς ἦν εὐμένεια· ἠπιώτερον γὰρ ἐν ὀργαῖς ἀεὶ τὸν δεσπότην διαπαιδαγωγοῦσα γίνεσθαι πρὸς ἡμᾶς, πολλῶν κακῶν διετέλεσεν ἀπαλλάττουσα· οὐκοῦν δικαίως δυσχεραίνω τῷ ξένῳ, ἐν τοιαύτῃ περιστάσει ἐλθόντι δεῦρο.

ΗΡ. Οὗτος, τί ποθ' οὕτω σκυθρωπὸν πρός με βλέπεις; οὐ γὰρ σεμνοὺς τοὺς θεράποντας, ἀλλ' ὡς μάλιστα εὐπροσηγόρους χρὴ πρὸς τοὺς ξένους εἶναι· σὺ δὲ ὁρῶν ἐμὲ, ἄνδρ' ἑταῖρον Ἀδμήτου ἐλθόντα, συγνῷ προσώπῳ, καὶ βαρείᾳ ὑποδέχῃ ὀφρύϊ, ἀλλοτρίας συμφορᾶς πένθος ἐπίπλαςον πε-

---

790. Οὗτος] ἀπειλητικὸν τοῦτο, νῦν γὰρ ἐξελθὼν Ἡρακλῆς. ὁρᾷ αὐτὸν κατω-

Δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.
Τὰ θνητὰ πράγματ' οἶδας, ἣν ἔχει φύσιν;
Οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
Κοὐκ ἔστιν αὐτῶν, ὅστις ἐξεπίσταται,
Τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.
Τὸ τῆς τύχης γὰρ ἀφανὲς, οἷ προβήσεται,
Κἄστ' οὐ διδακτὸν, οὐδ' ἁλίσκεται τέχνῃ.
Ταῦτ' οὖν ἀκούσας, καὶ μαθὼν ἐμοῦ πάρα,
Εὔφραινε σαυτὸν, πῖνε, τὸν καθ' ἡμέραν
Βίον λογίζου σὸν, τὰ δ' ἄλλα τῆς τύχης.
Τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
Κύπριν βροτοῖσιν· εὐμενὴς γαρ ἡ θεός.
Τὰ δ' ἄλλα ἔασον ταῦτα, καὶ πείθου λόγοις
Ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν·
Οἶμαι μέν· οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς,
Πίῃ μεθ' ἡμῶν, τάσδ' ὑπερβαλὼν πύλας,
Στεφάνοις πυκασθείς; καὶ σάφ' οἶδ', ὅθ' οὕνεκα
Τοῦ νῦν σκυθρωποῦ, καὶ ξυνεστῶτος φρενῶν

---

φρυωμένον. 805. Εὔφραινε] Ἔργον τῆς δραματουργίας μάλιστα πρὸς τοῖς ἄλλοις καὶ τοὺς τῶν προσώπων χαρακτῆρας φυλλάττειν, ὅπερ ἐνταῦθα παραβεβηκέναι δοκεῖ ὁ ἡμέτερος ποιητής· πρὸς γὰρ τῷ παριστᾷν Ἡρακλέα οἴνῳ μάλιστα χαίροντα, ὥσπερ Βάκχον, ποιεῖ αὐτὸν καὶ μικροπρεπῶς σπουδαιολογούμενον πρὸς τἀνδράποδον, καὶ ταῦτα νουθετοῦντα χαίρειν μάλιστα πάντων γραστρὶ καὶ ἀφροδισίοις, μηδεμίαν πρόνοιαν τῆς ἐν τῷ μέλλοντι δόξης τιθέμενον. ἴσμεν γὰρ τοὺς, τρῶγε καὶ πίνε, κελεύοντας, ὡς περὶ τοῦ σήμερον μόνον φροντίζοντας, ἀφιλοτιμοτάτους ὄντας, κοὐδένα κίνδυνον ὑπὲρ δόξης ἂν αἱρουμένους, ὃ ἐναντίον ἐστὶ τῷ τοῦ ἥρωος χαρακτῆρι· 812. Τάσδ' ὑπερβαλὼν πύλας] ἀντὶ τοῦ Πύλας, Τύχας, κεῖται ἐν ἄλλοις· ἀλλ' ἐκείνως ἐχρήσατο καὶ κατωτέρω (στίχ. 847.) τῇ φράσει. 813. Ὅθ' οὕνεκα] πότερον, ὅθι, ἢ ὅτε, ἢ καὶ τρίτον, ὅτι; ἔοικε τὸ τρίτον· καίτοι ἀπαράδεκτον παρὰ τοῖς πε-

ρικείμενος ἔξωθεν. ἀλλ᾽ ἄγε αὐτὸς ἄκουσον, ὅπως καὶ σοφώτερος ἐντεῦθεν γένῃ σεαυτοῦ· ὁρᾷς τὰ τῶν θνητῶν οἷά ἐςι τὴν φύσιν; οὐκ οἶμαι· πόθεν γάρ; μάθε τοίνυν, ὡς ἅπασιν ἀνθρώποις ἅπαξ ἀποθανεῖν ὀφείλεται. καὶ οὐδεὶς αὐτῶν οἶδε, εἰ διώσεται αὔριον. τὸ γὰρ τῆς τύχης αὐτῷ τυφλῶς ἀεὶ ἕρπει. καὶ οὐκ ἔςιν, οὐ μαθήσει, οὐ τέχνῃ προειδέναι, ὅποι ποτὲ προσβαίῃ· καὶ ταῦτ᾽ οὐκ εἰδὼς, νῦν δὲ πρῶτον ἀκούσας παρ᾽ ἐμοῦ, εὐθύμει πίνων, ἕν ἐκεῖνο μόνον σεαυτοῦ λογιζόμενος εἶναι, τὸν καθ᾽ ἡμέραν βίον. τὰ δέ ἄλλα τῆς τύχης· σέβου δὲ μετρίως καὶ Κύπριν, ἣ πολλὴν χάριν ἀνθρώποις ἐνίησιν· εὐμενὴς γὰρ ἥδε γε ἡ θεός. τὰ δὲ ἄλλα, τοῖς ἐμοῖς εἰ πείθοιο λόγοις, καὶ σοίγ ὀρθῶς δοκέοι ταῦτ᾽ εἰρῆσθαι, ὡς κἀμοὶ δοκεῖ τοῦτο, ἔα πάντα. Τί οὖν; οὐκ εἰσελθὼν πίῃ μετ᾽ ἐμοῦ, τῆς ἄγαν λύπης ταύτης ἀπαλλαγεὶς, καὶ ςέφανον ἀναθέμενος; εὖ γὰρ οἶδ᾽ ὅτι, ἅμ᾽ ὁ ζωρὸς ἀπὸ τοῦ σκύφου ἐμπεσὼν εἰς τὸν ςόμαχον, εὐθὺς μεταςήσειε τοῦ σκυθρωποῦ καὶ νεφελώδους κατα-

---

ζοῖς τὸ πάθος τοῦτο τῷ Ὅτι· ἔςι δὲ ἄμφω τὰ μόρια ἀνθ᾽ ἑνὸς αἰτιολογικοῦ καὶ συχνὴ ἡ χρῆσις τῷ ποιητῇ· οἷον ἐν Ἴων. 662.

« Ὅθ᾽ οὕνεκ᾽ ἀδυνάτων ἀξιόντι μοι θεοῦ
Ἴχνος συνῆψας πρῶτος . . . . .

Καὶ ἐν Ἑλένῃ. 597.

Ἑλένῃ προσφερὴς ὅθ᾽ οὕνεκ᾽ εἶ.

Καὶ ἐν Δανάῃ. 20.

Δανάην δὲ πρωνόμασε τήνδε, ὅθ᾽ οὕνεκα
Πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος.

Καὶ παρὰ Σοφοκλεῖ. Ἠλέκτρ. 46.

Ἄγγελε δ᾽ ὅρκῳ προςιθεὶς ὅθ᾽ οὕνεκα
Τέθνηκ᾽ Ὀρέςης »

Μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
Ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεὼν,
Ὡς τοῖς γε σεμνοῖς καὶ ξυνωφρυωμένοις
Ἅπασιν ἐστὶν, ὥς γ' ἐμοὶ χρῆσθαι κριτῇ,
Οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.
ΘΕ. Ἐπιστάμεσθα ταῦτα· νῦν δὲ πράσσομεν
Οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.
ΗΡ. Γυνὴ θυραῖος ἡ θανοῦσα· μὴ λίαν
Πένθει· δόμων γὰρ ζῶσι τῶνδε δεσπόται.
ΘΕ. Τί ζῶσιν; οὐ κάκοισθα τὰ 'ν δόμοις κακά.
ΗΡ. Εἰ μή τί σός με δεσπότης ἐψεύσατο.
ΘΕ. Ἄγαν ἐκεῖνος ἔστ' ἄγαν φιλόξενος.
ΗΡ. Οὐ χρῆν μ' ὀθνείου γ' οὔνεκ' εὖ πάσχειν νεκροῦ;
ΘΕ. Ἦ κάρτα μέντοι καὶ λίαν οἰκεῖος ἦν.
ΗΡ. Μῶν ξυμφοράν τιν' οὖσαν οὐκ ἔφραζ' ἐμοί;
ΘΕ. Χαίρων ἴθ'· ἡμῖν δεσποτῶν μέλει κακά.
ΗΡ. Ὅδ' οὐ θυραίων πημάτων ἄρχει λόγος.
ΘΕ. Οὐ γάρ τι κωμάζοντ' ἂν ἠχθόμην σ' ὁρῶν.
ΗΡ. Ἀλλ' ἦ πέπονθα δείν' ὑπὸ ξένων ἐμῶν;
ΘΕ. Οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμους·
Πένθος γὰρ ἡμῖν ἐστί· καὶ κουρὰν βλέπεις
Μελαμπέπλους στολμούς τε.
ΗΡ. Τίς δ' ὁ κατθανών;
Μῶν ἢ τέκνων τις φροῦδος, ἢ γέρων πατήρ;
ΘΕ. Γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.

815. πίτυλος ἡ συνεχὴς φορὰ τοῦ σκύφου. 827. Οὐ χρῆν] ἐν ἄλλοις παραλλάττει πολὺ ὡδί. Οὔκουν· ὀθνείου γὰρ ἕνεκ' εὖ πάσχει νεκροῦ· κἂν τῷ ἐπο-

σχήματος τούτου ἐπὶ τὸ ἱλαρώτερον· θνητοὺς γὰρ ὄντας, θνητὰ δεῖ φρονεῖν. τοῖς δὲ σεμνοῖς καὶ κατωφρυωμένοις οὐδὲν, ὥς ἔμοιγε δοκεῖ, περιγένοιτ' ἂν, ἢ ὅτι ὁ βίος, οὐ βίος, ἀλλὰ συμφορὰ αὐτοῖς ἔσται ὅλως.

ΘΕ. Ταῦτα μὲν ἐπιστάμεθα· ἀλλὰ νῦνγ' οὐκ ἐν κώμοις καὶ λήροις ἡμῖν τὰ πράγματα κεῖται.

ΗΡ. Πρὸς τί δὲ τὸ πένθος τοῦτο; οὐκ ὀθνεία τίς ἐστιν ἡ τεθνηκυῖα, τὰ δὲ τῶν δεσποτῶν ἔνδον εὖ ἔχει πάντα;

ΘΕ. Τί φῄς σύγε; ἀγνοοῦντι γὰρ ἔοικας τὰς συμφορὰς τοῦ δεσπότου.

ΗΡ. Οὐμενουν, εἰ μήτι ἐκεῖνος ἐψεύσατό με.

ΘΕ. Δοκεῖ γε, φιλοξενώτατος ὢν ἁπάντων.

ΗΡ. Τί οὖν; οὐκ ἐχρῆν με εὖ πάσχειν, ὀθνείας τεθνηκυίας;

ΘΕ. Μὴ λέγ' ὀθνείας, ἀλλὰ οἰκειοτάτης μάλιστα.

ΗΡ. Τί φῄς; μῶν τὴν οὖσαν συμφορὰν ἔκρυψέ με;

ΘΕ. Ἴθι χαίρων· τῶν δὲ καθ' ἡμᾶς ἡμῖν μελήσει μόνοις.

ΗΡ. Ταῦτ' οὐκ αἰνίττεται συμφορὰς ἀλλοτρίων.

ΘΕ. Οὐ γὰρ ἄν σοι, ὁρῶν οὕτω κωμάζοντα, ἠχθόμην.

ΗΡ. Μῶν ἠδίκησέ με ὁ ξένος, ἀπατήσας;

ΘΕ. Οὐ γαρ ἐν δέοντι ἐλήλυθας δεῦρο· ὁρᾷς γὰρ οἷον πένθος ἔσθ' ἡμῖν τήμερον, ἐκ τῆς κουρᾶς καὶ μελανειμονίας μάλιστα τεκμαιρόμενος τοῦτο·

ΗΡ. Τὶς δ' ἔσθ' ὁ ἀποθανών; τῶν παίδων τις, ἢ πατὴρ ὁ γέρων;

ΘΕ. Τούτων μὲν οὐδεὶς, ἡ δὲ γυνὴ Ἀδμήτου.

---

μένῳ στίχῳ ἀντὶ τοῦ Οἰκεῖος ἐν ἄλλοις κεῖται Θηραῖος. 824. Δέξασθαι δόμους ὥστε τοὺς δόμους δέξασθαί σε. 832. Φροῦδος;] πρόοδος, ἔκφορος, εἰς ἐκφορὰν

ΗΡ. Τί φής; ἔπειτα δῆτά μ' ἐξενίζετε;
ΘΕ. Ἠδεῖτο γάρ σε τῶνδ' ἀπώσασθαι δόμων.
ΗΡ. Ὦ σχέτλί, οἵας ἤμπλακες ξυναόρου!
ΘΕ. Ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.
ΗΡ. Ἀλλ' ᾐσθόμην μὲν, ὄμμ' ἰδὼν δακρυῤῥοοῦν,
Κουράν τε, καὶ πρόσωπον· ἀλλ' ἔπειθ' ἐμὲ,
Λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.
Βίᾳ δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας,
Ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,
Πράσσοντος οὕτω, κἀπεκώμαζον, κάρα
Στεφάνοις πυκασθείς· ἀλλὰ σοῦ τὸ μὴ φράσαι,
Κακοῦ τοσούτου δώμασιν προκειμένου·
Ποῦ καί σφε θάπτει; ποῦ νιν εὑρήσω, μολών;
ΘΕ. Ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισσαν φέρει,
Τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.
ΗΡ. Ὦ πολλὰ τλᾶσα καρδία, ψυχή τ' ἐμὴ,
Νῦν δεῖξον, οἷον παῖδά σ' ἡ Τιρυνθία
Ἠλεκτρύωνος γείνατ' Ἀλκμήνη Διΐ.
Δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως
Γυναῖκα, κεἰς τόνδ' αὖθις ἱδρῦσαι δόμον
Ἄλκηστιν, Ἀδμήτῳ θ' ὑπουργῆσαι χάριν.
Ἐλθὼν δ' ἄνακτα τὸν μελάμπεπλον νεκρῶν
Θάνατον φυλάξω, καί νιν εὑρήσειν δοκῶ
Πίνοντα τύμβου πλησίον προσφαγμάτων.
Κἄνπερ λοχήσας αὐτὸν ἐξ ἕδρας συθεὶς,
Μάρψω, κύκλῳ δὲ περιβαλῶ χεροῖν ἐμαῖν,

---

κομισθείς. 850. Ἀλλὰ σοῦ] ἀλλὰ σοῦ ἐστιν ἴδιον τὸ ἁμάρτημα διὰ τὸ μὴ

ΗΡ. Τί φής; ἔπειθ' οὕτως ἔχων, ἐξένιζέ με;

ΘΕ. Ἠδεῖτο γάρ ἐλθόντα σε ἀποκλείσασθαι.

ΗΡ. Ὦ τάλας, οἵας ἀπεστέρησαι συζύγου.

ΘΕ. Τεθνηκυῖα δὲ, καὶ ἡμᾶς συναπώλεσε πάντας.

ΗΡ. Ἠσθόμην μὲν, ἰδὼν Ἄδμητον ὑποδεδακρυμένον ἐν κουρᾷ, ἀλλ' ἔπεισέ με ὀθνείου γυναίου εἶναι τὴν ἐκφοράν· οὕτως οὖν ἀναγκασθεὶς ὑπ' ἐκείνου, ἔπινον εἰσιὼν παρ' ἀνδρὶ περὶ πολλοῦ μὲν ποιουμένου τοὺς ξένους, νῦν δὲ κακῶς πεπραχότι, καὶ ἐκώμαζον, μηδὲν δέον, ἐστεφανωμένος· ἀλλὰ τοῦτο σὸν ἂν εἴη μάλισθ' ἁμάρτημα τῷ μὴ ἐθελῆσαι εἰπεῖν μοι τὸ πρᾶγμ' ὅ,τι εἴη· ἀλλὰ ποῦ δήποτε νῦν θάπτει ἐκείνην; ποῦ δ' εὑρήσω ἐλθὼν ἐκεῖνον;

ΘΕ. Τήνδε βαδίσας, τὴν ἐπὶ τὴν Λάρισσαν, ὄψει τὸν τάφον ἐν τῷ προαστείῳ.

ΗΡ. Ὦ πολυτλῆμον καρδία, καὶ ψυχὴ Ἡρακλέους, νῦν καιρὸς δεῖξαι, οἷον παῖδ' Ἀλκμήνη ἡ Ἠλεκτρύωνος ἐγείνατό σε τῷ Διΐ· δεῖ γάρ με τήμερον χάριν ταύτην ἀποθέσθαι Ἀδμήτῳ, τὴν ἀρτίως ἀποθανοῦσαν Ἄλκηστιν ἀναρπάσαντα τοῦ θανάτου, καὶ δεῦρο πάλιν καταστήσαντα οἴκοι ζῶσαν· ἐλθὼν γὰρ φυλάξω θάνατον, τοῦτον δὴ τὸν μελανείμονα τῶν νεκρῶν βασιλέα· εὑρήσω δ' αὐτὸν, οἶμαι, παρὰ τῷ τύμβῳ πίνοντα τοῦ ἀπὸ τῶν σφαγίων καταῤῥέοντος αἵματος· καὶ εἰ ὡς ἐξ ἐνέδρας αὐτῷ ἐπιπηδήσας αἴφνης, συλλάβοιμι, περιβαλὼν ταῖς χερσὶ παν-

---

165. Περιβαλῶ] γραπτέον μᾶλλον περιβάλω ἐν ὑποτακτικῷ διὰ τὸν Κἄν, σύνδε-

Οὐκ ἔστιν, ὅστις αὐτὸν ἐξαιρήσεται,
Μογοῦντα πλευρὰ, πρὶν γυναῖκ' ἐμοὶ μεθῇ.
Ἢν δ' οὖν ἁμάρτω τῆσδ' ἄγρας, καὶ μὴ μόλῃ
Πρὸς αἱματηρὸν πέλανον, εἶμι τὴν κάτω,
Κόρης, ἄνακτός τ' εἰς ἀνηλίους δόμους,
Αἰτήσομαί τε· καὶ πέποιθ' ἄξειν ἄνω
Ἄλκηστιν, ὥστε χερσὶν ἐνθεῖναι ξένου,
Ὅς μ' ἐς δόμους ἐδέξατ', οὐδ' ἀπήλασε,
Καίπερ βαρείᾳ ξυμφορᾷ πεπληγμένος,
Ἔκρυπτε δ', ὢν γενναῖος, αἰδεσθεὶς ἐμέ.
Τίς τοῦδε μᾶλλον Θεσσαλῶν φιλόξενος;
Τίς Ἑλλάδ' οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ κακὸν
Εὐεργετῆσαι φῶτα, γενναῖος γεγώς.

ΑΔ. Ἰὼ, ἰώ.
Στυγναὶ πρόσοδοι, στυγναὶ δ' ὄψεις
Χήρων μελάθρων· ἰώ μοι, αἶ αἶ!
Ποῖ βῶ; πᾷ στῶ; τί λέγω; τί δὲ μή;
Πῶς ἂν ὀλοίμαν;
Ἦ βαρυδαίμονα μήτηρ μ' ἔτεκεν.
Ζηλῶ φθιμένους, κείνων ἔραμαι,
Κεῖν' ἐπιθυμῶ δώματα ναίειν.
Οὔτε γὰρ αὐγὰς χαίρω προσορῶν,
Οὔτ' ἐπὶ γαίας πόδα πεζεύων·
Τοῖον ὅμηρόν μ' ἀποσυλήσας,
Ἅδῃ Θάνατος παρέδωκεν.

ΧΟ. Πρόβα, πρόβα· βᾶθι κεῦθος οἴκων. (Στρ. ά.)

ΑΔ. Ἒ ἔ!

ΧΟ. Πέπονθας ἄξι' αἰαγμάτων.

ταχόθεν, οὐδεὶς ἔσθ' ὅςτις, οὕτω πιεζόμενον τὰ πλευρὰ ὑπ' ἐμοῦ, αὐτὸν ἐξαιρήσεται, πρὶν ἄν μοι ἀφῇ τὴν γυναῖκα· εἰδ' ἀποτύχοιμι, μὴ ἐλθόντος αὐτοῦ εἰς τὸ αἷμα, εἶμι τὴν ἐπὶ τοὺς κάτω, εἰς τοὺς ζοφώδεις δόμους τοῦ Πλούτωνος καὶ τῆς Περσεφόνης· παρ' ὧν ἐξαιτησάμενος, ἐλπίζω ἀνάξειν τὴν γυναῖκ' ἐς τὸν βίον, κἀπιθήσειν αὐτὴν ταῖς τοῦ Ἀδμήτου χερσὶ, χάριν ταύτην ἀπομετρῶν, ἀνθ' ὧν με καὶ ἐν μεγίςοις ὢν κακοῖς, οὐκ ἀπήλασεν, ἀλλ' ὑπεδέξατο φιλοφρόνως παρ' ἑαυτῷ καταλύσαι, γενναίως λίαν αἰδοῖ ἐμοῦ τὴν συμφορὰν παρασιωπήσας. Τίς οὖν τούτου φιλοξενώτερος Θετταλῶν; τίς δὲ καὶ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα; γενναῖος ὢν τοίνυν, οὐκ ἐρεῖ με ποθ' ὕςερον ἀγνώμονα ὄντ' εὖ ποιῆσαι.

ΑΔ. Ἰὼ ἰὼ ςυγναὶ εἴσοδοι, καὶ σκυθρωπαὶ προσόψεις τῶν χήρων τούτων δωμάτων· ἰώ μοι· αἶ, αἶ· ποῖ ἔλθω; πῆ ςῶ; τί εἴπω; τί μὴ εἴπω; πῶς ἂν ἀπολοίμην; ὡς δυςυχῆ ἔτεκέ με ἡ μήτηρ· ζηλῶ τοὺς ἀπελθόντας· πόθος ἔχει μ' ἐκείνων· κἀκείνων τὰ δώματα ἐπιθυμῶ κατοικεῖν· οὔτε γὰρ τὸ φῶς ὁρῶν ἥδομαι, οὔτ' ἐπὶ γῆς βαίνων· τοιοῦτον ὅμηρον τοῦ ζῆν με ὁ θάνατος ἀποσπάσας, Παρέδωκε Πλούτωνι.

ΧΟ. Χώρει, ὦ τάλας, εἴσιθι εἰς τὴν οἰκίαν.

ΑΔ. Αἶ, αἶ.

ΧΟ. Πέπονθας γὰρ ἄξια στεναγμῶν καὶ δακρύων.

---

σμον. 889. Ὅμηρον] ὅτι ὅμηρος ἑκοῦσα παραδέδοται τῷ θανάτῳ, ἵν' αὐτὸς ζῇ. Τί με ἐκώλυσας] τίνα τοῦτον μέμφεται; τὸν χορόν; ἀλλ' αὐτὸς οὐκ ἦν ἐν τῷ τάφῳ· ἀλλ' ὡς ἔοικεν, οὐδ' αὐτὸς οἶδε πρὸς τίνα ἀποτείνει τὸν λόγον, ὑπὸ τοῦ πάθους ἐκφερόμενος.

ΑΔ. Ἒ, ἔ.
ΧΟ. Δι' ὀδύνας ἔβας, σάφ' οἶδα.
ΑΔ. φεῦ, φεῦ!
ΧΟ. Τὰν νέρθεν οὐδὲν ὠφελεῖς.
ΑΔ. Ἰώ μοί μοι!
ΧΟ. Τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου
Πρόσωπόν [τιν'] ἄντα, λυπρόν.
ΑΔ. Ἔμνησας, ὅ μου φρένας ἥλκωσεν.
Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν
Πιστῆς ἀλόχου; μή ποτε γήμας,
Ὤφελον οἰκεῖν μετὰ τῆσδε δόμους!
Ζηλῶ δ' ἀγάμους, ἀτέκνους τε βροτῶν.
Μία γὰρ ψυχή· τῆσδ' ὑπεραλγεῖν,
Μέτριον ἄχθος·
Παίδων δὲ νόσους, καὶ νυμφιδίους
Εὐνὰς, θανάτοις κεραϊζομένας,
Οὐ τλητὸν ὁρᾷν, ἐξὸν ἀτέκνοις,
Ἀγάμοις τ' εἶναι διὰ παντός.
ΧΟ. Τύχα, τύχα δυσπάλαιστος ἥκει. (Ἀντ. ά.)
ΑΔ. Ἒ ἔ!
ΧΟ. Πέρας δ' οὐδὲν τίθης ἀλγέων.
ΑΔ. Αἶ αἶ!
ΧΟ. Βαρέα μὲν φέρειν, ὅμως δὲ,
ΑΔ. Φεῦ, φεῦ!
ΧΟ. Τλᾶθ'· οὐ σὺ πρῶτος ὤλεσας,
ΑΔ. Ἰώ μοί μοι!
ΧΟ. Γυναῖκα· συμφορὰ δ' ἑτέρους ἑτέρα
Πιέζει φανεῖσα θνατῶν.
ΑΔ. Ὦ μακρὰ πένθη, λῦπαι τε φίλων
Τῶν ὑπὸ γαῖαν! τί μ' ἐκώλυσας
Ῥίψαι τύμβου τάφρον εἰς κοίλην,
Καὶ μετ' ἐκείνης τῆς μέγ' ἀρίστης
Κεῖσθαι φθίμενον;

ΑΔ. Αἶ αἶ!

ΧΟ. Ὀδύνη γὰρ τῆς σῆς δίήκει καρδίας.

ΑΔ. Φεῦ, φεῦ.

ΧΟ. Οὐδὲν τοῦτο πρὸς τὴν ἀπελθοῦσαν.

ΑΔ. Ἰώ μοι μοι.

ΧΟ. Εἰκότως· τὸ γὰρ μηκέτ' ἐλπίζειν ἰδεῖν τὴν γυναῖκα δάκνει.

ΑΔ. Ἀνέμνησάς με τοῦθ', ὃ δεινῶς τῆς ψυχῆς μου καθάπτεται· τί γὰρ ἀνδρὶ ἄλγιον, ἢ γυναικὸς ἀγαθῆς ἀποστερηθῆναι; εἴθε μὴ ἔγημα, εἴθε μὴ συνῴκησα ἐκείνῃ ὧδε· ζηλῶ τοὺς ἀγάμους καὶ ἄπαιδας· μία γὰρ αὐτοῖς ψυχή· ὑπὲρ ταύτης μόνης οἰστὸν ἀνέχεσθαι πόνων· νόσους δὲ παίδων καὶ νυμφικῶν διαζεύξεις θαλάμων πῶς ἄν τις φέροι, ἐξὸν ἀγάμους καὶ ἀτέκνους διαβιῶναι;

ΧΟ. Δυστυχία αὕτη σοι συνέβη ἀκαταμάχητος.

ΑΔ. Αἶ, αἶ.

ΧΟ. Πέρας οὐκ ἔσται τῶν θρήνων;

ΑΔ. Ἒ, ἕ· φεῦ, φεῦ· οἴμοι.

ΧΟ. Μεγάλα μὲν καὶ ἀνύποιστα πέπονθας· φέρειν δὲ χρὴ γενναίως· οὐ γὰρ πρῶτος σὺ ἀπώλεσας γυναῖκα· ἄλλα γὰρ ἄλλοις τῶν ἀνθρώπων δεινὰ ἐπισκήπτουσι.

ΑΔ. Ὦ μακρὰ πένθη, καὶ λῦπαι τῶν ὑπὸ γῆν φιλουμένων· Ἀλλὰ τί δή ποτε ἐκώλυσάς με αὐτὸς ῥίψαι ἐμαυτόν εἰς τὸν τάφον, ὅπως κέωμαι νῦν μετὰ τῆς ἀρίστης πασῶν γυναικῶν ἐν νεκροῖς; δύο γὰρ ἂν οὕτως ὁ Ἅδης ἀντὶ

Δύο δ' ἀντὶ μιᾶς Ἅδης ψυχὰς
Τὰς πιστοτάτας γε συνέσχεν ὁμοῦ,
Χθονίαν λίμναν διαβάντε.

ΧΟ. Ἐμοί τις ἦν ἐν γένει, ᾧ κόρος ἀξιόθρηνος (Στρ. β'.)
Ὤχετ' ἐν δόμοισι
Μονόπαις· ἀλλ' ἔμπας
Ἔφερε κακὸν ἅλις, ἄτεκνος ὤν,
Πολιὰς ἐπὶ χαίτας
Ἤδη προπετὴς ὤν, βιότου πρόσω τε.

ΑΔ. Ὦ σχῆμα δόμων, πῶς εἰσέλθω;
Πῶς δ' οἰκήσω, μεταπίπτοντος
Δαίμονος; οἴ μοι! πολὺ γὰρ τὸ μέσον.
Τότε μὲν πεύκαις σὺν Πηλιάσιν,
Σύν θ' ὑμεναίοις ἔστειχον ἔσω,
Φιλίας ἀλόχου χέρα βαστάζων.
Πολυάχητος δ' εἵπετο κῶμος,
Τήν τε θανοῦσαν, κἄμ' ὀλβίζων,
Ὡς εὐπατρίδαι κἀπ' ἀμφοτέρων
Ὄντες ἀρίστων, σύζυγες εἰμέν.
Νῦν δ' ὑμεναίων γόος ἀντίπαλος,
Λευκῶν τε πέπλων μέλανες στολμοὶ
Πέμπουσί μ' ἔσω,
Λέκτρων κοίτας ἐς ἐρήμους.

ΧΟ. Παρ' εὐτυχῆ σοι πότμον ἦλθεν ἀπειροκάκῳ τόδ' (Ἀντ. β'.)
Ἄλγος· ἀλλ' ἔσωσας
Βίοτον καὶ ψυχάν.
Ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
Τί νέον τόδε; πολλοὺς
Ἤδη παρέλυσεν θάνατος δάμαρτος.

μιᾶς κατέσχε ψυχὰς πιστοτάτας ἀλλήλαις, τὴν ὑποχθόνιον λίμνην διαπεραιωθείσας.

**ΧΟ.** Ἦν τις ἐμοὶ προσήκων, οὗ μονογενὴς παῖς ἀπηλλάγη τοῦ βίου, ἀλλ' ὅμως οὗτος, καίπερ ἄτεκνος ὢν, καὶ λευκὸς τὴν τρίχα διὰ γῆρας βαθὺ, ἔφερε μετρίως τὴν συμφοράν.

**ΑΔ.** Ὦ σχῆμα οἴκων, πῶς εἰσέλθω, καὶ πῶς κατοικήσω ἐν σοὶ, εἰς πᾶν τοὐναντίον μεταπεσούσης τῆς τύχης; οἴμοι· πολὺ τὸ μέσον ἐστὶ τῶν νῦν πρὸς τὰ φθάσαντα· τότε μὲν γὰρ εἰσήειν σὺν πεύκαις ἐκ τοῦ Πηλίου, καὶ σὺν ὑμεναίοις, τῆς χειρὸς τῆς φίλης μοι νύμφης εἰλημμένος· εὔφημος δὲ κῶμος ἐφεπόμενος, ἐμακάριζον ἡμᾶς ἀμφοτέρους, λέγοντες, ὡς εὐπατρίδαι, καὶ ἐξ ἀμφοτέρων ἀρίστων ὄντες, συνεζεύχθημεν γάμῳ· νῦν δὲ τῶνθ' ὑμεναίων ἀντίπαλον μέλος, καὶ ἀντὶ λευκῶν μέλανες χιτῶνες εἰσάγουσί με εἰς ἐρήμους εὐνάς.

**ΧΟ.** Ἐν εὐτυχίᾳ μεγίστῃ συνέβη ἥδε σοι συμφορὰ, ἀπειροκάκῳ μέχρι δεῦρο διατετελεκότι· ἀλλ' ἀγαπᾷν σε δεῖ ὅτι ζῇς· ἀλλὰ τέθνηκεν ἡ γυνὴ, καὶ διέλυσε τὴν φιλίαν, τί νέον τοῦτο; οὐ πολλοὺς ἤδη τῶν ἰδίων γυναικῶν ὁ θάνατος ἀπεστέρησεν;

---

926. Ἐμοί τις ἦν ἐν γένει] συνέχεται ταῦθ' οἷς εἴρηται τῷ χορῷ ἀνωτέρω· τὸ δὲ Κόρος δηλοῖ ἐνταῦθα Νέος, υἱός. 933. Μεταπίπτοντος] ἀντὶ μεταπεσόντος· παραβάλλει τὰ κατὰ τὴν ἡμέραν τοῦ γάμου πρὸς τὰ παρόντα

ΑΔ. Φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον
Τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ' ὅμως·
Τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
Πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
Ἐγὼ δ', ὃν οὐ χρὴ ζῆν, παρεὶς τὸ μόρσιμον,
Λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
Πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
Τίν' ἂν προσειπὼν, τοῦ δὲ προσρηθεὶς ὕπο,
Τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
Ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ' ἐρημία,
Γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενὰς,
Θρόνους τ', ἐν οἷσιν ἷζε, καὶ κατὰ στέγας
Αὐχμηρὸν οὖδας, τέκνα δ' ἀμφὶ γούνασι
Πίπτοντα κλάῃ μητέρ', οἱ δὲ δεσπότιν
Στένωσιν, οἵαν ἐκ δόμων ἀπώλεσαν.
Τὰ μὲν κατ' οἴκους τοιάδ'· ἔξωθεν δ' ἐμὲ
Γάμοι γ' ἐλῶσι Θεσσαλῶν, καὶ ξύλλογοι
Γυναικοπληθεῖς· οὐ γὰρ ἐξανέξομαι
Λεύσσων δάμαρτος τῆς ἐμῆς ὁμήλικας.
Ἐρεῖ δέ μ', ὅστις ἐχθρὸς ὢν κυρεῖ, τάδε·
Ἰδοῦ τὸν αἰσχρῶς ζῶνθ', ὃς οὐκ ἔτλη θανεῖν,
Ἀλλ', ἣν ἔγημεν ἀντιδοὺς, ἀψυχίᾳ
Πέφευγεν Ἅδην· κᾆτ' ἀνὴρ εἶναι δοκεῖ;
Στυγεῖ δὲ τοὺς τεκόντας, αὐτὸς οὐ θέλων
Θανεῖν. τοιάνδε πρὸς κακοῖσι κληδόνα
Ἕξω. τί μοι ζῆν δῆτα κύδιον, φίλοι,
Κακῶς κλύοντι, καὶ κακῶς πεπραγότι;

ΧΟ. Ἐγὼ καὶ διὰ Μούσας (Στρ. α'.)
Καὶ μετάρσιος ᾖξα, καὶ

ΑΔ. Τῆς μὲν γυναικὸς, ὦ φίλοι, τὴν τύχην δεξιωτέραν τῆς ἐμαυτοῦ νομίζω, καίτοι δοκῶ μὴ δοκοῦν τοῖς πολλοῖς τοῦτο λέγειν· τῆς μὲν γὰρ οὐκέτ' οὐδὲν τῶν ἀλγεινῶν ποτὲ θίξει, καὶ οἱ πολλοὶ αὐτῇ μόχθοι σὺν εὐκλείᾳ παρῆλθον· ἐγὼ δὲ, ὃν οὐδὲ χρὴ ἔτι ζῆν, παρεὶς το τῆς εἱμαρμένης, ἀβίωτον βίον διαβιώσω· καὶ τοῦτο μοι ἐκ τῶν παρόντων δῆλον: πῶς γὰρ ἀνέξομαι εἰσιέναι εἰς τὴν οἰκίαν τήνδε; εἰσιὼν δὲ, τίν' ἂν προσειπὼν, ἀντιπροσαγορευθείην, ὥστ εἰσιὼν ἡσθῆναι; ποῖ τράπωμαι; ἔνδον γὰρ ἀπάγ ει με ἡ ἐρημία, ἐπειδὰν ἴδω τήντ' εὐνὴν κενὴν γυναικὸς, καὶ τὰς ἕδρας, ἐφ' ὧν καθῆστο, καὶ ἁπλῶς τὸ δάπεδον πάσης τῆς οἰκίας σκυθρωπὸν ὅλως ὄν· τά τε τέκνα, ὁπότε τοῖς ἐμοῖς ἐμπίπτοντα γόνασι, κλαίοιεν τὴν μητέρα· καὶ οἱ οἰκέται ἐπιστενάζοιεν, μεμνημένοι, οἵαν δέσποιναν εἰσὶν ἀπολωλεκότες; καὶ τὰ μὲν οἴκοθεν τοιαῦτα· ἔξωθεν δ' αὖ ἄλλα, γάμοι με Θετταλῶν, καὶ σύλλογοι γυναικῶν ἐξελαύνουσι· τὰς γὰρ ὁμίληκας ἰδὼν τῆς ἐμαυτοῦ γυναικὸς, οὐκ ἀνέξομαι· ὁ δὲ ἐχθρὸς, εἴτις εἴη, ἐρεῖ τῷ πλησίον, ἴδε τὸν αἰσχρῶς τοῦτον ζῶντα· ὃς φιλοψυχίᾳ πεφευγὼς τὸν θάνατον, ἀντέδωκεν ἐκείνῳ τὴν ἑαυτοῦ γαμετήν· εἶτ' ἐθέλει ἀνὴρ δοκεῖν εἶναι; καὶ τιοῦτος ὢν, μέμφεται τοὺς τεκόντας, ὅτι οὐχ ὑπέστησαν προαποθανεῖν αὐτοῦ· τοιαῦτά με πρὸς τοῖς ἄλλοις κακοῖς εἰκὸς ἀκούσειν. Τί οὖν, ὦ φίλοι, ὄφελος ἔμοιγε ζῆν, κακῶς οὕτως ἀκούοντι, καὶ κακῶς πεπραχότι;

ΧΟ. Καὶ διὰ μούσης πάσης ἰὼν, καὶ πτήσει νοὸς μετάρσιος πολλάκις γενόμενος, καὶ πλείστοις χρησάμενος λόγοις

Πλείστων ἁψάμενος λόγων
Κρεῖσσον οὐδὲν Ἀνάγκας
Εὗρον, οὐδέ τι φάρμακον
Θρῄσσαις ἐν σανίσιν, τὰς Ὀρφεία κατέγραψε
Γῆρυς, οὐδ᾽ ὅσα Φοῖβος
Ἀσκληπιάδαισιν παρέδωκε
Φάρμακα πολυπόνοις
Ἀντιτεμὼν βροτοῖσιν.
Μόνας δ᾽ οὔτ᾽ ἐπὶ βωμοὺς (Ἀντ. ά.)
Ἐλθεῖν, οὔτε βρέτας θεᾶς
Ἐστὶν, οὐ σφαγίων κλύει.
Μή μοι, πότνια, μείζων
Ἔλθοις, ἢ τὸ πρὶν ἐν βίῳ!
Καὶ γὰρ Ζεὺς, ὅ, τι νεύσει, σὺν σοὶ τοῦτο τελευτᾷ.
Καὶ τὸν ἐν Χαλύβοισι
Δαμάζεις σὺ βίᾳ σίδαρον,
Οὐδέ τις ἀποτόμου
Λήματός ἐστιν αἰδώς.
Καὶ σ᾽ ἐν ἀφύκτοισι χερῶν εἷλε θεὰ δεσμοῖς. (Στρ. β'.)
Τόλμα δ᾽· οὐ γὰρ ἀνάξεις πότ᾽ ἔνερθεν
Κλαίων τοὺς φθιμένους ἄνω.
Καὶ θεῶν σκότιοι φθίνουσι
Παῖδες ἐν θανάτῳ.
Φίλα μὲν, ὅτ᾽ ἦν γε μεθ᾽ ἡμῶν,

---

984. ἐν Θρᾴκῃ Διονύσου μαντεῖον ἦν, ἐν ᾧ καὶ σανίδες, εἴτ᾽ οὖν πίνακες,

οὐχ εὗρον οὐδὲν Ἀνάγκης κρεῖττον· μήτε γὰρ φάρμακον ἐν τοῖς τῶν Θρακῶν πίναξιν, οὓς ἡ τοῦ Ὀρφέως κατέγραψε μοῦσα, μήθ' ὅσα ὁ Φοῖβος ῥιζοτομήσας, Ἀσκληπιάδαις παρέδωκε φάρμακα πολυμόχθοις ἀνθρώποις, πρὸς ἐκείνην ἰσχύει.

Ἀλλ' οὔτ' ἐπὶ τοὺς βωμοὺς αὖ καὶ τὸ βρέτας αὐτῆς μόνης τῆς θεᾶς ἔξεςι προσελθόντας εὑρεῖν τῶν κακῶν θεραπείαν· θυσίας γὰρ οὐ προσίεται· ἀλλ' ὦ πότνια, μή μοι ἐπαχθεςέρα ἔλθοις τοῦ πρὶν ἐν τῷ βίῳ· καὶ γὰρ καὶ Ζεὺς αὐτὸς ὅ,τι ἂν κατανεύῃ, τοῦτο μετὰ σοῦ ἐκτελεῖ· εἴγε σὺ καὶ τὸν ἐν Χάλυψι σίδηρον τῇ παρὰ σεαυτῆς δυνάμει καταδαμάζεις· καὶ μόνης σοῦ τἀπότομον καὶ ἀνάλγητον φρόνημα οὐκ ἔστιν οὐδενὶ τῶν ἁπάντων καταδυσωπήσασθαι.

Αὕτη δὴ ἡ θεὰ καὶ σὲ νῦν, ὦ δύςηνε, περιείλιξεν ἐν ταῖς ἑαυτῆς ἀφύκτοις δεσμοῖς· ἀλλὰ παῦσαι κλαίων. τοὺς γὰρ ἐν ᾅδῃ δάκρυσιν ἐξαγαγεῖν ἀδύνατον· ὁρῶμεν δὲ καὶ τοὺς παῖδας τῶν θεῶν, ὅσοι αὐτοῖς ἐγένοντο σκότιοι, καὶ αὐτοὺς ἐν ᾅδου διαιτωμένους· φίλη μὲν ἦν Ἄλκηςις, ὅτε ἦν μεθ' ἡμῶν, φίλη δέ ἐςι καὶ θανοῦσα·

---

ἢ βίβλοι Ὀρφέως ἦσαν περὶ μαντικῆς· ὡς συνάγεται καὶ ἐξ ὧν ὁ ποιητὴς μέμνηται τοῦ μαντείου τούτου ἐν Ἑκάβῃ ςίχ. 1243. ἢ ὅτι Ὀρφεὺς ἔγραψε πρῶτον περὶ Μυςηρίων. 993. Χαλύβοισι] ἄμεινον Χαλύβεσσιν, ὡς ἐν ἄλλοις· ἔθνος δὲ οὗτοι περὶ τον Πόντον, ἔνθα σιδηρᾶ ἐςι μέταλλα. ἴδε Ξενοφῶντα ἐν τῷ περὶ Ἀναβάσεως Κύρου βιβλ. έ. ί. 1002. Σκότιοι] παῖδες νόθαι· παρὰ τὸ ἐξ ἀδᾳδουχήτων γάμων γίνεσθαι τοὺς τοιούτους, καὶ ἄνευ λαμπάδων}

Φίλα δ' ἔτι καὶ θανοῦσα·
Γενναιοτάταν δὲ πασᾶν
Ἔζευξω κλισίαις ἄκοιτιν.
Μηδὲ νεκρῶν ὡς φθιμένων χῶμα νομιζέσθω (Ἀντ. β'.)
Τύμβος σᾶς ἀλόχου· θεοῖσι δ' ὁμοίως
Τιμάσθω, σέβας ἐμπόρων.
Καί τις δοχμίαν κέλευθον
Ἐμβαίνων τόδ' ἐρεῖ·
Αὕτα ποτὲ προὔθανεν ἀνδρός,
Νῦν δ' ἐστὶ μάκαιρα δαίμων,
Χαῖρ', ὦ πότνι', εὖ δὲ δοίης.
Τοῖαί νιν προσεροῦσι φᾶμαι.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΧΟΡΟΣ, ΗΡΑΚΛΗΣ, ΑΔΜΗΤΟΣ.

ΧΟ. Καὶ μὴν ὅδ', ὡς ἔοικεν, Ἀλκμήνης γόνος
Ἄδμητε, πρὸς σὴν ἑστίαν πορεύεται.
ΗΡ. Φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,
Ἄδμητε, μορφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις ἔχειν
Σιγῶντ'. ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν,
Ἐγγὺς παρεστὼς ἐξετάζεσθαι φίλος·
Σὺ δ' οὐκ ἔφραζες σῆς προκείμενον νέκυν
Γυναικός· ἀλλά μ' ἐξένιζες ἐν δόμοις,
Ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.
Κἄστεψα κρᾶτα, καὶ θεοῖς ἐσπεισάμην
Σπονδὰς ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.

καὶ σύγ' ἔγημας ταύτην πασῶν γυναικῶν γενναιοτέραν τε καὶ εὐκλεεςέραν.

Ταύτης ἄρα τὸν τάφον οὐχ ὡς νεκροῦ νομιςέον, ἀλλ' ὁμοίως τοῖς θεοῖς τιμητέον· ὃν ἰδὼν ὁδίτης σεβάσεται· καὶ παραλλάξας, ἐρεῖ· Αὕτη δὴ ὑπὲρ τοῦ ἑαυτῆς ἀνδρός ποτε προθανοῦσα, νῦν ἐςι μάκαιρα θεά. Χαῖρε, ὦ πότνια· δῴης δὲ ἡμῖν ἀγαθά. Τοιαῦται ἔσονται περὶ αὐτῆς φῆμαι.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΧΟΡΟΣ, ΗΡΑΚΛΗΣ, ΑΔΜΗΤΟΣ.

ΧΟ. Ἄδμητε, ἴδε ἐκεῖνος ἥκει δεῦρ' ὡς ἡμᾶς· Ἡρακλῆς, ὡς ἔοικεν, ἐστὶν ὁ Ἀλκμήνης.

ΗΡ. Ἄδμητε, φίλον ἄνδρα δεῖ χρήσασθαι παῤῥησίᾳ, μηδὲν, εἴτι μέμψασθαι ἔχοι, κρύπτοντα ἐν τῷ ἐνδομύχῳ· ἐγὼ γὰρ, ἐπειδὴ ἔτυχον καταλύσας παρά σοι, ἠξίουν καὶ πρὸς τὰς σὰς συνεξετάζεσθαι συμφορὰς, συναντιλαμβάνων καὶ ἀνακουφίζων ἐν πᾶσι· σὺ δ' ἀπεκρύψω πρὸς ἐμὲ, προκείμενον ἔχων τὸν τῆς γυναικὸς νεκρόν· καὶ δὴ ἐξένισάς με, ὡς δὴ ἀλλοτρίας συμφορᾶς ταύτης ποιούμενος σπουδήν· ἐγὼ δ' ἐν ἀγνοίᾳ ὢν τοῦ συμβεβηκότος, ἐστεψάμην, καὶ θεοῖς ἐσπεισάμην, ἐν τῷ

Καὶ μέμφομαι δὴ, μέμφομαι, παθὼν τάδε·
Οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.
Ὧν δ' οὕνεχ' ἥκω, δεῦρ' ὑποστρέψας πάλιν,
Λέξω· γυναῖκα τήνδ' ἐμοὶ σῶσον λαβὼν,
Ἕως ἂν, ἵππους δεῦρο Θρηκίας ἄγων,
Ἔλθω, τύραννον Βιστόνων κατακτανών.
Πράξας δ', ὃ μὴ τύχοιμι, (νοστήσαιμι γὰρ)
Δίδωμι τήνδε σοῖσι πρόσπολον δόμοις.
Πολλῷ δὲ μόχθῳ χεῖρας ἦλθεν εἰς ἐμάς·
Ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
Τιθέντας ἀθληταῖσιν, ἄξιον πόνου,
Ὅθεν κομίζω τήνδε, νικητήρια
Λαβών· τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν ἦν
Ἵππους ἄγεσθαι, τοῖσι δ' αὖ τὰ μείζονα
Νικῶσι, πυγμὴν καὶ πάλην, βουφόρβια·
Γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'· ἐντυχόντι δὲ
Αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.
Ἀλλ', ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή·
Οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν
Ἥκω· χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.
ΑΔ. Οὔτοι σ' ἀτίζων, οὐδ' ἐν αἰσχροῖσιν τιθεὶς,

---

1029. ὑποςρέψας] οὐχὶ τὸ πρῶτον λέγει· ἀλλὰ τὸ δεύτερον τὸ ἀπὸ τοῦ τάφου, καὶ τῆς πρὸς τὸν θάνατον μάχης, ὅπερ Ἄδμητος ἠγνόει, καὶ ἐνόμιζεν, ὅτι ἐκεῖνος ἀπῆλθεν εἰς Θρᾴκην· 1034. Πράξας δὲ, ὃ μη τύχοιμι] ἐὰν δὲ πράξω κακῶς, ὅ ἐστι δυςυχήσω, ὃ μή μοι γένοιτο· γένοιτο δέ μοι ἀπονοςῆσαι. 1037. Εὑρίσκων] ἔγραψα εὑρίσκω, ὡς ἐν ἄλλοις. ἔστι δὲ ἀντὶ τοῦ εὕρηκα. 1038. Ἄξιον πόνου] ἄξιον μὴ ἐγκαταλιπεῖν αὐτόν,

σῷ οἴκῳ ᾧδε ταῦτα πλημμελήσας· ἐφ' οἷς οὐκ ἔχω, ὅπως μὴ μέμψομαί σε, τοιαῦτα παθών· ἀλλ' οὐδ' ἂν βουλοίμην ἄλλως ἐν τοιούτοις κακοῖς σε λυπεῖν· ἐρῶ δέ σοι μόνον, ὧν ἕνεκα ἦλθον δεῦρ', ἐπιστρέψας πάλιν· σῶζέ μοι τήνδε γυναῖκα λαβὼν, μέχρις ἂν ἐπανήκω, τὰς Θρακίας ἵππους δεῦρ' ἄγων, Διομήδην τὸν τῶν Βιςόνων τύραννον ἀνελών· εἰ δέ μοι συμβαίη τὸ ἐναντίον, ὃ μή μοι γένοιτο· (δῴη γάρ μοι θεὸς νόςου τυχεῖν) δίδωμί σοι ταύτην θεράπαιναν τῷ σῷ οἴκῳ εἶναι· ἐκτησάμην δ' αὐτὴν οὐκ ἀκονιτὶ, ἀλλ' ἀγῶνα πάνδημον εὑρὼν τιθέντας τινὰς ἀθληταῖς· ἦν δὲ τὰ ἆθλα τοῖς μὲν ἅλμα καὶ δρόμον ἀγωνισαμένοις, ἵππους λαβεῖν· τοῖς δὲ τὰ μείζω, πάλην καὶ πυγμὴν, βοῦς· τῷ δὲ ἄμφω νικῶντι εἵπετο γυνή· Ἐν τούτοις οὖν γενομένῳ μοι κατὰ συγκυρίαν, αἰσχρὸν ἔδοξεν ὑπεριδεῖν κέρδος παραπεπτωκὸς εὐκλεές· Σοὶ τοίνυν, ὅπερ φθὰς ἔφην, τῆς γυναικὸς μελήσει· οὐ γὰρ κλεψιμαίαν, ἀλλ' ἀρετῆς ἆθλον αὐτὴν ἀγόμενος ἥκω· χρόνῳ δὲ, εὖ οἶδ' ὅτι, ἐπαινέσεις με καὶ αὐτὸς τὰ εἰκότα.

**ΑΔ.** Οὔτε σε ἀτιμάζων, οὔτ' ἐμαυτῷ ἡγούμενος αἰσχρὸν τὴν

---

κινίττεται δὲ τὸν κατὰ τοῦ θανάτου· 1040. Κοῦφα] κοῦφα μὲν ἂν εἴη ἅλμα καὶ δρόμος, ἃ ἀγῶνες εἰσὶ τοῖς εὐζώνοις καὶ κούφοις· μείζω δὲ, πυγμὴ καὶ πάλη, φιλοτιμήματα ταῦτα τῶν εὐσάρκων καὶ ςιβαρῶν· τὸν δ' ἐπὶ τῇ γυναικὶ ἀγῶνα ἐσιώπησεν ὅλως, εἰ μήτι τὸ, Ἐπ' αὐτοῖς, γραπτέον, ἐπ' ἀμφοῖν· 1044. Σοὶ μέλλειν γυναῖκα χρὴ] τὸ Γυναῖκα ληπτέον ἀπαρεμφατικῶς· παρὰ γὰρ τοῖς ποιηταῖς λαμβάνεται προσωπικὸν τὸ Μέλειν. 1048. Ἐν αἰσχροῖς] ἐν ἄλ-

Ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίους τύχας·
Ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
Εἴ του πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου·
Ἅλις δὲ κλάειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
Γυναῖκα δ', εἴπως ἐστὶν, αἰτοῦμαί σ', ἄναξ,
Ἄλλον τίν', ὅςτις μὴ πέπονθεν, οἷ' ἐγὼ,
Σώζειν ἄνωχθι Θεσσαλῶν· πολλοὶ δέ σοι
Ξένοι Φεραίων· μή μ' ἀναμνήσῃς κακῶν.
Οὐκ ἂν δυναίμην, τήνδ' ὁρῶν ἐν δώμασιν,
Ἄδακρυς εἶναι· μὴ νοσοῦντί μοι νόσον
Προσθῇς· ἅλις γὰρ συμφοραῖς βαρύνομαι.
Ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
Νέα γὰρ, ὡς ἐσθῆτι καὶ κόσμῳ πρέπει
Πότερα κατ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
Καὶ πῶς ἀκραιφνὴς, ἐν νέοις στρωφωμένη,
Ἔσται; τὸν ἡβῶνθ', Ἡράκλεις, οὐ ῥᾴδιον.
Εἴργειν· ἐγὼ, δέ σου προμηθίαν ἔχω.
Ἢ τῆς θανούσης θάλαμον εἰσβήσας τρέφω;
Καὶ πῶς ἐπεισφρῶ τήνδε τῷ κείνης λέχει;
Διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν,
Μή τίς μ' ἐλέγξῃ τὴν ἐμὴν εὐεργέτιν
Προδόντ', ἐν ἄλλης δεμνίοις πιτνεῖν νέας,
Καὶ τῆς θανούσης (ἀξία δέ μοι σέβειν)
Πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν· σὺ δ', ὦ γύναι,
Ἥτις ποτ' εἶ σὺ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι
Μορφῆς μέτρ' ἴσθι, καὶ προσῄϊξαι δέμας.

---

λοις κεῖται, ἐν ἐχθροῖς. 1061. Νέα γὰρ ὡς ἐσθῆτι πρέπει] δοκεῖ, ὅτι τὸ πρόσωπον Ἀλκήστις εἶχεν ἢ ἀνεςραμμένον, ἢ κεκαλυμμένον. 1074. Καὶ προσήϊξαι δέμας] παρὰ τὸ πρὸς καὶ εἴκω· εἴξω, εἶκα, εἶγμαι, καὶ διαλύσει εἴγμαι· ὅθεν

τῆς γυναικὸς συμφορὰν ἐκρυψάσε· ἀλλ᾽ ἄλγος ἐπ᾽ ἄλγει ἐπιθέμην ἑμαυτῷ, ἰδών σε ὁρμώμενον παρ᾽ ἄλλῳ τῳ καταλῦσαι· ἅλις δ᾽ ἔμοιγε τὸ παρὸν ἦν δυςύχημα κλαίειν· Ὅσον δὲ περὶ τῆς γυναικὸς ἕνεκα, ἀξιῶ σε, ὦ ἄναξ, ἄλλῳ τῳ, εἴπως, εἴη, τούτων δὴ τῶν Θετταλῶν παρακαταθέσθαι, ὃς ἂν τυγχάνῃ μὴ ταῦτά μοι πεπονθώς· πολλοῖς γὰρ τῶν Φεραίων ξενία πρὸς σὲ τυγχάνει οὖσα· μήδ᾽ ἀναμνήσῃς με αὐτὸς τῶν κακῶν ταύτην γὰρ ὁρῶν οἴκοι, οὐκ ἂν δυναίμην μὴ ἐν δάκρυσι καταῤῥεῖσθαι· Μὴ οὖν τραῦμ᾽ ἐπὶ τραύματι ἐπιθῇς μοι· ἅλις ἡ παροῦσα ἐπιβρίθει μοι συμφορά· νέα γὰρ οὖσα, ὅσον ἐκ τῆς ἐσθῆτός ἐστιν εἰκάσαι, πῇ τῆς οἰκίας ἂν διητῆτο; πότερον, ἔνδον μετὰ τῶν ἀνδρῶν; καὶ πῶς ἂν εἴη ἄμεμπτον αὐτὴν ἐν ἀνδράσι διαγενέσθαι; τὸ γὰρ ἐν ἥβῃ σφριγῶν δυσκάθεκτόν ἐςι φύσει· κἀγὼ οὐκ ἂν δυναίμην ἀδιάφορος ἐν τούτοις πρὸς σὲ γενέσθαι· ἢ εἰς τὸν θάλαμον αὖ κατακλείσας αὐτὴν τῆς γυναικὸς, φυλάττων ἀλλὰ πῶς ἂν εἴη μοι καλὸν ἐκεῖ εἰσφρῆσαι ταύτην; διχόθεν γὰρ μέμψις μοι ἐκ τούτου ἔσται· παρά τε γὰρ τοῖς πολλοῖς πολὺς ἔσται λόγος περὶ ἐμοῦ, ὡς τῆς προτέρας καὶ εὐεργέτιδος ἐκείνης ἐπιλελησμένος, ἑτέραν εἰσαγαγὼν συνευνάζομαι· καὶ δεύτερον τῆς ἀποθανούσης ἐκείνης (ἀξία γὰρ) πολλὴν πρόνοιαν δεῖ με ἔχειν. Σὺ δ᾽, ὦ γύναι, ἥτις ποτ᾽ ἂν ᾖς, ἴσθι τὸ αὐτὸ αἴθυγμα τῆς φυῆς Ἀλκήστιδι ἔχουσα καὶ τὸ σῶμ᾽ ὅλως

---

Ὅμηρος, Ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην· καὶ τροπῇ τοῦ ε εἰς η ἤϊγμαι ἤϊξαι, προσήϊξαι· ὡς καὶ παρ᾽ Ὁμήρῳ (Ὀδύσ. 796.) δέμας δ᾽ ἤϊκτο γυναικός

Οἴμοι! κόμιζε πρὸς θεῶν ἀπ' ὀμμάτων
Γυναῖκα τήνδε, μή μ' ἕλῃς ᾑρημένον.
Δοκῶ γὰρ αὐτὴν εἰσορῶν, γυναῖχ' ὁρᾷν
Ἐμήν· θολοῖ δὲ καρδίαν, ἐκ δ' ὀμμάτων
Πηγαὶ κατεῤῥώγασιν, ὦ τλήμων ἐγὼ,
Ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ!
ΧΟ. Ἐγὼ μὲν οὐκ ἔχοιμ' ἂν εὖ λέγειν τύχην.
Χρὴ δ', ὅστις εἶ σὺ, καρτερεῖν θεοῦ δόσιν.
ΗΡ. Εἰ γὰρ τοσαύτην δύναμιν εἶχον, ὥςε σὴν
Ἐς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
Γυναῖκα, καὶ σοὶ τήνδε πορσῦναι χάριν!
ΑΔ. Σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
Οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.
ΗΡ. Μὴ νῦν ὑπέρβαλ', ἀλλ' ἐναισίμως φέρε.
ΑΔ. Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.
ΗΡ. Τί δ' ἂν προκόπτοις, εἰ θέλεις ἀεὶ στένειν;
ΑΔ. Ἔγνωκα κ'αὐτὸς, ἀλλ' ἔρως, τίς με ἐξάγει.
ΗΡ. Τὸ γὰρ φιλῆσαι τὸν θανόντ' ἄγει δάκρυ.
ΑΔ. Ἀπώλεσέν με, κἄτι μᾶλλον, ἢ λέγω·
ΗΡ. Γυναικὸς ἐσθλῆς ἤμπλακες· τίς ἀντερεῖ;
ΑΔ. Ὥςτ' ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίῳ.
ΗΡ. Χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβάσκει, κακόν.
ΑΔ. Χρόνον λέγοις ἄν, εἰ χρόνος τὸ κατθανεῖν.
ΗΡ. Γυνή σε παύσει καὶ νέου γάμου πόθος.

1079. Κατεῤῥώγασιν] ῥηγνύω, ἢ ῥήσσω, ῥήξω, ἔῤῥωγα, κατεῤῥώγασιν· οὕτω καὶ παρὰ Θουκυδίδῃ· οὔπω ξυνεῤῥώγει ὁ πόλεμος· δυσανασχετεῖ δὲ Ἄδμητος

ἔοικός τῷ ἐκείνης· οἴμοι· Ἄπαγε πρὸς θεῶν τήνδ' ἀπὸ τῶν ἐμῶν ὀφθαλμῶν, καὶ μὴ ἀπολέσῃς ἤδη ἀπολωλότα ὅλως· ἐν γὰρ ταύτῃ τὴν ἐμαυτοῦ δοκῶ γυναῖκ' ὁρᾶν· διὸ ταραττομένης μου τῆς ψυχῆς, δάκρυα εὐθὺς ἀπὸ τῶν ὀμμάτων ἐκθλίβονται· ὦ τάλας ἐγώ· οἵου πένθους πικροῦ αἰσθάνομαι τούτου.

**ΧΟ.** Τὴν μὲν παροῦσαν σοι τύχην ἐπαινεῖν οὐκ ἔχω· φημὶ δὲ χρῆν σε φέρειν γενναίως καὶ ἀναγκαίως τὰ παρὰ τῶν θεῶν.

**ΗΡ.** Εἴθε μοι εἴη δύναμις ἐκ Διὸς ἀναγαγεῖν τὴν σὴν γυναῖκα ἐκ τῶν τοῦ Ἅδου πυλῶν· καί σοι τὴν χάριν αὐτὴν καταθέσθαι.

**ΑΔ.** Οἶδα μέν σε βουλόμενον τοῦτο· ἀλλὰ ποῦ τόδε; ὁ γὰρ ἀποθανὼν ἅπαξ, τέθνηκεν ἀϊδίως, καὶ οὐκέτ' ἂν ἴδοι ἐκεῖνος τὸ φῶς.

**ΗΡ.** Νῦν δ' ἀφεὶς τὴν ὑπερβολὴν, φέρε τὰ παρόντα γενναίως.

**ΑΔ.** Παραινεῖν μὲν ῥᾴδιον, χαλεπὸν δὲ παθόντα φέρειν.

**ΗΡ.** Τίς δ' ὄνησις τῶν πολλῶν τούτων θρήνων.

**ΑΔ.** Οἶδα μὲν τοῦτο, ἀλλ' ὁ πόθος ἐκφέρει με.

**ΗΡ.** Φίλου γὰρ τεθνεῶτος, ἐκθλίβεται δάκρυ.

**ΑΔ.** Ἀπώλεσέ με καὶ πλέον, ἢ ὥστε λέγειν.

**ΗΡ.** Τίς ἀντερεῖ; ἀρίστη γεγενημένη.

**ΑΔ.** Ὥστ' οὐκέθ' ἡδύς ἐστιν ἐμοὶ ὁ βίος.

**ΗΡ.** Νέον γὰρ τὸ πάθος· τῷ δὲ χρόνῳ καθυφήσει.

**ΑΔ.** Πάνυ, εἰ τὸν θάνατον αὐτὸν χρόνον λέγεις.

**ΗΡ.** Νέου φημὶ γάμου πόθος σε μαλάξει.

---

ὑπιδὼν, ὡς τὸ πρόσωπον αὐτῆς μικρόν. 1090. Τί δ' ἂν προκόπτοις. ἴδε Ἱππολ.

ΑΛ. Σίγησον· οἷον εἶπας! οὐκ ἂν ᾠόμην.
ΗΡ. Τί δ'; οὐ γαμεῖς γάρ, ἀλλὰ χηρεύσει λέχος;
ΑΛ. Οὐκ ἔςιν, ἥτις τῷδε συγκλιθήσεται.
ΗΡ. Μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;
ΑΛ. Κείνην, ὅπου πέρ ἐςι, τιμᾶσθαι χρεών.
ΗΡ. Αἰνῶ μὲν, αἰνῶ· μωρίαν δ' ὀφλισκάνεις.
ΑΛ. Ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.
ΗΡ. Ἐπήνεσ', ἀλόχῳ πιστός οὕνεκ' εἶ φίλος.
ΑΛ. Θάνοιμ', ἐκείνην, καίπερ οὐκ οὖσαν, προδούς.
ΗΡ. Δέχου νῦν εἴσω τήνδε γενναίων δόμων.
ΑΛ. Μὴ, πρός σε τοῦ σπείραντος ἄντομαι Διός.
ΗΡ. Καὶ μὴν ἁμαρτήσει γε, μὴ δράσας τάδε.
ΑΛ. Καὶ δρῶν γε, λύπῃ καρδίαν δηχθήσομαι.
ΗΡ. Πιθοῦ· τάχ' ἂν γὰρ ἐς δέον πέσοι χάρις.
ΑΛ. (Φεῦ!) εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ 'λάβες ποτέ.
ΗΡ. Νικῶντι μέντοι καὶ σὺ συννικᾷς ἐμοί.
ΑΛ. Καλῶς ἔλεξας. ἡ γυνὴ δ' ἀπελθέτω.
ΗΡ. Ἄπεισιν, εἰ χρή. πρῶτα δ' εἰ χρεὼν, ἄθρει.
ΑΛ. Χρή. σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.
ΗΡ. Εἰδώς τι κἀγὼ, τήνδ' ἔχω προθυμίαν.
ΑΛ. Νίκα νυν. οὐ μὴν ἀνδάνοντά μοι ποιεῖς.
ΗΡ. Ἀλλ' ἔσθ', ὅθ' ἡμᾶς αἰνέσεις· πιθοῦ μόνον.
ΑΛ. Κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.
ΗΡ. Οὐκ ἂν μεθείην σοῖς γυναῖκα προσπόλοις.

---

ςίχ. 23. 1100. Ἀλλὰ χηρεύσει λέχος] ἐν ἄλλοις, ἀλλὰ χηρεύεις μόνος; 1105 Καλῶν] ἀπ[ο]δος τοῦτο, κατωτέρω εἰς το. Θάνοιμι, καίπερ ἐν τῇ παραφράσει διέλυσα ἄλλως τὸ πρόςωπον. 1104. Συννικᾷς] ὁ μὲν Ἡρακλῆς λέγει, συννικᾷς,

ΑΔ. Ποῖον τοῦτ' εἶπας; οὐδ' ἤλπισ' ἀκούσειν.
ΗΡ. Τί δέ; ἐάσεις τὴν σὴν εὐνὴν χηρεύειν;
ΑΔ. Οὐδ' ἔστιν, ἥτις ἔσται μοι συνευνέτις.
ΗΡ. Τί δὲ ὄφελος τοῦτο πρὸς τὴν θανοῦσαν.
ΑΔ. Ἔνθ' ἂν ᾖ ἐκείνη, ἔσται μοι τιμητέα.
ΗΡ. Καλῶς μὲν ταῦτα· μωρίαν δ' ὀφλισκάνεις.
ΑΔ. Ἴσθ' οὐδέποτε καλέσεις με νυμφίον.
ΗΡ. Πιστὸς εἶ φίλος πρὸς τὴν σαυτοῦ γυναῖκα.
ΑΔ. Ἀπολοίμην, ἣν προδῶ καὶ θανοῦσαν ἐκείνην.
ΗΡ. Ἀλλ' εἰσαγαγὼν τήνδε, δέξαι τοιαύτην οὖσαν.
ΑΔ. Παῦσαι πρὸς Διὸς τοῦ σοῦ πατρὸς λέγων ταῦτα.
ΗΡ. Οὐ καλῶς ποιήσεις, ἐὰν μου παρακούσῃς.
ΑΔ. Κἂν ὑπακούσω, τακήσομαι τῇ λύπῃ.
ΗΡ. Πείθου μοι σύγε· ἐν καιρῷ γὰρ ἡ χάρις.
ΑΔ. Φεῦ· εἴθε μὴ ἔλαβες αὐτὴν ἐκ τοῦ ἀγῶνος.
ΗΡ. Καὶ μὴν ἐγώ σε συνικητὴν νομίζω.
ΑΔ. Οἶδα μὲν τοῦτο, ἀλλ' ἡ γυνὴ ἀπίτω.
ΗΡ. Καλῶς· ἀλλὰ σκέψαι, εἰ χρή σε πράττειν τοῦτο.
ΑΔ. Τί δ' οὐχὶ, εἰ μὴ αὐτὸς παροργισθείης;
ΗΡ. Οὐκ ἄνευ λόγου ταῦτά σοι προθυμοῦμαι.
ΑΔ. Ἔστω νῦν· ἀλλ' οὐκ ἀνεκτὰ βιάζῃ με.
ΗΡ. Ἀλλὰ καὶ ἐπαινέσεις, πείθου δέ μοι μόνον.
ΑΔ. Εἰσάγεθ' ὑμεῖς, εἰ χρὴ γενέσθαι τοῦτο.
ΗΡ. Οὔμενουν παραδοτέα ἔλεγε τοῖς οἰκέταις.

---

ὡς ἀπολαμβάνων τὴν σαυτοῦ γυναῖκα· ὁ δὲ ἀγνοῶν τοῦθ' ὅλως, λέγει συνικῶ, ὡς μετέχων τῆς σῆς δόξης διὰ φιλίαν· οὕτως οὖν ἑτέρως ἐν ἑκατέρῳ εἴ-

ΑΔ. Σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμοις.
ΗΡ. Ἐς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.
ΑΔ. Οὐκ ἂν θίγοιμι· δῶμα δ' εἰσελθεῖν πάρα.
ΗΡ. Τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.
ΑΔ. Ἄναξ, βιάζει μ' οὐ θέλοντα δρᾶν τάδε.
ΗΡ. Τόλμα, πρότεινε χεῖρα καὶ θίγε ξένης.
ΑΔ. Καὶ μὴν προτείνω, Γοργόν' ὡς καρατόμῳ.
ΗΡ. Ἔχεις;
ΑΔ. Ἔχω ναί.
ΗΡ. Σῶζε νῦν, καὶ τὸν Διὸς
Φήσεις πότ' εἶναι παῖδα γενναῖον ξένον.
Βλέψον δ' ἐς αὐτὴν, εἴτε σοὶ δοκεῖ πρέπειν
Γυναικί. λύπης δ' εὐτυχῶν μεθίστασο.
ΑΔ. Ὦ θεοὶ, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε·
Γυναῖκα λεύσσω τήνδ' ἐμὴν ἐτητύμως.
Ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;
ΗΡ. Οὐκ ἔστιν· ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.
ΑΔ. Ὅρα γε μή τι φάσμα νερτέρων τόδε ᾖ.
ΗΡ. Οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.
ΑΔ. Ἀλλ', ἣν ἔθαπτον, εἰσορῶ δάμαρτ' ἐμήν;
ΗΡ. Σάφ' ἴσθ'. ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχῃ.

---

ληπται ταῦτα. 1129. Καρατόμῳ] οὐκ ἦν ἂν, ὃς ἂν ἴδῃ τὴν Γοργῶνα, μὴ ἀπολιθωθῆναι. Περσεὺς δ' ὀπισθοφανῶς προσιὼν αὐτῇ εἰς κάτοπτρον ἐμβλέπων δούσης τῆς Ἀθηνᾶς, ἐκαρατόμησεν αὐτὴν κοιμωμένην· οὐκοῦν κἀγὼ, φησὶ, δέχομαι αὐτὴν ὡς τὴν Γοργὼ ὀπισθοφανῶς. 1140. Ψυχαγωγὸν] εἶδος γ[illegible]των

ΑΔ. Εἰσάγαγε δ' αὐτὸς, εἴγε δοκεῖ σοι τοῦτο.

ΗΡ. Ἐμὸν δ' ἔργον σοὶ ταύτην παραδοῦναι.

ΑΔ. Οὐκ ἂν ψαύσαιμι· εἰσελθέτω δὲ ἔνδον μόνον.

ΗΡ. Τῇ σῇ δεξιᾷ αὐτὸς πιστεύω μόνῃ.

ΑΔ. Ἄναξ, βιάζῃ με πράττειν, ἃ μὴ θέλω.

ΗΡ. Προτείνας τὴν χεῖρα, ἅπτου μοι τῆς ξένης.

ΑΔ. Ἰδοὺ προτείνας, ὡς τῆς Γοργόνος ψαύω.

ΗΡ· Ἔχεις;

ΑΓ Ναὶ ἔχω.

ΗΡ. Καὶ δὴ λαβὼν αὐτὴν ἤδη, σῶζε σεαυτῷ· καὶ ἐρεῖς πόθ ὕςερον, ὡς γενναῖός ἐστιν ὁ παῖς τοῦ Διός· βλέψας δ' εἰς αὐτὴν, ὅρα εἴ τι ἔοικε τῇ σῇ γυναικί· καὶ νῦν εὐτυχῶν, τῶν πολλῶν θρήνων παῦσαι.

ΑΔ. Ὦ Ζεῦ, τί λέξω, θαῦμα τοῦτ' ἀπροσδόκητον ἔμοιγε· τί γάρ; τὴν ἐμὴν Ἄλκηςιν ὁρῶ τήνδε; ἢ θεῶν τις ἄλλως ἐςὶν ἐξαπάτη;

ΗΡ. Οὔκ, ἀλλὰ σὺ τὴν σαυτοῦ ὁρᾷς γυναῖκα.

ΑΔ. Μὴ νεκροῦ φάσμα σὺ τοῦτό μοι προσάγεις;

ΗΡ. Εἰ ψυχαγωγός εἰμι, ἀλλ' οὔ σοι ξένος ὄντως.

ΑΔ. Ὁρῶ τὴν γυναῖκα, ἣν ἔθαψα ἀρτίως;

ΗΡ. Οὐδὲν δὲ θαυμαςὸν ἀπορεῖν πρὸς τὴν τύχην.

---

οἱ ψυχαγωγοὶ ἦσαν ἐν Θεσσαλίᾳ, οἱ διὰ καθαρμῶν καὶ γοητειῶν ἐξῆγον τὰ εἴδωλα ἀπὸ τοῦ ᾅδου· οὓς μετεπέμψαντο, φασὶ, καὶ οἱ Λακεδαιμόνιοι, ἡνίκα τὸ τοῦ Παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου.

ΑΔ. Θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ' ἐμήν;
ΗΡ. Πρόσειπ'. ἔχεις γὰρ πᾶν, ὅσον περ ἤθελες.
ΑΔ. Ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
Ἔχω σ' ἀέλπτως, οὔ ποτ' ὄψεσθαι δοκῶν.
ΗΡ. Ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν!
ΑΔ. Ὦ τοῦ μεγίςου Ζηνὸς εὐγενὲς τέκνον,
Εὐδαιμονοίης, καί σ' ὁ φιτύσας πατὴρ
Σώζοι! σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος.
Πῶς τήνδ' ἔπεμψας νέρθεν ἐς φάος τόδε;
ΗΡ. Μάχην ξυνάψας νερτέρων τῷ κυρίῳ.
ΑΔ. Ποῦ τόνδε Θανάτου φὴς ἀγῶνα συμβαλεῖν;
ΗΡ. Τύμβον παρ' αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.
ΑΔ. Τί γάρ ποθ' ἥδ' ἄναυδος ἕςηκεν γυνή;
ΗΡ. Οὔπω θέμις σοι τῆςδε προσφωνημάτων
Κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
Ἀφαγνίσηται, καὶ τρίτον μόλῃ φάος.
Ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
Τὸ λοιπὸν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
Καὶ χαῖρ'. ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών·
ΑΔ. Μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ·
ΗΡ. Αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.
ΑΔ. Ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις ὁδὸν!
Ἀστοῖς δὲ πάσῃ τ' ἐννέπω τετραρχίᾳ,

1152. Νερτέρων] ἐν ἄλλοις δαιμόνων, οὐ καλῶς. 1156. Οὔπω θέμις] τῆς Λύσεως ἤδη γεγενημένης, οἰκονομεῖ τὸ πρᾶγμα πάνυ καλῶς τῷ τρόπῳ καὶ τῇ

ΑΔ. Ψαύσω δὲ ταύτης, καὶ προσφθέγξωμαι ζῶσαν;

ΗΡ. Πρόσειπε δή· ἔχεις γὰρ, ὃ ἐπόθεις ἄρτι.

ΑΔ. Ὦ φάος γλυκερὸν, καὶ σῶμα τῆς ἐμῆς φιλτάτης συζύγου ἔχω σέγε, μηδέποτ᾽ ἐλπίσας ὄψεσθαί σε.

ΗΡ. Ἔχεις δή· θεῶν δέ τις φθόνου μὴ βάλοι βέλος.

ΑΔ. Ὦ τοῦ μεγίστου θεῶν εὐγενὲς τέκνον, εὐδαιμονοίης καὶ Ζεύς ὁ σὸς σώζοι σε πατήρ· σὺ γὰρ τἀμὰ νῦν ἀνώρθωσας πράγματα· ἀλλὰ πῶς ἀνήγαγες αὐτὴν ἐξ ᾅδου

ΗΡ. Εἰς χεῖρας ἐλθὼν τῷ βασιλεῖ τῶν τεθνεώτων

ΑΔ. Τὸν θάνατον φής· καὶ ποῦ ὑπέστης τοῦτον;

ΗΡ. Παρὰ τῷ τύμβῳ ἐπιθέμενος ἐκ λόχου.

ΑΔ. Ἡ δὲ ἐμὴ γυνὴ τίποθ᾽ οὕτως ἀφώνως ἔχει;

ΗΡ. Οὐ γὰρ θέμις σοι ἀκούειν αὐτῆς φθεγγομένης, πρὶν ἂν χρήσηται καθαρμοῖς πρὸς τοὺς κάτω θεοὺς, καὶ τρίτη ἀπὸ ταύτης παρέλθῃ ἡμέρα· νῦν δ᾽ εἴσαγε αὐτὴν ἔνδον· καὶ ὡς εὐσεβῶν ἀεὶ πρὸς τοὺς ξένους, καὶ δίκαιος πρὸς πάντας γιγνόμενος, χαῖρε· ἐπείγομαι γὰρ τὸν προκείμενον ἀγῶνα Εὐρυσθεῖ ἐκτελέσαι.

ΑΔ. Μεῖνον παρ᾽ ἡμῖν, χ᾽ ὁμωρόφιος γίγνου.

ΗΡ. Ἔσαι εἰσαῦθις· νῦν γὰρ, ὡς ἔφην, ἐπείγομαί γε.

ΑΔ. Ἀλλ᾽ εὐδαιμονίης μοι, τέκνον Διὸς, καὶ ἴδοιμί σε ἐπανελθόντα. Ἀςοῖς δὴ πᾶσιν, καὶ τετταρχίᾳ πάσῃ προσ-

---

αἰτία τῆς σιωπῆς· εἰ γὰρ ἐξῆν τῇ γυναικὶ λαλῆσαι, ἔδει ἐξ ὑπαρχῆς ἑτέρας λύσεως ἄρξασθαι. 1166. Τετραρχίᾳ] εἰς γὰρ τέσσαρας ἐπαρχίας διῄρηται

Χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
Βωμούς τε κνισσᾶν βουθύτοισι προστροπαῖς·
Νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
Τοῦ πρόσθεν. οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.

ΧΟ Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

Θεσσαλία, εἰς Θετταλιῶτιν, Φθιῶτιν, Πελασγιῶτιν, Ἑστιῶτιν. 1168. Προστροπαῖς.] προστροπὴ λιτανία δια θυσιῶν, ἱκεσία πρὸς καθαρμὸν τοῦ μιάσματος

## ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

τάσσω χοροὺς ἱςάναι ἐπ' εὐτυχίᾳ· βωμοὺς δὲ κνισσᾶν, καὶ θυσίας προστροπαίους ποιεῖν· νῦν γὰρ μᾶλλον, ἢ πρὶν εὐδαιμονοῦμεν· οὐ γὰρ ἔχω μὴ ὁμολογεῖν τοῦτο.

**ΧΟ.** Πολλὴν μεταβολὴν παρὰ τῶν θεῶν ἐνορῶμεν τοῖς ἀνθρωπίνοις πράγμασι γιγνομένην· πολλὰ γὰρ παρ' ἐλπίδα ποιοῦσιν αὐτοῖς οἱ θεοὶ, τἀτ' ἐλπισθέντα ποιοῦντες ἀτέλεςα, καὶ τῶν ἀνελπίςων πόρον τοῦ ἐκτελεῖσθαι διδόντες· οἷον ἀπέβη καὶ τόδε το πρᾶγμα.

---

τοῦ θανάτου. 1171. Πολλαὶ μορφαὶ τῶν δαιμονίων] τὰ τῶν θεῶν ἔργα πολλὰς μορφὰς μεταλαμβάνουσιν, ὥσπερ ἐν τροχῷ ςρεφόμενα, καὶ ἄνωτε κα κάτω μεταπίπτοντα. ἔςι δὲ τὸ αὐτὸ τέλος κἀν τῇ Μηδείᾳ, Ἀνδρομάχῃ, Ἑλένῃ τε καὶ ταῖς Βάκχαις.

## ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ.

| Σελ. | Στίχ. | | |
|---|---|---|---|
| 33. | 7. | ἐχρῆζες, γρφ. | ἔχρηζες. |
| 73. | 9. | πεῦσσον, | πεῦσον. |
| 97. | 19. | εἴ, | εἰς. |
| 112, | 5. | πυντοὺς, | πυκνούς. |
| 114. | 7. | ξυνψανῆ, | ξυνῆψαν. |
| 118. | 2. | πανχλάκοις, | παγχάλκοις. |
| 124. | 2. | δαρκύσας, | δακρύσας. |
| 181. | 14. | ἀνέγκοις, | ἐνέγκοις. |
| 183. | 1. | ὑψιτενῖς· | ὑψιτενεῖς. |
| 188. | 14. | ἤδε, | ἦδε. |
| 211. | 10. | περιίπτεται, | περιίπταται. |
| 216. | 13. | χριςὰ, | χρηςά. |
| 233. | 20. | συνπώλεσας, | συναπώλεσας. |
| 238. | 2. | ἐνπεσὼν, | ἐκπεσών. |
| — | 11. | μεςίςου, | μεγίςου. |
| 280. | 9. | τέκτον, | τέκνον. |
| 288. | 4. | ςρένοισιν, | ςέρνοισιν. |
| 296. | 6. | ἥ, | ἦ, |
| 304. | 23. | ἀμφιβαλόμεθα, | ἀμφιβαλώμεθα. |
| 312. | 24. | χορευφ…σῃ, | χορευθήσῃ. |
| 314. | 2[illegible]. | ἁμα τάνειν, | ἁμαρτάνειν. |
| 324. | 14. | κκωυτοῦ, | κωκυτοῦ. |
| 352. | 10. | κάκισθα, | κάτοισθα. |

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ